Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

# ΩΡΙΓΕΝΟΥΣ

## ΦΙΛΟΣΟΦΟΥΜΕΝΑ

Η

## ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΣ.

# ORIGENIS

## PHILOSOPHUMENA

SIVE

## OMNIUM HÆRESIUM REFUTATIO.

E CODICE PARISINO

NUNC PRIMUM EDIDIT

EMMANUEL MILLER.

BIBLIOTHECA BODLEIANA
DOMINUS ILLUMINATIO MEA

OXONII:
E TYPOGRAPHEO ACADEMICO.
MDCCCLI.

Clar. Press
1 c. 134.

ABELI VILLEMAIN

LITERARUM IN GALLIA

STATORI

CUJUS PROVIDENTIA

QUUM COMPLURA ALIA TUM HOC QUOQUE

INSIGNE ANTIQUITATIS MONUMENTUM

IN LUCEM SUNT REVOCATA

MEMOR GRATUSQUE

D. D. D.

EMMANUEL MILLER.

# PRÆFATIO.

CODICUM anno 1842 ex Græcia allatorum a *Mynoïde Myna*, publicis auspiciis thesauros ejusmodi exploratum misso, unus neglectus ac fere despectus est a viris eruditis qui depositos eos penes Summum Moderatorem Institutionis Publicæ examinabant. Indicabatur ille in recensu Monitori Universali inserto die 5 Januarii 1844 a meque alibi[a] repetito, his verbis: "*Manuscrit en papier de coton, du XIV^e siècle, contenant une réfutation de toutes les hérésies. Cet ouvrage, d'un auteur anonyme, est divisé en dix livres; mais les trois premiers manquent ainsi que la fin.*"

Codicibus illis (præter paucos quos sibi servavit Mynoïdes Mynas: Babrii apographum, Galeni Dialecticam ab ipso editam a. 1844, et Philostrati Gymnasticam jam, ut videtur, integram) in Bibliothecam tum Regiam illatis, mihi provincia data est ut Supplementorum Catalogo illorum recensum notitiamque concisam adjicerem. Ibi eum de quo verba facere instituimus codicem sic relatum habes: "CCCCLIV. Codex bombycinus ex Græcia a *Myna* allatus, quo continetur anonymi

[a] Revue de Bibliographie Analytique, 1844, p. 91.

sive potius Origenis Refutatio omnium hæresium decem libris divisa. Tres priores libri et initium quarti desiderantur. Is codex, Michaelis manu, sæculo decimo quarto exaratus videtur." Nec satis mirari queo, ex tanta doctorum hominum frequentia, qui quotidie codices nostros versant, neminem illius inspiciendi cupiditatem incessisse. Vel primum folium, in quo de Chaldæorum astrologia secundum Sextum philosophum Scepticum disseritur, perlectum ad cognoscenda cætera unumquemque invitasset. Ita mihi relicta est thesauri hujus, non inventio, sed ἀνακάλυψις, thesauri inquam quem cum Babrio, poëta elegantissimo, jam omnes inter opima spolia numerabunt a *Mynoïde Myna* barbariæ tenebris erepta.

Est hic codex bombycinus, quadrata forma, foliorum 137, satis indiligenter exaratus ineunte, ut videtur, sæculo XIV a Michaele quodam, qui subscripsit: Χερσὶ Μιχαὴλ ἥδε βίβλος τελέθει γραφεῖσα. Insunt septem libri postremi operis ab Origene scripti, quod penitus deperditum habebatur, postquam primus liber Φιλοσοφουμένων inscriptus inde fuerat avulsus. Ejus libri fine quum promittat auctor se veterum philosophorum sententias et doctrinæ systemata explicaturum, duobus minimum libris constitisse hoc opus apparebat. Jam hujus codicis beneficio ORIGENIANI OPERIS OCTO LIBROS possidemus, si paucas lacunas quarti libri initio et versus finem decimi excipias. Secundus tantummodo atque tertius, ex decem librorum opere, adhuc sunt in deperditis; atque adeo dudum illos prorsus periisse nec quicquam relictum esse spei olim inveniendorum, ex nostro codice intelligi posse videtur. Nimirum vel illo tempore quo integer erat priores tres libros ab illo

abfuisse sic equidem colligo. Scriptus est quaternionibus octona folia complectentibus septemdecim, quorum priores novem litteris simpliciter indicantur, ceteri vocibus δέκατον, ἐνδέκατον etc. Horum indiciorum primum Γ cernitur in folio 13; folio 5 Arabica *cifra* satis antiqua scriptum "2": absunt igitur folia *quattuor*, procul dubio *quarti libri* cujus superstes folium primum in *media* disputatione versatur, ita ut aliquantum paginarum numerum præcessisse oporteat. Certum est igitur et indubitatum, amanuensem nostri codicis non habuisse libros præcedentes. Exemplar autem hic illic per vetustatem male habitum ab ipso exscriptum esse ostendit spatiolis vacuis quæ compluribus in locis reliquit. Post folium 132 interciderunt folia quædam, quorum unum in fine codicis habetur (fol. 137) a nobisque suo loco restitutum est. Origenianum opus excipiunt in fol. 135 *recto* inania quædam ac levia astrologici argumenti.

Origenes ipse testatum reliquit talem ab se institutam esse operis οἰκονομίαν, ut primis quattuor libris exponeret et judicaret veterum philosophorum cujusque sectæ placita; subsequentibus libris quinque ostenderet Gnosticos et Hæresiarchas non ex doctrina Christi sed ex Paganis philosophis hausisse dogmata sua, qua demonstratione a Christi nomine segregantur; decimo denique libro singula operis capita paucis repeteret, in modum epitomes, et veritatis, qualem ipse concipiebat, delineatione post errores refutatos lectorem confirmaret. Hinc intelligitur duplex qui traditur titulus: Φιλοσοφούμενα ἢ Κατὰ πασῶν αἱρέσεων ἔλεγχος. Atque in nostro quoque codice quarto libro subscribitur Φιλοσοφουμένων δ̄ βιβλίον, ut vel hinc appareat

primum librum Φιλοσοφουμένων jam olim cognitum sane ac vere esse exordium *Refutationis hæresium omnium.*

Atqui hic ipse liber primus ab nonnullis magna auctoritate viris Origeni est abjudicatus. Quanquam nunc quidem totius operis parte maxima tenebris feliciter erepta vix ulla superest de auctore dubitatio, perstringamus tamen a nonnullis, Huetio præsertim, inde ductum argumentum, quod in procemio Origenes sese *Apostolorum successorem* ferret, quum nunquam sit consecratus episcopus, quibus solis honorifica illa appellatio conveniret. Relegatur velim locus ille, pag. 3, lin. 63, neque dubito quin statim intelligas in universum loqui, non de se ipso Origenem, cui præterea sacerdotium legitime collatum fuerat Cæsareæ, quanquam acriter resistente Demetrio. Sed ne hoc quidem necessarium est ut urgeatur, esse eum utpote sacerdotem quodammodo Apostolorum successorem: quum in eodem illo loco ἀρχιερατείας vocabulo Origenes utatur tanquam opposito Judæorum ἀρχιερατείᾳ; nec qui hoc sensu de nostra ἀρχιερατείᾳ loquitur, opus est ut ipse quoque sit archiepiscopus. Apparet quam infirmum sit argumentum hoc negativum; positiva autem prorsus de conjectura petita sunt, quibus alii *Didymo Alexandrino*, alii *Aetio*, alii *S. Hippolyto*, alii *S. Epiphanio* attribuerunt Φιλοσοφούμενα, ac vel ipsi *S. Irenæo*, cujus Patris in nostris satis longum legitur excerptum. Quas conjecturas nunc si excutere aggrederemur, lectores nobis ὕδωρ εἰς θάλασσαν occinerent.

Jam supra demonstravimus libros septem quos luci damus, post intervallum continuare librum Φιλοσοφουμένων, qui titulus in quarti libri fine est repetitus. Hac

re explanata, si in quacumque *continui* operis parte agnoscamus verum et genuinum Origenem, ab ipso scriptos esse decem libros certe demonstratum erit. Statim sese offert S. Callixti Primi martyrium, quod libro IX auctor narrat ut brevi tempore consummatum postquam ipse Romæ egerit: constat autem Origenem in ea urbe annos aliquot commoratum esse pontifice maximo Zephyrino (cujus frequens mentio in illa narratione), quem Callixtus in pontificio munere anno 217 excepit. Hoc Origenis loco nunc prolato simul constitui potest *Fusciani Romæ præfecti* ætas, quem anno 178 per conjecturam assignaverat Corsinius[b], quum jam intelligatur fuisse anni 222. Quam narrationem satis longam sigillatim persequentes multa exhibere possemus indicia Origenis certissima, nisi inutiliter sane hic repeterentur quæ in alio loco hujus ipsius voluminis plene leguntur. Ipse etiam ille qui codicem scripsit, Origenianum se opus exarare sciebat: nam ubi philosophorum aut Gnosticorum placita enarrantur, ille ubique fere rubricatis litteris, aliquoties atris in margine adjecit nomen ejus cujus sententiæ in textu referuntur; tandemque ubi ad illam veritatis Christianæ professionem ventum est qua opus terminatur, in margine ponit Ὠριγένης καὶ Ὠριγένους δόξα (cf. p. 331), quanquam in textu non legitur. Non solum igitur re ipsa intelligitur opus nos possidere Origenianum, sed etiam habitum et lectum fuisse pro Origeniano, scribæ testimonio constat. Quid quod in epistola ab Eusebio inserta Historiæ Eccl. VI, cap. 19, Origenes scripsit: ἐπεὶ δὲ . . . . . . προσῄεσαν ὅτὲ μὲν αἱρετικοὶ,

[b] Præfectt. Urbis. Pisis, 1763, in 4°. p. 87.

*ὁτὲ δὲ ἀπὸ τῶν Ἑλληνικῶν μαθημάτων, καὶ μάλιστα τῶν ἐν φιλοσοφίᾳ, ἔδοξεν ἐξετάσαι τά τε τῶν αἱρετικῶν δόγματα καὶ τὰ ὑπὸ τῶν φιλοσόφων περὶ τῆς ἀληθείας λέγειν ἐπαγγελλόμενα*, nonne est argumentum hujus operis ipsa Origenis manu delineatum? Ut sane supersedere possimus examini professionis Fidei Origenianæ in fine positæ, an cum ceteris ejus scriptis et narrationibus aliorum consentiat: quale examen nemo nescit quot paginas sit sine ulla necessitate absumpturum. Neque Lemoynii quæstiones de libro Περὶ τῆς τοῦ παντὸς οὐσίας[c] (quem commemorat Origenes p. 334, 79) excutiamus; nam quod ille edidit fragmentum et S. Hippolyto tribuit, nihil continet eorum quæ in loco allato respexit Origenes. Multo plures vero quæstiones et fructuosiores in historia, in philosophia, in litteris excitant ipsi quos edimus libri septem: quibus de quæstionibus aptiore loco quam in editione principe tractabimus, libro quem Gallice scribendum paramus de insigni hoc et ad omne litterarum genus utilissimo Origenis opere.

Animus erat primum in principe hac editione codicem ita repræsentare uti scriptus est, emendatione omni in inferiorem marginem relegata. Verum tam frequentes insunt librariorum aberrationes, ut ejusmodi textus sæpissime inhibuisset lectorem et perpetua quadam molestia fatigasset. Præterea in illis locis ubi Origenes Sextum Empiricum, Platonem, Josephum, S. Irenæum, alios ad verbum fere repetit, perspicue cognosci poterat quot et quanta vitia hoc opus per evidentem incuriam librariorum traxerat. Potius igitur

[c] De hujus operis auctore cf. Photii Biblioth. cod. XLVIII.

et consultius visum est lectorum nostrorum commoditati prospicere quantum quidem sine ulla temeritatis culpa fieri poterat. Ubicumque sententia restituebatur levi mutatione atque tali qualem palæographiæ leges et mos librariorum ubique admittunt, emendatam et necessariam scripturam haud cunctanter in textu posuimus, inferius indicata codicis lectione, ita quidem ut vel vitiosissima et ex aperto lapsu orta nusquam præteriremus. At ubicumque dubitandi locus esse videbatur, conjecturam nostram in annotatione critica protulimus. Experti autem sumus in scriptore quem primus in lucem emittas vel postrema legenti specimina novas subinde nasci emendationes. Quapropter diutius penes nos cohibere voluissemus libros novis usque curis relegendos, nisi Delegati Typographei Academiæ Oxoniensis, Egregii Viri et bonis litteris sapienter promovendis nati, orbem litterarium hoc Origenis opere nimis diu occultato quantocius donare voluissent. Primum librum, ut par erat, præmisimus juxta magnam editionem Patris Delarue, excepta annotatione ad rem criticam spectante. Eundem fere modum in ceteris quoque tenuimus, quæcumque ad explicationem pertinerent et ad infinitas illas quæstiones historicas, philosophicas, litterarias undecumque in his pullulantes, hæc omnia, quemadmodum dixi, alio loco aptiori reservantes.

Tu vero, Benigne Lector, de pretiosissimo opere Origeniano post tot sæcula feliciter in lucem producto, præter Reverendos Viros Delegatos Typographei Academiæ Oxoniensis, grates habebis viro ingeniosissimo, qui Summam apud nos Rem Scholasticam sapienter moderatus per totam Europam monumenta vetera vel

conquiri vel catalogis recenseri jussit, Abeli Villemain, et felici codicis repertori, *Mynoïdæ Mynæ;* nostram denique qualemcumque operam petimus ut æqui bonique consulas.

Scribebam Parisiis Kalendis Decembribus MDCCCL.

EMMANUEL MILLER.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Α΄.

ΤΑΔΕ ἔνεστιν ἐν τῇ πρώτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου.

Τίνα τὰ δόξαντα τοῖς φυσικοῖς φιλοσόφοις, καὶ τίνες οὗτοι· καὶ τίνα τὰ τοῖς ἠθικοῖς, καὶ τίνες οὗτοι, καὶ τίνα τὰ τοῖς διαλεκτικοῖς, καὶ τίνες οἱ διαλεκτικοί.

Φυσικοὶ μὲν οὖν Θαλῆς, Πυθαγόρας, Ἐμπεδοκλῆς, Ἡράκλειτος, Ἀναξίμανδρος, Ἀναξιμένης, Ἀναξαγόρας, Ἀρχέλαος, Παρμενίδης, Λεύκιππος, Δημόκριτος, Ξενοφάνης, Ἔκφαντος, Ἵππων.

Ηθικοὶ, Σωκράτης Ἀρχελάου μαθητὴς τοῦ φυσικοῦ, Πλάτων Σωκράτους μαθητής· οὗτος τὰς τρεῖς φιλοσοφίας ἔμιξεν.

Διαλεκτικοὶ, Ἀριστοτέλης Πλάτωνος μαθητής· οὗτος τὴν διαλεκτικὴν συνεστήσατο.

Στωϊκοὶ δὲ, Χρύσιππος, Ζήνων· Ἐπίκουρος δὲ σχε-

Codd. Medic. et Barberinus habent hanc inscriptionem: Ὠριγένους φιλοσοφουμένων. Ottob. in textu: Ὠριγένους κατὰ πασῶν αἱρέσεων ἔλεγχοι. Ad marginem vero: Ὠριγένους φιλοσοφουμένων. In ms. Taurinensi titulus est Ὠριγένους πάντιμα τοῦ σοφωτάτου.

3. φυσικοῖς om. Cod. Medic., alia manu scriptum super φιλοσόφοις.

Ib. φιλοσόφοις om. Barb., Ottob.

11. Edebatur Σωκράτου.

δὸν ἐναντίαν δόξαν πᾶσιν ἐπεχείρησεν. Πύρρων ὁ Ἀκαδήμειος· οὗτος ἀκαταληψίαν τῶν πάντων λέγει· Βραχμᾶνες οἱ ἐν Ἰνδοῖς, Δρυΐδαι οἱ ἐν Κελτοῖς, καὶ Ἡσίοδος.

## ΠΡΟΟΙΜΙΟΝ.

Οὐδένα μῦθον τῶν παρ' ἕλλησιν ὠνομασμένων παραιτητέον. Πιστὰ γὰρ καὶ τὰ ἀσύστατα αὐτῶν δόγματα ἡγητέον, διὰ τὴν ὑπερβάλλουσαν τῶν αἱρετικῶν μανίαν, οἳ διὰ τοῦ σιωπᾷν ἀποκρύπτειν τε τὰ ἄρρητα ἑαυτῶν μυστήρια, ἐνομίσθησαν πολλοῖς θεὸν σέβειν, ὧν καὶ πάλαι μετρίως τὰ δόγματα ἐξεθέμεθα, οὐ κατὰ λεπτὸν ἐπιδείξαντες, ἀλλὰ ἁδρομερῶς ἐλέγξαντες, μὴ ἀνάξιον ἡγησάμενοι τὰ ἄρρητα αὐτῶν εἰς φῶς ἄγειν, ὅπως δι' αἰνιγμάτων ἡμῶν ἐκθεμένων τὰ δόξαντα αὐτοῖς αἰσχυνθέντες, μήποτε καὶ τὰ ἄρρητα ἐξειπόντες ἀθέους ἐπιδείξωμεν, παύσωνταί τι τῆς ἀλογίστου γνώμης καὶ ἀθεμίτου ἐπιχειρήσεως. Ἀλλ' ἐπεὶ ὁρῶ μὴ δυσωπουμένους αὐτοὺς τὴν ἡμετέραν ἐπιείκειαν μήτε λογιζομένους, ὡς θεὸς μακροθυμεῖ ὑπ' αὐτῶν βλασφημούμενος, ὅπως ἢ αἰδεσθέντες μετανοήσωσιν, ἢ ἐπιμείναντες δικαίως κριθῶσι, βιασθεὶς πρόειμι, δείξων αὐτῶν τὰ ἀπόρρητα μυστήρια, ἃ τοῖς μυουμένοις μετὰ μεγάλης ἀξιοπιστίας παραδιδόασιν, οὐ πρότερον ὁμολογήσαντες, εἰ μὴ τὸν τοιοῦτον δουλώσωνται χρόνῳ ἀνακρεμάσαντες καὶ βλάσφημον πρὸς τὸν ὄντως Θεὸν κατασκευάσαντες, καὶ περιεργίᾳ γλιχόμενον τῆς ἐπαγγελίας ἴδωσι· καὶ τότε δοκιμάσαντες δέσμιον εἶναι τῆς ἁμαρτίας, μυοῦσι,

17. ὁ Ἀκαδήμειος de conj. ὁ Καδήμιος Ottob. Med. Καδίμιος Taur. Edebatur ὁ Ἀκάδημος.

27. μὴ ἂν ἄξιον codices depravate.

31. τῆς ἀθεμίτου γνώμης καὶ ἀλόγου ἐπιχειρήσεως. Taur.

39. χρόνον Medic.

τὸ τέλειον τῶν κακῶν παραδιδόντες, ὅρκοις δήσαντες, μήτε ἐξειπεῖν, μήτε τῷ τυχόντι μεταδοῦναι, εἰ μὴ ὁμοίως δουλωθείη· οὗ μόνου παραδοθέντος, οὐκ ἔτι ὅρκος ἀναγκαῖος ἦν. Ὁ γὰρ ὑπομείνας παθεῖν καὶ παραλαβεῖν τὰ τέλεια αὐτῶν μυστήρια, ἱκανῶς αὐτῷ τῷ ἔργῳ πρός τε τὴν ἰδίαν συνείδησιν καὶ πρὸς τὸ ἑτέροις μὴ ἐξειπεῖν ἔσται δεδεμένος. Εἰ γὰρ ἐξείποι τινὶ ἀνθρώπων τὸ τοιοῦτον ἀνόμημα, οὔτε ἐν ἀνθρώποις λογισθήσεται, οὔτε τὸ φῶς ὁρᾷν ἄξιος ἡγηθήσεται, ἃ καὶ ἄλογα ὄντα τοιοῦτον ἀνόμημα οὐκ ἐπιχειρεῖ, καθὼς ἐν τοῖς τόποις γενόμενοι ἐροῦμεν. Ἀλλ' ἐπεὶ ἀναγκάζει ἡμᾶς ὁ λόγος εἰς μέγαν βυθὸν διηγήσεως ἐπιβῆναι, οὐχ ἡγούμεθα σιγᾷν, ἀλλὰ τὰ πάντων δόγματα κατὰ λεπτὸν ἐκθέμενοι, οὐδὲν σιωπήσομεν. Δοκεῖ δὲ, εἰ καὶ μακρότερος ἔσται λόγος, μὴ καμεῖν. Οὐδὲ γὰρ μικράν τινα βοήθειαν τῷ τῶν ἀνθρώπων βίῳ καταλείψομεν, πρὸς τὸ μηκέτι πλανᾶσθαι, φανερῶς πάντων ὁρώντων τὰ κρύφια αὐτῶν καὶ ἄρρητα ὄργια, ἃ ταμιευόμενοι μόνοις τοῖς μύσταις παραδιδόασιν. Ταῦτα δὲ ἕτερος οὐκ ἐλέγξει, ἢ τὸ ἐν ἐκκλησίᾳ παραδοθὲν ἅγιον πνεῦμα, οὗ τυχόντες πρότεροι οἱ ἀπόστολοι μετέδοσαν τοῖς ὀρθῶς πεπιστευκόσιν· ὧν ἡμεῖς διάδοχοι τυγχάνοντες, τῆς τε αὐτῆς χάριτος μετέχοντες, ἀρχιερατείας τε καὶ διδασκαλίας καὶ φρουροὶ τῆς ἐκκλησίας λελογισμένοι, οὐκ ὀφθαλμῷ νυστάξομεν, οὐδὲ λόγον ὀρθὸν σιωπῶμεν. Ἀλλ' οὐδὲ πάσῃ ψυχῇ καὶ σώματι ἐργαζόμενοι κάμνομεν ἄξια ἀξίως θεῷ τῷ εὐεργέτῃ ἀνταποδιδόναι πειρώμενοι, καὶ οὐδὲ οὕτως κατ'

44. τοίτε τῷ τυχόντι Barb. et Ottob.

47. ἱκανόν Barber. et Taur. ἱκανά Ottob.

51. Sancroftus ex conj. legit ὅτι καί.

66. Richterus Observ. Crit. p. 77 mavult νυστάζομεν.

67. οὐδὲ λόγου ὅρους σιωπῶμεν. Taur. et Ottob., qui voluisse videntur λόγους ὀρθοὺς σ.

ἀξίαν ἀμειβόμενοι, πλὴν ἐν οἷς πεπιστεύμεθα μὴ ἀτονοῦντες, ἀλλὰ τοῦ ἰδίου καιροῦ τὰ μέτρα ἐπιτελοῦντες, καὶ ὅσα παρέξει τὸ ἅγιον πνεῦμα, πᾶσιν ἀφθόνως κοινωνοῦντες· οὐ μόνον ἀλλότρια δι' ἐλέγχου εἰς φανερὸν ἄγοντες, ἀλλὰ καὶ ὅσα ἡ ἀλήθεια ὑπὸ τῆς τοῦ πατρὸς χάριτος παραλαβοῦσα ἀνθρώποις διηκόνησε, ταῦτα καὶ διὰ λόγου σημειούμενοι, καὶ διὰ γραμμάτων ἐμμάρτυρα σημειούμενοι, ἀνεπαισχύντως κηρύσσομεν. Ἵνα οὖν καθὼς φθάσαντες εἴπομεν, ἀθέους αὐτοὺς ἐπιδείξωμεν, καὶ κατὰ γνώμην, καὶ κατὰ τρόπον, καὶ κατὰ ἔργον· ὅθεν τε τὰ ἐπιχειρήματα αὐτοῖς γεγένηται, καὶ ὅτι μηθὲν ἐξ ἁγίων γραφῶν λαβόντες ταῦτα ἐπεχείρησαν, ἤ τινος ἁγίου διαδοχὴν φυλάξαντες ἐπὶ ταῦτα ὥρμησαν· ἀλλ' ἔστιν αὐτοῖς τὰ δοξαζόμενα ἀρχὴν μὲν ἐκ τῆς Ἑλλήνων σοφίας λαβόντα, ἐκ δογμάτων φιλοσοφουμένων καὶ μυστηρίων ἐπικεχειρημένων, καὶ ἀστρολόγων ῥεμβομένων. Δοκεῖ οὖν πρότερον ἐκθεμένους τὰ δόξαντα τοῖς τῶν Ἑλλήνων φιλοσόφοις, ἐπιδεῖξαι τοῖς ἐντυγχάνουσιν ὄντα τούτων παλαιότερα καὶ πρὸς τὸ θεῖον σεμνότερα· ἔπειτα συμβαλεῖν ἑκάστην αἵρεσιν ἑκάστῳ, ὡς τούτοις τοῖς ἐπιχειρήμασιν ἐπιλαβόμενος ὁ πρωτοστάτης τῆς αἱρέσεως ἐπλεονέκτησε λαβόμενος τὰς ἀρχὰς καὶ ἐκ τούτων ἐπὶ τὰ χείρονα ὁρμηθεὶς δόγμα συνεστήσατο. Ἔστι μὲν οὖν πόνου μεστὸν τὸ ἐπιχειρούμενον, καὶ πολλῆς δεόμενον ἱστορίας. Ἀλλὰ οὐκ ἐνδεήσομεν, ὕστερον γὰρ εὐφρανεῖ ὡς ἀθλητὴν μετὰ πολλοῦ πόνου στεφάνου τυχόντα, ἢ ἔμπορον μετὰ μέγαν θαλάσσης σάλον κερδάναντα, ἢ γεωργὸν μετὰ ἱδρῶτα προσώπου καρπῶν ἀπολαύσαντα, ἢ προφήτην μετὰ ὀνειδισμοὺς καὶ ὕβρεις ὁρῶντα τὰ λαληθέντα ἀποβαίνοντα. Ἀρξάμενοι τοίνυν

74. τοῦ πνεύματος Taur. 90. πρωτοστατήσας Medic.

ἐροῦμεν, τίνες οἱ παρ' Ἕλλησι πρῶτον φιλοσοφίαν, φυσικὴν ἐπιδείξαντες. Τούτων γὰρ μάλιστα γεγένηνται κλεψιλόγοι οἱ τῶν αἱρέσεων πρωτοστατήσαντες, ὡς μετέπειτα ἐν τῇ πρὸς ἀλλήλους συμβολῇ ἐπιδείξομεν. Ἑκάστῳ δὲ τῶν προαρξαμένων τὰ ἴδια ἀποδιδόντες, γυμνοὺς καὶ ἀσχήμονας τοὺς αἱρεσιάρχας προστήσομεν.

---

### ΑΡΧΗ ΤΗΣ ΠΡΩΤΗΣ ΒΙΒΛΟΥ ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ.

Λέγεται Θαλῆν τὸν Μιλήσιον ἕνα τῶν ἑπτὰ σοφῶν πρῶτον ἐπικεχειρηκέναι φιλοσοφίαν φυσικήν. Οὗτος ἔφη ἀρχὴν τοῦ παντὸς εἶναι καὶ τέλος τι ὕδωρ. Ἐκ γὰρ αὐτοῦ τὰ πάντα συνίστασθαι, πηγνυμένου καὶ πάλιν διανιεμένου, ἐπιφέρεσθαί τε αὐτῷ τὰ πάντα. Ἀφ' οὗ καὶ σεισμοὺς καὶ πνευμάτων στροφὰς καὶ ἀέρων κινήσεις, καὶ τὰ πάντα φύεσθαί τε καὶ ῥεῖν τῇ τοῦ πρώτου ἀρχηγοῦ τῆς γενέσεως αὐτῶν φύσει συμφερόμενα. Θεὸν δὲ τοῦτο εἶναι τὸ μήτ' ἀρχὴν μήτε τελευτὴν ἔχον. Οὗτος περὶ τὸν τῶν ἄστρων λόγον καὶ τὴν ζήτησιν ἀσχοληθεὶς, Ἕλλησι ταύτης τῆς μαθήσεως αἴτιος πρῶτος γίγνεται, ὃς ἀποβλέπων πρὸς τὸν οὐρανὸν καὶ τὰ ἄνω ἐπιμελῶς κατανοεῖν λέγων, εἰς φρέαρ ἐνέπεσεν, ὃν ἐγγελῶσά τις θεραπαινὶς, Θράττα τοὔνομα, ἔφη, τὰ ἐν οὐρανῷ προθυμούμενος ἰδεῖν, τὰ ἐν ποσὶν οὐκ οἶδεν. Ἐγένετο δὲ κατὰ Κροῖσον.

### Περὶ Πυθαγόρου.

Ἔστι δὲ καὶ ἑτέρα φιλοσοφία οὐ μακρὰν τῶν αὐτῶν

6. παραστήσομεν recte correxit Delarue.

χρόνων, ἧς ἦρξε Πυθαγόρας, ὃν Σάμιόν τινες λέγουσιν. ἣν ἰταλικὴν προσηγόρευσαν διὰ τὸ τὸν Πυθαγόραν φεύγοντα Πολυκράτην τὸν Σάμιον τύραννον οἰκῆσαι πόλιν τῆς Ἰταλίας, κἀκεῖ τὸν βίον πληρῶσαι. Οὗ τὴν αἵρεσιν οἱ διαδεξάμενοι οὐ πολὺ διήνεγκαν τοῦ αὐτοῦ φρονήματος. Καὶ αὐτὸς δὲ περὶ φυσικῶν ζητήσας ἔμιξεν ἀστρονομίαν καὶ γεωμετρίαν καὶ μουσικήν. Καὶ οὕτως μονάδα μὲν εἶναι ἀπεφήνατο τὸν θεόν, ἀριθμοῦ δὲ φύσιν περιέργως καταμαθὼν μελῳδεῖν ἔφη τὸν κόσμον καὶ ἁρμονίᾳ συγκεῖσθαι, καὶ τῶν ἑπτὰ ἄστρων πρῶτος τὴν κίνησιν εἰς ῥυθμὸν καὶ μέλος ἤγαγεν. Θαυμάσας δὲ τὴν διοίκησιν τῶν ὅλων, ἠξίωσε τὰ πρῶτα σιγᾶν τοὺς μαθητὰς οἱονεὶ μύστας τοῦ παντὸς εἰς τὸν κόσμον ἥκοντας. εἶτα ἐπειδὰν αὐτοῖς ἱκανῶς παιδείας τῆς τῶν λόγων δόξῃ μετεῖναι καὶ δυνατῶς περὶ ἄστρων καὶ φύσεως φιλοσοφήσωσι, καθαροὺς κρίνας τότε κελεύει φθέγγεσθαι. Οὗτος τοὺς μαθητὰς διεῖλε, καὶ τοὺς μὲν ἐσωτερικούς, τοὺς δὲ ἐξωτερικοὺς ἐκάλεσεν. Τοῖς δὲ τὰ τελεώτερα μαθήματα ἐπίστευε, τοῖς δὲ τὰ μετριώτερα. ἐφήψατο δὲ καὶ μαγικῆς, ὥς φασι, καὶ φυσιογονικὴν αὐτὸς ἐξεῦρεν, ἀριθμούς τινας καὶ μέτρα ὑποθέμενος, λέγων τὴν ἀρχὴν τῆς ἀριθμητικῆς φιλοσοφίας κατὰ σύνθεσιν περιέχειν τόνδε τὸν τρόπον. Ἀριθμὸς γέγονε πρῶτος ἀρχή, ὅπερ ἐστὶν ἕν, ἀόριστος, ἀκατάληπτος, ἔχων ἐν ἑαυτῷ πάντας τοὺς ἐπ' ἄπειρον δυναμένους ἐλθεῖν ἀριθμοὺς κατὰ τὸ πλῆθος. Τῶν δὲ ἀριθμῶν ἀρχὴ γέγονε καθ' ὑπόστασιν ἡ πρώτη μονάς, ἥτις ἐστὶ μονὰς ἄρσην γεννῶσα πατρικῶς πάντας τοὺς ἄλλους ἀριθμούς. Δεύτερον ἡ δυὰς θῆλυς ἀριθμός, ὁ δὲ αὐτὸς καὶ ἄρτιος

32. περὶ φύσεως Barb.
36. ἀστέρων Medic.
46. φυσιογνωμονικήν Barberin.
53. καθ' ὑπόστασιν Codd. Edebatur ὑπόθεσιν ex Med. ubi ὑπόστασιν recentiori m. adscriptum.

ὑπὸ τῶν ἀριθμητικῶν καλεῖται. Τρίτον ἡ τριὰς ἀριθμὸς ἄρσην, οὗτος καὶ περισσὸς ὑπὸ τῶν ἀριθμητικῶν νενομοτέθηται καλεῖσθαι. Ἐπὶ πᾶσι δὲ τούτοις ἡ τετρὰς θῆλυς ἀριθμὸς, ὁ δὲ αὐτὸς καὶ ἄρτιος καλεῖται ὅτι θῆλυς ἐστίν. Γεγόνασιν οὖν οἱ πάντες ἀριθμοὶ ληφθέντες ἀπὸ γένους τέσσαρες. Ἀριθμὸς δ' ἦν τὸ γένος ἀόριστον. Ἀφ' ὧν ὁ τέλειος αὐτοῖς συνέστηκεν ἀριθμὸς ἡ δέκας. Τὸ γὰρ ἓν, δύο, τρία, τέσσαρα, γίνεται δέκα, ἐὰν ἑκάστῳ τῶν ἀριθμῶν φυλάσσηται κατ' οὐσίαν τὸ οἰκεῖον ὄνομα. Ταύτην ὁ Πυθαγόρας ἔφη ἱερὰν τετρακτὺν, πηγὴν ἀεννάου φύσεως ὡς ῥιζώματα ἔχουσαν ἐν ἑαυτῇ καὶ ἐκ τούτου τοῦ ἀριθμοῦ πάντας ἔχειν τοὺς ἀριθμοὺς τὴν ἀρχήν. Ὁ γὰρ ἕνδεκα καὶ ὁ δώδεκα καὶ οἱ λοιποὶ τὴν ἀρχὴν τοῦ εἶναι ἐκ τοῦ δέκα μετέχουσι. Ταύτης τῆς δέκαδος τοῦ τελείου ἀριθμοῦ τὰ τέσσαρα καλεῖται μέρη, ἀριθμὸς, μόνας, δύναμις, κύβος. Ὧν καὶ ἐπιπλοκαὶ καὶ μίξεις πρὸς γένεσιν αὐξήσεως γίνονται κατὰ φύσιν, τὸν γόνιμον ἀριθμὸν ἀποτελοῦσαι. Ὅταν γὰρ δύναμις αὐτὴν ἐφ' ἑαυτὴν κυβιστῇ, γέγονε δυναμοδύναμις. Ὅταν δὲ δύναμις ἐπὶ κύβον, δυναμόκυβος, ὅταν δὲ κύβος ἐπὶ κύβον γέγονε, κυβόκυβος· ὡς γίνεσθαι τοὺς πάντας ἀριθμοὺς ἐξ ὧν ἡ τῶν γενομένων γένεσις γίνεται, ἑπτά· ἀριθμὸν, μονάδα, δύναμιν, κύβον, δυναμοδύναμιν, δυναμόκυβον, κυβόκυβον.

Οὗτος καὶ ψυχὴν ἀθάνατον εἶπε καὶ μετενσωμάτωσιν· διὸ ἔλεγεν ἑαυτὸν πρὸ μὲν τῶν Τρωϊκῶν Θαλλίδην γεγονέναι, ἐν δὲ τοῖς Τρωϊκοῖς Εὔφορβον, μετὰ δὲ ταῦτα Ἑρμότιμον Σάμιον, μεθ' ὃν Πύρρον Δήλιον, πέμπτον Πυθαγόραν. Διόδωρος δὲ ὁ Ἐρετριεὺς καὶ Ἀριστόξε-

62. Cod. Barb. habet τρίτος pro τέλειος.

75. δυναμόκυβος, ὅταν δὲ κύβος ἐπὶ κύβον] Hæc desiderantur in omnibus mss. sed sensus postulat ut restituantur. WOLFIUS.

νος ὁ Μουσικός φασι πρὸς Ζαράταν τὸν Χαλδαῖον ἐληλυθέναι Πυθαγόραν· τὸν δὲ ἐκθέσθαι αὐτῷ δύο εἶναι ἀπ' ἀρχῆς τοῖς οὖσιν αἴτια, πατέρα καὶ μητέρα· καὶ πατέρα μὲν φῶς, μητέρα δὲ σκότος, τοῦ δὲ φωτὸς μέρη θερμὸν, ξηρὸν, κοῦφον, ταχύ· τοῦ δὲ σκότους ψυχρὸν, ὑγρὸν, βαρὺ, βραδύ· ἐκ δὲ τούτων πάντων τὸν κόσμον συνεστάναι, ἐκ θηλείας καὶ ἄρρενος. Εἶναι δὲ τὸν κόσμον φησὶν καὶ μουσικὴν ἁρμονίαν, διὸ καὶ τὸν ἥλιον ποιεῖσθαι τὴν περίοδον ἐναρμόνιον. Περὶ δὲ τῶν ἐκ γῆς καὶ κόσμου γινομένων τάδε φασὶ λέγειν τὸν Ζαράταν· δύο δαίμονας εἶναι, τὸν μὲν οὐράνιον, τὸν δὲ χθόνιον· καὶ τὸν μὲν χθόνιον ἀνιέναι τὴν γένεσιν ἐκ τῆς γῆς· εἶναι δὲ ὕδωρ· τὸν δὲ οὐράνιον πῦρ μετέχον τοῦ ἀέρος, θερμὸν καὶ ψυχρόν· διὸ καὶ τούτων οὐδὲν ἀναιρεῖν οὐδὲ μιαίνειν φησὶ τὴν ψυχήν· ἐστὶ γὰρ ταῦτα οὐσία τῶν πάντων. κυάμους δὲ λέγεται παραγγέλλειν μὴ ἐσθίειν, αἰτίᾳ τοῦ τὸν Ζαράταν εἰρηκέναι κατὰ τὴν ἀρχὴν καὶ σύγκρισιν τῶν πάντων συνισταμένης τῆς γῆς ἔτι καὶ συνεσημμένης γενέσθαι τὸν κύαμον. Τούτου δὲ τεκμήριόν φησιν, εἴ τις καταμασησάμενος λεῖον τὴν κύαμον καταθείη πρὸς ἥλιον χρόνον τινὰ, τοῦτο γὰρ εὐθέως ἀντιλήψεται, προσφέρει ἀνθρωπίνου γόνου ὀδμήν. Σαφέστερον δὲ εἶναι καὶ ἕτερον παράδειγμα λέγει, εἰ ἀνθοῦντος τοῦ κυάμου λαβόντες τὸν κύαμον καὶ τὸ ἄνθος αὐτοῦ καὶ καταθέντες εἰς χύτραν, ταύτην τε καταχρίσαντες, εἰς γῆν κατορύξαιμεν, καὶ μετ' ὀλίγας ἡμέρας ἀνακαλύψαιμεν, ἴδοιμεν αὐτὸ εἶδος ἔχον τὸ μὲν πρῶτον ὡς αἰσχύνην γυναικὸς, μετὰ δὲ ταῦτα κατανοούμενον παιδίου κεφαλὴν συμπεφυκυῖαν. Οὗτος ἐν Κρότωνι τῆς Ἰταλίας ἅμα τοῖς μαθηταῖς ἐμπυρισθεὶς διεφθάρη. Ἔθος δὲ τοῦτο

92. φησὶν Medic. Edebatur φύσιν. 7. προσφέρειν Taur.

ἦν παρ' αὐτῷ, ἐπειδὰν προσήει τις μαθητευσόμενος, πιπράσκειν τὰ ὑπάρχοντα, καὶ τὸ ἀργύριον κατατιθέναι ἐσφραγισμένον παρὰ τῷ Πυθαγόρῃ, καὶ ὑπέμεινε σιωπῶν, ὅτε μὲν ἔτη τρία, ὅτε δὲ πέντε, καὶ μανθάνειν. αὖθις δὲ λυθεὶς ἐμίσγετο τοῖς ἑτέροις, καὶ παρέμενε μαθητὴς καὶ συνεισθιᾶτο ἅμα, εἰ δ' οὐ, ἀπελάμβανε τὸ ἴδιον, καὶ ἀπεβάλλετο. Οἱ μὲν οὖν ἐσωτερικοὶ ἐκαλοῦντο Πυθαγόρειοι, οἱ δὲ ἕτεροι Πυθαγορισταί· τῶν δὲ μαθητῶν αὐτοῦ οἱ διαφυγόντες τὸν ἐμπρησμὸν Λύσις ἦν καὶ Ἄρχιππος, καὶ ὁ τοῦ Πυθαγόρου οἰκέτης Ζάμολξις, ὃς καὶ τοὺς παρὰ Κελτοῖς Δρυΐδας λέγεται διδάξαι φιλοσοφεῖν τὴν Πυθαγόρειον φιλοσοφίαν. Τοὺς δὲ ἀριθμοὺς καὶ τὰ μέτρα παρὰ Αἰγυπτίων φασὶ τὸν Πυθαγόραν μαθεῖν, ὃς καταπλαγεὶς τῇ τῶν ἱερέων ἀξιοπίστῳ καὶ φαντασιώδει καὶ δυσχέρως ἐξαγορευομένῃ σοφίᾳ, μιμησάμενος ὁμοίως καὶ αὐτὸς σιγᾷν προσέταξεν, καὶ ἐν ἀδύτοις κατάγων ἠρεμεῖν ἐποίει μανθάνοντα.

## Περὶ Ἐμπεδοκλέους.

Ἐμπεδοκλῆς δὲ μετὰ τούτους γενόμενος καὶ περὶ δαιμόνων φύσεως εἶπε πολλὰ, ὡς ἀναστρέφονται διοικοῦντες τὰ κατὰ τὴν γῆν ὄντες πλεῖστοι. Οὗτος τὴν τοῦ παντὸς ἀρχὴν νεῖκος καὶ φιλίαν ἔφη· καὶ τὸ τῆς μονάδος νοερὸν πῦρ τὸν θεὸν, καὶ συνεστάναι ἐκ πυρὸς τὰ πάντα, καὶ εἰς πῦρ ἀναλυθήσεσθαι· ᾧ σχεδὸν καὶ οἱ Στωϊκοὶ συντίθενται δόγματι, ἐκπύρωσιν προσδοκῶντες. μάλιστα δὲ πάντων συγκατατίθεται τῇ μετενσωματώσει, οὕτως εἰπών·

Ἤτοι μὲν γὰρ ἐγὼ γενόμην κοῦρός τε κόρη τε
Θαμνός τ' οἰωνός τε, καὶ ἐξ ἁλὸς ἔμπορος ἰχθύς.

Οὗτος πάσας εἰς πάντα τὰ ζῶα μεταλλάττειν εἶπε τὰς

ψυχάς. Καὶ γὰρ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἔφη ἑαυτὸν Εὔφορβον γεγονέναι τὸν ἐπὶ Ἴλιον στρατεύσαντα, φάσκων ἐπιγίνωσκειν τὴν ἀσπίδα. Ταῦτα μὲν ὁ Ἐμπεδοκλῆς.

### Περι Ἡρακλειτου.

Ἡρακλεῖτος δὲ φυσικὸς φιλόσοφος ὁ Ἐφέσιος, τὰ πάντα ἔκλαιεν ἄγνοιαν τοῦ παντὸς βίου καταγινώσκων, καὶ πάντων ἀνθρώπων· ἐλεῶν δὲ τὸν τῶν θνητῶν βίον. αὐτὸν μὲν γὰρ ἔφασκε τὰ πάντα εἰδέναι, τοὺς δὲ ἄλλους ἀνθρώπους οὐδέν. Καὶ αὐτὸς δὲ σχεδὸν σύμφωνα τῷ Ἐμπεδοκλεῖ ἐφθέγξατο, στάσιν καὶ φιλίαν φήσας τῶν ἁπάντων ἀρχὴν εἶναι, καὶ πῦρ νοερὸν τὸν θεὸν, ἐμφέρεσθαί τε τὰ πάντα ἀλλήλοις, καὶ οὐχ ἑστάναι, καὶ ὥσπερ ὁ Ἐμπεδοκλῆς πάντα τὸν καθ' ἡμᾶς τόπον ἔφη κακῶν μεστὸν εἶναι, καὶ μέχρι δὲ σελήνης τὰ κακὰ φθάνειν ἐκ τοῦ περὶ γῆν τόπου ταθέντα, περαιτέρω δὲ μὴ χωρεῖν, ἅτε καθαρωτέρου τοῦ ὑπὲρ τὴν σελήνην παντὸς ὄντος τόπου. Οὕτω καὶ τῷ Ἡρακλείτῳ ἔδοξεν.

Μετὰ τούτους ἐγένοντο καὶ ἕτεροι φυσικοὶ, ὧν οὐκ ἀνάγκαιον ἡγησάμεθα τὰς δόξας εἰπεῖν, μηδὲν τῶν προειρημένων ἀπεμφαινούσας. Ἀλλ' ἐπεὶ καθόλου οὐ μικρὰ γεγένηται ἡ σχολὴ, πολλοί τε οἱ μετέπειτα φυσικοὶ ἐξ αὐτῶν γεγένηνται ἄλλοι ἄλλως περὶ φύσεως τοῦ παντὸς διηγούμενοι, καὶ δοκεῖ ἡμῖν τὴν ἀπὸ Πυθαγόρου ἐκθεμένους φιλοσοφίαν κατὰ διαδοχὴν, ἀναδραμεῖν ἐπὶ τὰ δόξαντα τοῖς μετὰ Θαλῆν, καὶ ταῦτα ἐξειπόντας ἐλθεῖν ἐπί τε τὴν Ἠθικὴν καὶ Λογικὴν φιλοσοφίαν, ὧν ἦρξαν Σωκράτης μὲν Ἠθικῆς, Ἀριστοτέλης δὲ Διαλεκτικῆς.

60. καὶ μέχρι μὲν σελήνης.

### Περι Ἀναξιμανδρου.

Θαλοῦ τοίνυν Ἀναξίμανδρος γίνεται ἀκροατής. Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος. Οὗτος ἀρχὴν ἔφη τῶν ὄντων φύσιν τινὰ τοῦ ἀπείρου, ἐξ ἧς γίνεσθαι τοὺς οὐρανοὺς καὶ τὸν ἐν αὐτοῖς κόσμον. Ταύτην δ᾽ ἀΐδιον εἶναι καὶ ἀγήρω, ἣν καὶ πάντας περιέχειν τοὺς κόσμους. Λέγει δὲ χρόνον ὡς ὡρισμένης τῆς γενέσεως καὶ τῆς οὐσίας καὶ τῆς φθορᾶς. Οὗτος μὲν ἀρχὴν καὶ στοιχεῖον εἴρηκε τῶν ὄντων τὸ ἄπειρον, πρῶτος τοὔνομα καλέσας τῆς ἀρχῆς. Πρὸς δὲ τούτῳ κίνησιν ἀΐδιον εἶναι ἐν ᾗ συμβαίνει γίνεσθαι τοὺς οὐρανούς. Τὴν δὲ γῆν εἶναι μετέωρον ὑπ᾽ οὐδενὸς κρατουμένην, μένουσαν διὰ τὴν ὁμοίαν πάντων ἀπόστασιν. Τὸ δὲ σχῆμα αὐτῆς ὑγρὸν στρογγύλον χιόνι λίθῳ παραπλήσιον. Τῶν δὲ ἐπιπέδων ᾧ μὲν ἐπιβεβήκαμεν, ὃ δὲ ἀντίθετον ὑπάρχει. Τὰ δὲ ἄστρα γίνεσθαι κύκλον πυρὸς, ἀποκριθέντα τοῦ κατὰ τὸν κόσμον πυρὸς, περιληφθέντα δ᾽ ὑπὸ ἀέρος. Ἐκπνοὰς δ᾽ ὑπάρξαι τόπους τινὰς ἀερώδεις καθ᾽ οὓς φαίνεται τὰ ἄστρα· διὸ καὶ ἐπιφρασσομένων τῶν ἐκπνοῶν τὰς ἐκλείψεις γίνεσθαι. Τὴν δὲ σελήνην ποτὲ μὲν πληρουμένην φαίνεσθαι, ποτὲ δὲ μειουμένην κατὰ τὴν τῶν πόρων ἐπίφραξιν ἢ ἄνοιξιν. Εἶναι δὲ τὸν κύκλον τοῦ ἡλίου ἑπτακαιεικοσιπλασίονα τῆς σελήνης, καὶ ἀνωτάτω μὲν εἶναι τὸν ἥλιον, κατωτάτω δὲ τοὺς τῶν ἀπλανῶν ἀστέρων κύκλους. Τὰ δὲ ζῶα γίνεσθαι ἐξατμιζόμενα ὑπὸ τοῦ ἡλίου. Τὸν δὲ ἄνθρωπον ἑτέρῳ ζώῳ γεγονέναι, τούτεστιν ἰχθύϊ, παραπλήσιον κατ᾽ ἀρχάς. Ἀνέμους δὲ γίνεσθαι τῶν λεπτοτάτων ἀτμῶν τοῦ ἀέρος ἀποκρινομενων, καὶ

84. ἀνθρώπους (pro οὐρανοὺς) Barb.

85. ὑπὸ μηδενός Taur.

87. κιόνι conjecit Delarue.

ὅταν ἀθροισθῶσι κινουμένων, ὑετὸν δὲ ἐκ γῆς ἀναδιδομένης ἐκ τῶν ὑφ' ἥλιον· ἀστραπὰς δὲ, ὅταν ἄνεμος ἐμπίπτων διϊστᾷ τὰς νεφέλας. Οὗτος ἐγένετο κατὰ ἔτος τρίτον τῆς τεσσαρακοστῆς δευτέρας ὀλυμπιάδος.

### Περι Ἀναξιμενους.

Ἀναξιμένης δὲ καὶ αὐτὸς ὢν Μιλήσιος, υἱὸς δ' Εὐρυστράτου ἀέρα ἄπειρον ἔφη τὴν ἀρχὴν εἶναι, ἐξ οὗ τὰ γινόμενα, τὰ γεγονότα καὶ τὰ ἐσόμενα, καὶ θεοὺς καὶ θεῖα γίνεσθαι, τὰ δὲ λοιπὰ ἐκ τῶν τούτου ἀπογόνων. Τὸ δὲ εἶδος τοῦ ἀέρος τοιοῦτον, ὅταν μὲν ὁμαλώτατος ᾖ, ὄψει ἄδηλον, δηλοῦσθαι δὲ τῷ ψυχρῷ, καὶ τῷ θερμῷ, καὶ τῷ νοτερῷ, καὶ τῷ κινουμένῳ, κινεῖσθαι δὲ ἀεί· οὐ γὰρ μεταβάλλειν ὅσα μεταβάλλει, εἰ μὴ κινοῖτο. Πυκνούμενον γὰρ καὶ ἀραιούμενον διάφορον φαίνεσθαι· ὅταν δὲ εἰς τὸ ἀραιότερον διαχυθῇ, πῦρ γίνεσθαι, μέσως δὲ ἐπὰν εἰς ἀέρα πυκνούμενον, ἐξ ἀέρος νέφος ἀποτελεσθῇ κατὰ τὴν πόλησιν, ἔτι δὲ μᾶλλον ὕδωρ, ἐπὶ πλεῖον πυκνωθέντα γῆν, καὶ εἰς τὸ μάλιστα πυκνώτατον λίθους. Ὥστε τὰ κυριώτατα τῆς γενέσεως ἐναντία εἶναι θερμόν τε καὶ ψυχρόν. Τὴν δὲ γῆν πλατεῖαν εἶναι ἐπ' ἀέρος ὀχουμένην, ὁμοίως δὲ καὶ ἥλιον, καὶ σελήνην, καὶ τὰ ἄλλα ἄστρα· πάντα γὰρ πύρινα ὄντα ἐποχεῖσθαι τῷ ἀέρι διὰ πλάτος. Γεγονέναι δὲ τὰ ἄστρα ἐκ γῆς, διὰ τὸ τὴν ἰκμάδα ἐκ ταύτης ἀνίστασθαι, ἧς ἀραιουμένης τὸ πῦρ γίνεσθαι, ἐκ δὲ τοῦ πυρὸς μετεωριζομένου τοὺς ἀστέρας συνίστασθαι. Εἶναι δὲ καὶ γεώδεις φύσεις ἐν τῷ τόπῳ τῶν ἀστέρων συμφερομένας ἐκείνοις. Οὐ κινεῖσθαι δὲ ὑπὸ γῆν τὰ ἄστρα λέγει, καθὼς ἕτεροι ὑπειλήφασιν, ἀλλὰ περὶ γῆν ὡσπερεὶ περὶ τὴν ἡμετέραν κεφαλὴν στρέφεται τὸ πιλίον, κρύπτεσθαί τε τὸν ἥλιον οὐχ ὑπὸ γῆν γενόμενον, ἀλλ' ὑπὸ τῶν τῆς γῆς ὑψηλοτέρων

μερῶν σκεπόμενον, καὶ διὰ τὴν πλείονα ἡμῶν αὐτοῦ γενομένην ἀπόστασιν. Τὰ δὲ ἄστρα μὴ θερμαίνειν, διὰ τὸ μῆκος τῆς ἀποστάσεως· ἀνέμους δὲ γεννᾶσθαι, ὅταν ἐκπεπυκνωμένος ὁ ἀὴρ ἀραιωθεὶς φέρηται, συνελθόντα δὲ καὶ ἐπὶ πλεῖον παχυθέντα νέφη γεννᾶσθαι, καὶ οὕτως εἰς ὕδωρ μεταβάλλειν. Χαλάζαν δὲ γίνεσθαι, ὅταν ἀπὸ τῶν νεφῶν τὸ ὕδωρ καταφερόμενον παγῇ· χιόνα δὲ, ὅταν αὐτὰ ταῦτα ἐνυγρότερα ὄντα πῆξιν λάβῃ· ἀστραπὴν δ᾽ ὅταν τὰ νέφη διΐσταται βίᾳ πνευμάτων, τούτων γὰρ διϊσταμένων λαμπρὰν καὶ πυρώδη γίνεσθαι τὴν αὐγήν. Ἶριν δὲ γεννᾶσθαι, τῶν ἡλιακῶν αὐγῶν εἰς ἀέρα συνεστῶτα πιπτουσῶν. Σεισμὸν δὲ, τῆς γῆς ἐπὶ πλεῖον ἀλλοιουμένης ὑπὸ θερμασίας καὶ ψύξεως. Ταῦτα μὲν οὖν Ἀναξιμένης. Οὗτος ἤκμασε περὶ ἔτος πρῶτον τῆς πεντηκοστῆς ὀγδόης ὀλυμπιάδος.

### Περι Ἀναξαγοροτ.

Μετὰ τοῦτον γίνεται Ἀναξαγόρας Ἡγησιβούλου ὁ Κλαζομένιος. Οὗτος ἔφη τὴν παντὸς ἀρχὴν νοῦν καὶ ὕλην, τὸν μὲν νοῦν ποιοῦντα, τὴν δὲ ὕλην γινομένην. Ὄντων γὰρ πάντων ὁμοῦ, νοῦς ἐπελθὼν διεκόσμησεν. Τὰς δ᾽ ὑλικὰς ἀρχὰς ἀπείρους ὑπάρχειν, καὶ τὰς σμικροτέρας αὐτῶν ἄπειρα λέγει. Κινήσεως δὲ μετέχειν τὰ πάντα ὑπὸ τοῦ νοῦ κινούμενα, συνελθεῖν τε τὰ ὅμοια. Καὶ τὰ μὲν κατὰ τὸν οὐρανὸν κεκοσμῆσθαι ὑπὸ τῆς ἐγκυκλίου κινήσεως. Τὸ μὲν οὖν πυκνὸν καὶ ὑγρὸν καὶ τὸ σκοτεινὸν καὶ ψυχρὸν καὶ πάντα τὰ βαρεία συνελθεῖν ἐπὶ τὸ μέσον, ἐξ ὧν παγέντων τὴν γῆν ὑποστῆναι· τὰ δ᾽ ἀντικείμενα τούτοις τὸ θερμὸν καὶ τὸ λαμπρὸν καὶ τὸ

50. Ἡγησιφόντου Taur.
56. συνελθεῖν δὲ Medic. melius.
59. Edebatur τὰ βαρεία.

ξηρὸν καὶ τὸ κοῦφον εἰς τὸ πρόσω τοῦ αἰθέρος ὁρμῆσαι. Τὴν δὲ γῆν τῷ σχήματι πλατεῖαν εἶναι καὶ μένειν μετέωρον διὰ τὸ μέγεθος καὶ διὰ τὸ μηδὲν εἶναι κενὸν, καὶ διὰ τὸ τὸν ἀέρα ἰσχυρότατον ὄντα φέρειν ἐποχουμένην τὴν γῆν. Τῶν δ' ἐπὶ γῆς ὑγρῶν τὴν μὲν θάλασσαν ὑπάρξαι, τά τε ἐν αὐτῇ ὕδατα ἐξατμισθέντα ὑποστάντα οὕτως γεγονέναι καὶ ἀπὸ τῶν καταρρευσάντων ποταμῶν. Τοὺς δὲ ποταμοὺς καὶ ἀπὸ τῶν ὄμβρων λαμβάνειν τὴν ὑπόστασιν καὶ ἐξ αὐτῶν τῶν ἐν τῇ γῇ. Εἶναι γὰρ αὐτὴν κοίλην, καὶ ἔχειν ὕδωρ ἐν τοῖς κοιλώμασιν. Τὸν δὲ Νεῖλον αὔξεσθαι κατὰ τὸ θέρος καταφερομένων εἰς αὐτὸν ὑδάτων ἀπὸ τῶν ἐν τοῖς ἀρκτοῖς χιόνων. Ἥλιον δὲ καὶ σελήνην καὶ πάντα τὰ ἄστρα λίθους εἶναι ἐμπύρους συμπεριληφθέντας ὑπὸ τῆς αἰθέρος περιφορᾶς. Εἶναι δ' ὑποκάτω τῶν ἄστρων ἥλιον καὶ σελήνην σώματά τινα συμπεριφερόμενα ἡμῖν ἀόρατα, τῆς δὲ θερμότητος μὴ αἰσθάνεσθαι τῶν ἄστρων διὰ τὸ μακρὰν εἶναι καὶ διὰ τὴν ἀπόστασιν τῆς γῆς· ἔτι δὲ οὐχ ὁμοίως θερμὰ τῷ ἡλίῳ διὰ τὸ χώραν ἔχειν ψυχροτέραν. εἶναι δὲ τὴν σελήνην κατωτέρω τοῦ ἡλίου πλησιώτερον ἡμῶν. Ὑπερέχειν δὲ τὸν ἥλιον μεγέθει τὴν Πελοπόννησον. Τὸ δὲ φῶς τὴν σελήνην μὴ ἴδιον ἔχειν, ἀλλ' ἀπὸ τοῦ ἡλίου. Τὴν δὲ τῶν ἄστρων περιφορὰν ὑπὸ γῆν γίνεσθαι. Ἐκλείπειν δὲ τὴν σελήνην γῆς ἀντιφραττούσης, ἐνιότε δὲ καὶ τῶν ὑποκάτω τῆς σελήνης. Τὸν δὲ ἥλιον, ταῖς νουμηνίαις σελήνης ἀντιφραττούσης. Τροπὰς δὲ ποιεῖσθαι καὶ ἥλιον καὶ σελήνην ἀπωθουμένους ὑπὸ τοῦ ἀέρος. Σελήνην δὲ πολλάκις τρέπεσθαι διὰ τὸ μὴ δύνασθαι κρατεῖν τοῦ ψυχροῦ. Οὗτος ἀφώρισε πρῶτος τὰ περὶ τὰς ἐκλείψεις καὶ φωτισμούς. Ἔφη δὲ γηΐνην εἶναι τὴν σελήνην, ἔχειν τε

76. ἡλίου καὶ σελήνης recte correxit Delarue.

ἐν αὐτῇ πεδία καὶ φάραγγας. Τόν τε γαλαξίαν ἀνάκλασιν εἶναι τοῦ φωτὸς τῶν ἄστρων τῶν μὴ καταλαμβανομένων ὑπὸ τοῦ ἡλίου. τοὺς δὲ μεταβαίνοντας ἀστέρας ὡσεὶ σπινθῆρας ἀφαλλομένους γίνεσθαι ἐκ τῆς κινήσεως τοῦ πόλου. Ἀνέμους δὲ γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου καὶ τῶν ἐκκαιομένων πρὸς τὸν πόλον ὑποχωρούντων καὶ ἀποφερομένων. Βροντάς τε καὶ ἀστραπὰς ἀπὸ θερμοῦ γίνεσθαι ἐμπίπτοντος εἰς τὰ νέφη. Σεισμοὺς δὲ γίνεσθαι τοῦ ἄνωθεν ἀέρος εἰς τὸν ὑπὸ γῆν ἐκπίπτοντος· τούτου γὰρ κινουμένου καὶ τὴν ὀχουμένην γῆν ὑπ' αὐτοῦ σαλεύεσθαι. Ζῶα δὲ τὴν μὲν ἀρχὴν ἐν ὑγρῷ γενέσθαι, μετὰ ταῦτα δὲ ἐξ ἀλλήλων, καὶ ἄρρενας μὲν γίνεσθαι, ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀποκριθὲν τὸ σπέρμα τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κολληθῇ, τὰ δὲ θήλεα κατὰ τοὐναντίον. Οὗτος ἤκμασεν ἔτους πρώτου τῆς ὀγδοηκοστῆς ὀγδόης ὀλυμπιάδος, καθ' ὃν καῖρον καὶ Πλάτωνα λέγουσι γεγενῆσθαι. Τοῦτον λέγουσι καὶ προγνωστικὸν γεγονέναι.

## Περι Ἀρχελαου.

Ἀρχέλαος τὸ μὲν γένος Ἀθηναῖος, υἷος δὲ Ἀπολλοδώρου. Οὗτος ἔφη τὴν μίξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ, τάς τε ἀρχὰς ὡσαύτως. Οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μίγμα, εἶναι ἀρχὰς τῆς κινήσεως, ἀποκρίνεσθαι ἀπ' ἀλλήλων τὸ θερμὸν καὶ τὸ ψυχρὸν, καὶ τὸ μὲν θερμὸν κινεῖσθαι, τὸ δὲ ψυχρὸν ἠρεμεῖν. Τηκόμενον δὲ τὸ ὕδωρ εἰς μέσον ῥεῖν, ἐν ᾧ καὶ κατακαιόμενον ἀέρα γίνεσθαι καὶ γῆν, ὧν τὸ μὲν ἄνω φέρεσθαι, τὸ δὲ ὑφίστασθαι κάτω. Τὴν μὲν οὖν γῆν ἠρεμεῖν καὶ γενέσθαι διὰ ταῦτα, κεῖσθαι δ' ἐν μέσῳ οὐδὲν μέρος οὖσαν, ὡς

4. γεννᾶσθαι Barb.

εἰπεῖν, τοῦ παντὸς, ἐκδεδομένου ἐκ τῆς πυρώσεως, ἀφ' οὗ πρῶτον ἀποκαιομένου τὴν τῶν ἀστέρων εἶναι φύσιν, ὧν μέγιστον μὲν ἥλιον, δεύτερον δὲ σελήνην, τῶν δὲ ἄλλων τὰ μὲν ἐλάττω, τὰ δὲ μείζω. Ἐπικλιθῆναι δὲ τὸν οὐρανόν φησι, καὶ οὕτως τὸν ἥλιον ἐπὶ τῆς γῆς ποιῆσαι φῶς, καὶ τόν τε ἀέρα ποιῆσαι διαφανῆ, καὶ τὴν γῆν ξηράν. Λίμνην γὰρ εἶναι τὸ πρῶτον, ἅτε κύκλῳ μὲν οὖσαν ὑψηλὴν, μέσον δὲ κοιλήν. Σημεῖον δὲ φέρει τῆς κοιλότητος, ὅτι ὁ ἥλιος οὐχ ἅμα ἀνατέλλει τε καὶ δύεται πᾶσιν, ὅπερ ἔδει συμβαίνειν, εἴπερ ἦν ὁμαλή. Περὶ δὲ ζώων φησὶν, ὅτι θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κατὰ μέρος ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῶα πολλὰ καὶ ἀνόμοια πάντα τὴν αὐτὴν διαίταν ἔχοντα ἐκ τῆς ἰλύος τρεφόμενα, ἦν δὲ ὀλιγοχρόνια· ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις ἀνέστη, καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας, καὶ νόμους, καὶ τέχνας, καὶ πόλεις, καὶ τὰ ἄλλα συνέστησαν. Νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζώοις ὁμοίως. Χρήσασθαι γὰρ ἕκαστον καὶ τῶν σωμάτων ὅσῳ τὸ μὲν βραδυτέρως, τὸ δὲ ταχυτέρως.

Ἡ μὲν οὖν φυσικὴ φιλοσοφία ἀπὸ Θάλητος ἕως Ἀρχελάου διέμεινε· τούτου γίνεται Σωκράτης ἀκροατής. Εἰσὶ δὲ καὶ ἕτεροι πλεῖστοι διαφόρους δόξας προενεγκάμενοι περί τε τοῦ θείου καὶ τῆς τοῦ παντὸς φύσεως. ὧν εἰ πάσας τὰς δόξας ἐβουλόμεθα παραθεῖναι, πολλὴν ἂν ὕλην βιβλίων ἔδει κατασκευάζειν. Ὧν δὲ ἔδει μάλιστα ἐπ' ὀνόματος ὄντων καὶ ὡς εἰπεῖν κορυφαίων πᾶσι τοῖς μετέπειτα φιλοσοφήσασι γενομένων ἀφορμὰς δεδω-

29. μέσον Barb. et Ottob. Edebatur μέσου. Cf. p. 18, 35.

37. συνέστη Taur. et Ottob.

κότων πρὸς τὰ ἐπιχειρούμενα ὑπομνησθέντες ἐπὶ τὰ ἑξῆς ὁρμήσωμεν.

### ΠΕΡΙ ΠΑΡΜΕΝΙΔΟΥ.

Καὶ γὰρ καὶ Παρμενίδης ἓν μὲν τὸ πᾶν ὑποτίθεται ἀΐδιόν τε καὶ ἀγέννητον καὶ σφαιροειδές. Οὐδὲ αὐτὸς ἐκφευγὼν τὴν τῶν πολλῶν δόξαν, πῦρ λέγων καὶ γῆν τὰς τοῦ παντὸς ἀρχάς· τὴν μὲν γῆν ὡς ὕλην, τὸ δὲ πῦρ ὡς αἴτιον καὶ ποιοῦν. Τὸν κόσμον ἔφη φθείρεσθαι, ᾧ δὲ τρόπῳ, οὐκ εἶπεν. Ὁ αὐτὸς δὲ εἶπεν ἀΐδιον εἶναι τὸ πᾶν, καὶ οὐ γενόμενον, καὶ σφαιροειδὲς, καὶ ὅμοιον, οὐκ ἔχον δὲ τύπον ἐν ἑαυτῷ, καὶ ἀκίνητον καὶ πεπερασμένον.

### ΠΕΡΙ ΛΕΥΚΙΠΠΟΥ.

Λεύκιππος δὲ Ζήνωνος ἑταῖρος οὐ τὴν αὐτὴν δόξαν διετήρησεν, ἀλλά φησιν ἄπειρα εἶναι καὶ ἀεὶ κινούμενα καὶ γένεσιν καὶ μεταβολὴν συνεχῶς οὖσαν. Στοιχεῖα δὲ λέγει τὸ πλῆρες καὶ τὸ κένον. Κόσμους δὲ γενέσθαι λέγει, ὅταν εἰς μετάκοινον ἐκ τοῦ περιέχοντος ἀθροισθῇ πολλὰ σώματα καὶ συρρυῇ, προσκρούοντα ἀλλήλοις συμπλέκεσθαι τὰ ὁμοιοσχήμονα καὶ παραπλήσια τὰς μορφὰς, καὶ περιπλεχθέντων εἰς ἕτερα γίνεσθαι, αὔξειν δὲ καὶ φθίνειν διὰ τὴν ἀνάγκην. Τίς δ᾽ ἂν εἴη ἡ ἀνάγκη, οὐ διώρισεν.

### ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ.

Δημόκριτος δὲ Λευκίππου γίνεται γνώριμος. Δημόκριτος Δαμασίππου, Ἀβδηρίτης, πολλοῖς συμβαλὼν Γυμνοσοφισταῖς ἐν Ἰνδοῖς καὶ ἱερεῦσιν ἐν Αἰγύπτῳ, καὶ ἀστρολόγοις, καὶ ἐν Βαβυλῶνι Μάγοις. Λέγει δὲ ὁμοίως Λευκίππῳ περὶ στοιχείων, πλήρους καὶ κενοῦ, τὸ μὲν πλῆρες λέγων ὂν, τὸ δὲ κενὸν, οὐκ ὄν· ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ, ἀπείρους δὲ εἶναι

κόσμους καὶ μεγέθει διαφέροντας, ἔν τισι δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἔν τισι δὲ μείζω τῶν παρ' ἡμῖν, καὶ ἔν τισι πλείω. Εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν πλείους, τῇ δὲ ἐλάττους, καὶ τοὺς μὲν αὔξεσθαι, τοὺς δὲ ἀκμάζειν, τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίνεσθαι, τῇ δὲ λείπειν. Φθείρεσθαι δὲ αὐτοὺς ὑπ' ἀλλήλων προσπίπτοντας. Εἶναι δὲ ἐνίους κόσμους ἐρήμους ζώων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ. Τοῦ δὲ παρ' ἡμῖν κόσμου πρότερον τὴν γῆν τῶν ἄστρων γενέσθαι, εἶναι δὲ τὴν μὲν σελήνην κάτω, ἔπειτα τὸν ἥλιον, εἶτα τοὺς ἀπλανεῖς ἄστερας. Τοὺς δὲ πλάνητας οὐδ' αὐτοὺς ἔχειν ἶσον ὕψος. Ἀκμάζειν δὲ κόσμον, ἕως ἂν μηκέτι δύνηται ἔξωθέν τι προσλαμβάνειν. Οὗτος ἐγέλα πάντα, ὡς γέλωτος ἀξίων πάντων τῶν ἐν ἀνθρώποις.

### Περι Ξενοφανους.

Ξενοφάνης δὲ ὁ Κολοφώνιος Ὀρθομένους υἱος. Οὗτος ἕως Κύρου διέμεινεν. Οὗτος ἔφη πρῶτος ἀκαταληψίαν εἶναι πάντων, εἰπὼν οὕτως·

> εἰ γὰρ καὶ τὰ μάλιστα τύχῃ τετελεσμένον εἰπών,
> αὐτὸς ὅμως οὐκ οἶδε, δόκος δ' ἐπὶ πᾶσι τέτυκται.

Λέγει δὲ ὅτι οὐδὲν γίνεται, οὐδὲ φθείρεται, οὐδὲ κινεῖται, καὶ ὅτι ἓν τὸ πᾶν ἐστιν ἔξω μεταβολῆς. Φησὶ δὲ καὶ τὸν θεὸν εἶναι ἀΐδιον, καὶ ἕνα, καὶ ὅμοιον πάντῃ, καὶ πεπερασμένον, καὶ σφαιροειδῆ, καὶ πᾶσι τοῖς μορίοις αἰσθητικόν. Τὸν δὲ ἥλιον ἐκ μικρῶν πυριδίων ἀθροιζομένων γίνεσθαι καθ' ἑκάστην ἡμέραν, τὴν δὲ γῆν ἄπειρον εἶναι, καὶ μήτε ὑπ' ἀέρος, μήτε ὑπὸ τοῦ οὐρανοῦ περιέχεσθαι. Καὶ ἀπείρους ἡλίους εἶναι καὶ σελήνας, τὰ δὲ πάντα εἶναι ἐκ γῆς. Οὗτος τὴν θάλασσαν ἁλμυρὰν ἔφη διὰ τὸ πόλλα μίγματα συρρέειν ἐν αὐτῇ. Ὁ δὲ Μη-

τρόδωρος, διὰ τὸ ἐν τῇ γῇ διηθεῖσθαι, τούτου χάριν γίνεσθαι ἁλμυράν. Ὁ δὲ Ξενοφάνης μίξιν τῆς γῆς πρὸς τὴν θάλασσαν γίνεσθαι δοκεῖ, καὶ τῷ χρόνῳ ἀπὸ τοῦ ὑγροῦ λύεσθαι, φάσκων τοιαύτας ἔχειν ἀποδείξεις, ὅτι ἐν μέσῃ γῇ καὶ ὄρεσιν εὑρίσκονται κόγχαι, καὶ ἐν Συρρακούσαις δὲ ἐν ταῖς λατομίαις λέγει εὑρῆσθαι τύπον ἰχθύος καὶ φωκῶν, ἐν δὲ Πάρῳ τύπον δάφνης ἐν τῷ βάθει τοῦ λίθου, ἐν δὲ Μελίτῳ πλάκας συμπάντων θαλασσίων. Ταῦτα δέ φησι γενέσθαι, ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι, ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας, ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν, πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ τοῦτο πᾶσι τοῖς κόσμοις γίνεσθαι καταβάλλειν.

### Περι Εκφαντου.

Ἔκφαντός τις Συρρακούσιος ἔφη μὴ εἶναι ἀληθινὴν τῶν ὄντων λαβεῖν γνῶσιν. Ὁρίζει δὲ ὡς νομίζει τὰ μὲν πρῶτα ἀδιαίρετα εἶναι σώματα, καὶ παραλλαγὰς αὐτῶν τρεῖς ὑπάρχειν, μέγεθος, σχῆμα, δύναμιν, ἐξ ὧν τὰ αἰσθητὰ γίνεσθαι. Εἶναι δὲ τὸ πλῆθος αὐτῶν ὡρισμένον καὶ τοῦτο ἄπειρον. Κινεῖσθαι δὲ τὰ σώματα μήτε ὑπὸ βάρους μήτε πληγῆς, ἀλλ' ὑπὸ θείας δυνάμεως, ἣν νοῦν καὶ ψυχὴν προσαγορεύει. Τοῦ μὲν οὖν τὸν κόσμον εἰδέναι ἰδεῖν, δι' ὃ καὶ σφαιροειδῆ ὑπὸ μίας δυνάμεως γεγονέναι. Τὴν δὲ γῆν μέσον κόσμου κινεῖσθαι περὶ τὸ αὐτῆς κέντρον ὡς πρὸς ἀνατολήν.

### Περι Ιππωνος.

Ἵππων δὲ ὁ Ῥηγῖνος ἀρχὰς ἔφη ψυχρὸν τὸ ὕδωρ καὶ

33. Fort. leg. Τοῦτον μέν.

θερμὸν τὸ πῦρ. Γεννώμενον δὲ τὸ πῦρ ὑπὸ ὕδατος κατανικῆσαι τὴν τοῦ γεννήσαντος δύναμιν, συστῆσαί τε τὸν κόσμον. Τὴν δὲ ψυχὴν ποτὲ μὲν ἐγκέφαλον ἔχειν, ποτὲ δὲ ὕδωρ, καὶ παρὰ τὸ σπέρμα εἶναι τὸ φαινόμενον ἡμῖν ἐξ ὑγροῦ, ἐξ οὗ φησι ψυχὴν γίνεσθαι.

Ταῦτα μὲν οὖν ἱκανῶς δοκοῦμεν παρατεθεικέναι. Διὸ δοκεῖ λοιπὸν αὐτάρκως διαδραμόντων ἡμῶν τὰ τοῖς φυσικοῖς δόξαντα, ἀναδραμεῖν ἐπὶ Σωκράτην καὶ Πλάτωνα, οἳ τὸ ἠθικὸν μάλιστα προετίμησαν.

### Περι Σωκρατους.

Ὁ μὲν οὖν Σωκράτης γίνεται Ἀρχελάου τοῦ φυσικοῦ ἀκροατής· ὃς τὸ γνῶθι σαὐτὸν προτιμήσας καὶ μεγάλην σχολὴν συστήσας ἔσχε πάντων τῶν μαθητῶν ἱκανότερον τὸν Πλάτωνα, αὐτὸς μὲν μήδε συγγράμματα καταλιπών. Ὁ δὲ Πλάτων τὴν πᾶσαν αὐτοῦ σοφίαν ἀπομαξάμενος συνέστησε τὸ διδασκαλεῖον, μίξας ὁμοῦ φυσικὴν, ἠθικὴν, διαλεκτικήν. Ἃ δὲ ὁ Πλάτων ὁρίζεται, ταῦτα.

### Περι Πλατωνος.

Πλάτων ἀρχὰς εἶναι τοῦ παντὸς θεὸν καὶ ὕλην καὶ παράδειγμα· θεὸν μὲν τὸν ποιητὴν καὶ διακοσμήσαντα τόδε τὸ πᾶν καὶ προνοούμενον αὐτοῦ· ὕλην δὲ τὴν πᾶσαν ὑποκειμένην, ἣν καὶ δεξαμενὴν καὶ τιθήνην καλεῖ, ἐξ ἧς διακοσμηθείσης γενέσθαι τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνέστηκεν ὁ κόσμος, πυρὸς, ἀέρος, γῆς, ὕδατος, ἐξ ὧν καὶ τὰ ἄλλα πάντα συγκρίματα καλού-

40. κατανικῆσαι Taur. Solus. Alii codd. κατανικῆσαν.
61. δεξαμενὴν Med. Edebatur δεξαμένην.
64. ἅπαντα συγκράματα Taur.

μενα, ζῶά τε καὶ φυτὰ συνεστηκέναι. Τὸ δὲ παράδειγμα τὴν διάνοιαν τοῦ θεοῦ εἶναι, ὃ καὶ ἰδέας καλεῖ, οἷον εἰκονίσματι προσέχων ἐν τῇ ψυχῇ ὁ θεὸς τὰ πάντα ἐδημιούργει. Τὸν μὲν θεόν φησιν ἀσώματόν τε καὶ ἀνείδεον, καὶ μόνοις σοφοῖς ἀνδράσι καταληπτὸν εἶναι· τὴν δὲ ὕλην δυνάμει μὲν σῶμα, ἐνεργείᾳ δὲ οὐδέπω· ἀσχημάτιστον γὰρ αὐτὴν οὖσαν καὶ ἄποιον, προσλαβοῦσαν σχήματα καὶ ποιότητας, γενέσθαι σῶμα. Τὴν μὲν οὖν ὕλην ἀρχὴν εἶναι καὶ σύγχρονον τῷ θεῷ ταύτην, καὶ ἀγέννητον τὸν κόσμον. Ἐκ γὰρ αὐτοῦ συνεστᾶναί φησιν αὐτόν. Τῷ δὲ ἀγεννήτῳ ἀκολουθεῖν πάντως καὶ τὸ ἄφθαρτον. Ἧι δὲ σῶμά τε καὶ ἐκ πολλῶν ποιοτήτων καὶ ἰδεῶν συγκείμενον ὑποτίθεται, ταύτῃ καὶ γεννητὸν καὶ φθαρτόν. Τινὲς δὲ τῶν Πλατωνικῶν ἀμφότερα ἔμιξαν, χρησάμενοι παραδείγματι τοιούτῳ· ὅτι ὥσπερ ἅμαξα δύναται ἀεὶ διαμένειν ἄφθαρτος κατὰ μέρος ἐπισκευαζομένη κἂν τὰ μέρη φθείρηται ἑκάστοτε, αὐτὴ δὲ ὁλόκληρος ἀεὶ μένει· τοῦτον τὸν τρόπον καὶ ὁ κόσμος κατὰ μέρη μένει καὶ φθείρεται, ἐπισκευαζομένων καὶ ἀντανισουμένων τῶν ἀφαιρουμένων ἀΐδιος μένει. Τὸν δὲ θεὸν οἱ μὲν ἕνα φασὶν αὐτὸν εἰπεῖν ἀγέννητον καὶ ἄφθαρτον, ὡς λέγει ἐν τοῖς Νόμοις· ὁ μὲν δὴ θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ἁπάντων ἔχων. Οὕτως ἕνα αὐτὸν τὸν διὰ πάντων κεχωρηκότα ἀποφαίνεται. Οἱ δὲ καὶ πολλοὺς, ἀορίστως, ὅταν λέγῃ· θεὸς θεῶν ἐγὼ δημιοῦργός τε καὶ πατήρ. Οἱ δὲ καὶ ὡρισμένους, ὅταν λέγῃ, ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων, καὶ ὅταν γενεαλογῇ τοὺς οὐρανοῦ παῖδας καὶ γῆς. Οἱ δὲ συστήσασθαι μὲν αὐτὸν θεοὺς γενητοὺς, καὶ διὰ μὲν τὸ γεγεν-

94. γενητοὺς et γεγενῆσθαι Barb. recte. Vulgo γενν.

νῆσθαι, πάντως αὐτοὺς φθαρῆναι ἀνάγκην ἔχειν, διὰ δὲ 95 τὴν βούλησιν τοῦ θεοῦ ἀθανάτους εἶναι, ἐν ᾧ προσθεὶς λέγει· θεὸς θεῶν, ὧν ἐγὼ δημιοῦργός τε καὶ πατὴρ, ἄλυτα ἐμοῦ γε θέλοντος, ὡς ἂν εἰ λυθῆναι αὐτὰ θέλει, ῥᾳδίως λυθησόμενα. Δαιμόνων δὲ φύσεις ἀποδέχεται, καὶ τοὺς μὲν ἀγαθοὺς εἶναι φησὶν αὐτῶν, τοὺς δὲ φαύλους. Καὶ τὴν ψυχὴν οἱ μὲν φασὶν αὐτῶν ἀγένητον λέγειν καὶ ἄφθαρτον, ὅταν λέγῃ· ψυχὴ πᾶσα ἀθάνατος, τὸ γὰρ ἀεὶ κίνητον ἀθάνατον. καὶ ὅταν αὐτοκίνητον αὐτὴν ἀποδεικνύῃ καὶ ἀρχὴν κινήσεως. Οἱ δὲ γενητὴν μὲν, ἄφθαρτον δὲ διὰ τὴν τοῦ θεοῦ βούλησιν. Οἱ δὲ σύνθετον καὶ γενητὴν καὶ φθαρτήν· καὶ γὰρ κρατῆρα αὐτῆς ὑποτίθεται, καὶ σῶμα αὐτὴν ἔχειν αὐγοειδὲς, τὸ δὲ γενόμενον πᾶν ἀνάγκην ἔχειν φθαρῆναι. Οἱ δὲ ἀθάνατον αὐτὴν εἶναι λέγοντες μάλιστα ἐκεῖνοι ἰσχυρίζονται, ὅσοι καὶ κρίσεις φασὶν εἶναι μετὰ τελεύτην, καὶ ἐν Ἅιδου δικαστήρια, καὶ τὰς μὲν ἀγαθὰς ἀγαθοῦ μισθοῦ τυγχάνειν, τὰς δὲ πονηρὰς ἀκολούθων δικῶν. Τινὲς μὲν οὖν φασιν καὶ μετενσωμάτωσιν αὐτὸν ὁμολογεῖν καὶ μεταβαίνειν τὰς ψυχὰς ὡρισμένας οὔσας ἄλλας εἰς ἄλλα σώματα κατ' ἀξίαν ἑκάστῃ καὶ κατὰ τινὰς περιόδους ὡρισμένας ἀναπέμπεσθαι ἐς τοῦτον τὸν κόσμον πάλιν πεῖραν παρεξομένας τῆς ἑαυτῶν προαιρέσεως. Οἱ δὲ οὔ, ἀλλὰ τόπον λαγχάνειν κατ' ἀξίαν ἑκάστῃ, καὶ χρῶνται μαρτυρίῳ, ὅτι φασὶ μετὰ Διός τινας εἶναι, ἄλλους δὲ μετὰ ἄλλων θεῶν συμπεριπολοῦντας τῶν ἀγαθῶν ἀνδρῶν, τοὺς δὲ ἐν κολάσεσιν ὑπάρχειν αἰωνίαις, ὅσοι πονηρὰ καὶ ἄδικα παρὰ τοῦτον τὸν βίον εἰσὶν ἐξειργασμένοι. Φασὶ δὲ αὐτὸν τὰ μὲν ἄμεσα λέγειν, τὰ δὲ ἔμμεσα, τὰ δὲ μέσα τῶν πραγμάτων. Ἐγρήγορσιν μὲν καὶ ὕπνον ἄμεσα, καὶ

9. ἀνάγκην εἶναι Taur.
14. μεταβάλλειν Ottob.
22. αἰωνιαίως Ottob. Oportebat αἰωνίοις.

ὅσα τοιαῦτα. Ἔμμεσα δὲ, οἷον ἀγαθὰ καὶ κακά. Καὶ μέσα, οἷον τοῦ λευκοῦ καὶ μέλανος τὸ φαιὸν, ἤ τι ἄλλο χρῶμα. Ἀγαθὰ δὲ μόνα κυρίως λέγειν φασὶν αὐτὸν τὰ περὶ ψυχήν. Τὰ δὲ περὶ σῶμα καὶ τὰ ἐκτὸς οὐκ ἔτι κυρίως ἀγαθὰ, ἀλλὰ λεγόμενα ἀγαθά. Πολλαχοῦ δὲ καὶ μέσα ὠνομακέναι αὐτά· εἶναι γὰρ αὐτοῖς καὶ καλῶς καὶ κακῶς χρῆσθαι. Τὰς μὲν οὖν ἀρετὰς κατὰ τιμὴν ἀκρότητας εἶναί φασι, κατὰ δὲ οὐσίαν μεσότητας· τιμιότερον μὲν γὰρ οὐδὲν ἀρετῆς. Τὸ δὲ ὑπερβάλλον αὐτῶν ἢ ἐνδέον εἰς κακίαν τελευτᾷν, οἷον τέσσαράς φασιν εἶναι ἀρετὰς φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν. Τούτων ἑκάστῃ παρακολουθεῖν δύο κακίας, καθ' ὑπερβολὴν καὶ μείωσιν, οἷον τῇ μὲν φρονήσει ἀφροσύνην κατὰ μείωσιν, πανουργίαν δὲ καθ' ὑπερβολήν. Τῇ δὲ σωφροσύνῃ ἀκολασίαν κατὰ μείωσιν, σκαιότητα καθ' ὑπερβολήν. Τῇ δὲ δικαιοσύνῃ μειονεξίαν κατὰ μείωσιν, πλεονεξιαν καθ' ὑπερβολήν. Τῇ δὲ ἀνδρείᾳ δειλίαν κατὰ μείωσιν, θρᾶσος καθ' ὑπερβολήν. Ταύτας δὲ ἐγγενομένας τὰς ἀρετὰς ἀνθρώπῳ ἀπεργάζεσθαι αὐτὸν τέλειον, καὶ παρέχειν αὐτῷ εὐδαιμονίαν. Τὴν δὲ εὐδαιμονίαν εἶναί φησιν ὁμοίωσιν θεῷ, κατὰ τὸ δυνατόν. Τὴν δὲ ὁμοίωσιν τῷ θεῷ, ὅταν τις ὅσιός τε καὶ δίκαιος γένηται μετὰ φρονήσεως. Τέλος γὰρ τοῦτο τῆς ἄκρας σοφίας καὶ ἀρετῆς ὑποτίθεται. Λέγει δὲ ἀντακολουθεῖν τὰς ἀρετὰς ἀλλήλαις καὶ μονοειδεῖς εἶναι, καὶ μηδέποτε ἐναντιοῦσθαι ἀλλήλαις. Τὰς δὲ κακίας πολυτρόπους τε εἶναι, καὶ ποτὲ μὲν ἀντακολουθεῖν, ποτὲ δὲ ἐναντιοῦσθαι ἀλλήλαις. Εἱμαρμένην φησὶν εἶναι, οὐ μὴν πάντα καθ' εἱμαρμένην γίνεσθαι, ἀλλ' εἶναί τι καὶ ἐφ' ἡμῖν, ἐν οἷς φησίν· αἰτία ἑλομένου, θεὸς ἀναίτιος, καὶ θεσμός τε Ἀδραστείας. Οἱ

43. θρασύτητα Barb. 53. φασίν Barb. Ottob. et Med. Vulgo φησίν.

δὲ οὕτω τὸ καθ' εἱμαρμένην, οἱ δὲ καὶ τὸ ἐφ' ἡμῖν. ἀκούσια δέ φησιν εἶναι τὰ ἁμαρτήματα· εἰς γὰρ τὸ κάλλιστον τῶν ἐν ἡμῖν ὅπερ ἐστὶν ἡ ψυχὴ, οὐκ ἄν τινα τὸ κακὸν παραδέξασθαι, τουτέστι τὴν ἀδικίαν· κατὰ ἄγνοιαν δὲ καὶ σφάλμα τοῦ ἀγαθοῦ, οἰομένους καλόν τι ποιεῖν, ἐπὶ τὸ κακὸν ἔρχεσθαι. Καὶ λέξις τούτου ἐμφανεστάτη ἐστὶν ἐν τῇ πολιτείᾳ ἐν ᾗ φησιν· πάλιν δὲ αὐτῷ ἅμα τε λέγειν ὡς αἰσχρὸν καὶ θεομισὲς ἡ κακία· πῶς οὖν δή τις τὸ τοιοῦτον κακὸν αἱροῖτ' ἂν, ἣ τῶν ὅσα δή φατε τῶν ἡδονῶν; Οὐκοῦν καὶ τοῦτο ἀκούσιον, εἴπερ τὸ νικᾷν ἑκούσιον, ὥστε ἐκ παντὸς λόγου τόγε ἀδικεῖν ἀκούσιον λόγος αἱρεῖ. Ἀντιτίθεται δέ τις αὐτῷ πρὸς τοῦτο· διὰ τί οὖν κολάζονται, εἰ ἀκουσίως ἁμαρτάνουσιν; Ὁ δὲ λέγει, ἵνα τε αὐτὸς ὅτι τάχιστα ἀπαλλαγῇ κακίας, καὶ κόλασιν ὑπόσχῃ. Τὸ γὰρ κόλασιν ὑποσχεῖν οὐ κακὸν εἶναι ἀλλὰ ἀγαθὸν, εἴπερ μέλλει κάθαρσις τῶν κακῶν γίνεσθαι· καὶ ἵνα μηδὲ ἁμαρτάνωσιν οἱ λοιποὶ ἀκούοντες ἄνθρωποι, ἀλλὰ φυλάσσωνται τὴν τοιαύτην πλάνην. Κακοῦ δὲ φύσιν οὔτε ὑπὸ θεοῦ γενέσθαι, οὔτε καθ' αὐτὴν ὑπόστασιν ἔχειν, ἀλλὰ κατ' ἐναντίωσιν καὶ παρακολούθησιν τοῦ ἀγαθοῦ γενέσθαι, ἢ καθ' ὑπερβολὴν ἢ κατὰ μείωσιν, ὡς περὶ τῶν ἀρετῶν προείπομεν. Ὁ μὲν οὖν Πλάτων, καθὼς προείπομεν, συναγαγὼν τὰ τρία μέρη τῆς κατὰ πάντα φιλοσοφίας, οὕτως ἐφιλοσόφησεν.

## Περι Αριστοτελουσ.

Ἀριστοτέλης τούτου γενόμενος ἀκροατὴς εἰς τέχνην τὴν φιλοσοφίαν ἤγαγεν, καὶ λογικώτερος ἐγένετο. Τὰ μὲν στοιχεῖα τῶν πάντων ὑποθέμενος οὐσίαν καὶ συμβεβηκός· τὴν μὲν οὐσίαν μίαν τὴν πᾶσιν ὑποκειμένην,

67. αἱρεῖ de conj. Edebatur ἐρεῖ. 76. γενήσεσθαι Taur.

τὰ δὲ συμβεβηκότα ἐννέα, ποσὸν, ποιὸν, πρὸς τί, ποῦ, πότε, ἔχειν, κεῖσθαι, ποιεῖν, πάσχειν· τὴν μὲν οὖν οὐσίαν τοιαύτην εἶναι, οἷον θεὸν, ἄνθρωπον, καὶ ἕκαστον τῶν τῷ ὁμοίῳ λόγῳ ὑποπεσεῖν δυναμένων. Περὶ δὲ τὰ συμβεβηκότα θεωρεῖται τὸ μὲν ποιὸν, οἷον λευκὸν, μέλαν· τὸ δὲ ποσὸν, οἷον δίπηχυ, τρίπηχυ· τὸ δὲ πρὸς τί, οἷον πατὴρ, υἱός· τὸ δὲ ποῦ, οἷον Ἀθήνῃσι, Μεγάροισι· τὸ δὲ πότε, οἷον ἐπὶ τῆς δεκάτης ὀλυμπιάδος· τὸ δὲ ἔχειν, οἷον κεκτῆσθαι· τὸ δὲ ποιεῖν, οἷον γράφειν, καὶ ὅλως ἐνεργεῖν τι· τὸ δὲ κεῖσθαι, οἷον κατακεῖσθαι· τὸ δὲ πάσχειν, οἷον τύπτεσθαι. Ὑποτίθεται καὶ αὐτὸς τὰ μὲν μεσότητα ἔχειν, τὰ δὲ ἄμεσα εἶναι, ὡς εἴπομεν καὶ περὶ τοῦ Πλάτωνος. Καὶ σχεδὸν τὰ πλεῖστα τῷ Πλάτωνι σύμφωνός ἐστι, πλὴν τοῦ περὶ ψυχὴν δόγματος. Ὁ μὲν γὰρ Πλάτων ἀθάνατον, ὁ δὲ Ἀριστοτέλης ἐπιδιαμένειν καὶ μετὰ ταῦτα καὶ ταύτην ἐναφανίζεσθαι τῷ πέμπτῳ σώματι, ὃ ὑποτίθεται εἶναι μετὰ τῶν ἄλλων τεσσάρων, τοῦ τε πυρὸς καὶ τῆς γῆς καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος λεπτότερον, οἷον πνεῦμα. Ὁ μὲν οὖν Πλάτων μόνα ἀγαθὰ ὄντως τὰ περὶ ψυχὴν εἶναί φησιν, καὶ ἀρκεῖν πρὸς τὴν εὐδαιμονίαν. Ὁ δὲ Ἀριστοτέλης τριγένειαν τῶν ἀγαθῶν εἰσάγει, καὶ λέγει μὴ εἶναι τέλειον τὸν σοφὸν ἐὰν μὴ παρῇ αὐτῷ καὶ τὰ τοῦ σώματος ἀγαθὰ καὶ τὰ ἐκτὸς, ἅ ἐστι κάλλος, ἰσχὺς, εὐαισθησία, ἀρτιότης· τὰ δὲ ἐκτὸς, πλοῦτος, εὐγένεια, δόξα, δύναμις ἐρρωμένη φίλων. Τὰ δὲ ἐντὸς περὶ ψυχὴν καθὼς καὶ Πλάτωνι ἔδοξε, φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν. Τὰ δὲ κακά φησι καὶ οὗτος κατ' ἐναντίωσιν τῶν ἀγαθῶν γενέσθαι, καὶ εἶναι ὑπὸ τὸν περὶ σελήνην τόπον, ὑπὲρ δὲ σελήνην μηκέτι. Τὴν δὲ ψυχὴν τοῦ μὲν ὅλου τοῦ

1. ᾧ ὑποτίθεται Med. male.

κόσμου ἀθάνατον εἶναι, καὶ αὐτὸν τὸν κόσμον ἀΐδιον, τὴν δὲ καθ' ἕκαστον, ὡς προείπομεν, ἀφανίζεσθαι. Οὗτος μὲν οὖν ἐν τῷ Λυκείῳ ποιούμενος τὰς διατριβὰς ἐφιλοσόφει· ὁ δὲ Ζήνων ἐν τῇ ποικίλῃ στοᾷ. Ἐκτήσαντο δὲ οἱ μὲν ἀπὸ τοῦ Ζήνωνος ἀπὸ τοῦ τόπου τὸ ὄνομα, τουτέστι ἀπὸ τῆς στοᾶς Στωϊκοὶ κληθέντες· οἱ δὲ ἀπὸ τοῦ Ἀριστοτέλους ἀπὸ τοῦ ἔργου. Ἐπειδὴ γὰρ περιπατοῦντες ἐν τῷ Λυκείῳ ἐζήτουν, διὰ τοῦτο Περιπατητικοὶ ἐκλήθησαν. ταῦτα μὲν οὖν καὶ ὁ Ἀριστοτέλης.

## Περι των Στωικων.

Στωϊκοὶ καὶ αὐτοὶ μὲν ἐπὶ τὸ συλλογιστικώτερον τὴν φιλοσοφίαν ηὔξησαν, καὶ σχεδὸν ὅροις περιέλαβον, ὁμόδοξοι γενόμενοι ὅ, τε Χρύσιππος καὶ Ζήνων. Οἱ ὑπέθεντο καὶ αὐτοὶ ἀρχὴν μὲν θεὸν τῶν πάντων, σῶμα ὄντα τὸ καθαρώτατον, διὰ πάντων δὲ διήκειν τὴν πρόνοιαν αὐτοῦ, καὶ αὐτοὶ δὲ τὸ καθ' εἱμαρμένην εἶναι πάντη διεβεβαιώσαντο, παραδείγματι χρησάμενοι τοιούτῳ. Ὅτι ὥσπερ ὀχήματος ἐὰν ᾖ ἐξηρτημένος κύων, ἐὰν μὲν βούληται ἕπεσθαι, καὶ ἕλκεται καὶ ἕπεται ποιῶν καὶ τὸ αὐτεξούσιον μετὰ τῆς ἀνάγκης οἷον τῆς εἱμαρμένης· ἐὰν δὲ μὴ βούληται ἕπεσθαι, πάντως ἀναγκασθήσεται. Τὸ αὐτὸ δή που καὶ ἐπὶ τῶν ἀνθρώπων. Καὶ μὴ βουλόμενοι γὰρ ἀκολούθειν, ἀναγκασθήσονται πάντως εἰς τὸ πεπρωμένον εἰσελθεῖν. Τὴν δὲ ψυχὴν λέγουσι μὲν ἀθάνατον, εἶναι δὲ σῶμα καὶ γενέσθαι ἐκ τῆς περιψύξεως τοῦ ἀέρος τοῦ περιέχοντος, διὸ καὶ καλεῖσθαι ψυχήν. Ὁμολογοῦσι δὲ καὶ μετενσωμάτωσιν γίνεσθαι ὡρισμένων οὐσῶν τῶν ψυχῶν. Προσδέχονται δὲ ἐκπύρωσιν ἔσεσθαι καὶ κάθαρσιν τοῦ κόσμου τούτου, οἱ μὲν

25. Οἱ δὲ Στωϊκοί Taur. quod verum videtur. 42. ἐμπύρωσιν Ottob.

παντὸς, οἱ δὲ μέρους, καὶ κατὰ μέρος δὲ αὐτὸν καθαίρεσθαι λέγουσιν· καὶ σχεδὸν τὴν φθορὰν καὶ τὴν ἑτέρου ἐξ αὐτῆς γένεσιν καθάρσιον ὀνομάζουσιν. Σώματα δὲ πάντα ὑπέθεντο, καὶ σῶμα διὰ σώματος μὴ χωρεῖν, ἀλλὰ ἀνάστασιν εἶναι καὶ πεπληρῶσθαι πάντα, καὶ μηδὲν εἶναι κενόν. Ταῦτα καὶ οἱ Στωϊκοί.

### ΠΕΡΙ ἘΠΙΚΟΥΡΟΥ.

Ἐπίκουρος δὲ σχεδὸν ἐναντίαν πᾶσι δοξὰν ἔθετο. Ἀρχὰς μὲν τῶν ὅλων ὑπέθετο ἀτόμους καὶ κενόν. Κενὸν μὲν οἷον τόπον τῶν ἐσομένων, ἀτόμους δὲ τὴν ὕλην, ἐξ ἧς τὰ πάντα. Ἐκ δὲ τῶν ἀτόμων συνελθόντων γενέσθαι καὶ τὸν θεὸν, καὶ τὰ στοιχεῖα πάντα, καὶ τὰ ἐν αὐτοῖς πάντα, καὶ ζῶα καὶ ἄλλα, ὡς μηδὲν γίνεσθαι μήτε συνεστάναι, εἰ μὴ ἐκ τῶν ἀτόμων εἴη. Τὰς δὲ ἀτόμους, τὸ λεπτομερέστατον, καὶ μεθ' οὗ οὐκ ἂν γένοιτο κέντρον, οὐδὲ σημεῖον οὐδὲν, οὐδὲ διαίρεσις οὐδεμία, ἔφη εἶναι, διὸ καὶ ἀτόμους αὐτὰς ὠνόμασε. Τὸν δὲ θεὸν ὁμολογῶν εἶναι ἀΐδιον καὶ ἄφθαρτόν φησι μηδενὸς προνοεῖν, καὶ ὅλως πρόνοιαν μὴ εἶναι, μηδὲ εἱμαρμένην, ἀλλὰ πάντα κατὰ αὐτοματισμὸν γίνεσθαι. Καθῆσθαι γὰρ τὸν θεὸν ἐν τοῖς μετακοσμίοις, οὕτω καλουμένοις ὑπ' αὐτοῦ· ἔξω γάρ τι τοῦ κόσμου οἰκητήριον τοῦ θεοῦ ἔθετο εἶναι, λεγόμενον τὰ μετακόσμια, ἥδεσθαί τε καὶ ἡσυχάζειν ἐν τῇ ἀκροτάτῃ εὐφροσύνῃ, καὶ μήτε αὐτὸν πράγματα ἔχειν, μήτε ἄλλοις παρέχειν. Οἷς ἀκόλουθον καὶ τὸν περὶ τῶν σοφῶν ἀνδρῶν πεποίηται λόγον, λέγων τὸ τέλος τῆς σοφίας εἶναι ἡδονήν. Ἄλλοι δὲ ἄλλως τὸ ὄνομα τῆς ἡδονῆς ἐξέλαβον· οἱ μὲν γὰρ κατὰ ἔθνη τὰς

64. καλουμένοις conj. Delarue. Codd. καλουμένου.
66. Wolfius legendum censet μετοίκια.
67. οὔτε αὐτὸν πρᾶγμα ἔχειν, οὔτε ἄλλῳ παρέχειν· ᾧ ἀκόλουθον· Taur.

ἐπιθυμίας, οἱ δὲ τὴν ἐπὶ τῇ ἀρετῇ ἡδονήν. Τὰς δὲ ψυχὰς τῶν ἀνθρώπων λύεσθαι ἅμα τοῖς σώμασιν, ὥσπερ καὶ συγγεννᾶσθαι, αὐτοῖς τίθεται, αἷμα γὰρ αὐτὰς εἶναι, οὗ ἐξελθόντος ἢ τραπέντος ἀπόλλυσθαι ὅλον τὸν ἄνθρωπον, ᾧ ἀκολουθεῖ μήτε κρίσεις εἶναι ἐν Ἅιδου, μήτε δικαστήρια, ὧν ὅ, τι ἂν δράσῃ τις ἐν τῷ βίῳ τούτῳ, καὶ διαλάθῃ, ἀνεύθυνον εἶναι παντελῶς. Οὕτως οὖν καὶ Ἐπίκουρος.

### Περι Ἀκαδημαικων.

Ἄλλη δὲ αἵρεσις φιλοσόφων ἐκλήθη ἀκαδημαϊκὴ, διὰ τὸ ἐν τῇ Ἀκαδημίᾳ τὰς διατριβὰς αὐτοὺς ποιεῖσθαι, ὧν ἄρξας ὁ Πύρρων, ἀφ' οὗ Πυρρώνιοι ἐκλήθησαν φιλόσοφοι, τὴν ἀκαταληψίαν ἁπάντων πρῶτος εἰσήγαγεν, ὡς ἐπιχειρεῖν μὲν εἰς ἑκάτερα, μὴ μέντοι ἀποφαίνεσθαι μηδέν. Οὐδὲν γὰρ εἶναι οὔτε τῶν νοητῶν οὔτε τῶν αἰσθήτων ἀληθὲς, ἀλλὰ δοκεῖν τοῖς ἀνθρώποις οὕτως ἔχειν. Ῥευστήν τε εἶναι τὴν οὐσίαν πᾶσαν καὶ μεταβλητὴν, καὶ μηδέποτε ἐν τῷ αὐτῷ μένειν. Οἱ μὲν οὖν τῶν Ἀκαδημαϊκῶν λέγουσι μὴ δεῖν τὴν ἀρχὴν περὶ μηδενὸς ἀποφαίνεσθαι, ἀλλ' ἁπλῶς ἐπιχειρήσαντας ἐᾷν. Οἱ δὲ τὸ μᾶλλον προσέθεσαν, λέγοντες τὸ μᾶλλον τὸ πῦρ εἶναι ἢ ἄλλο τι. Οὐ μέν τοι ἀπεφήναντο αὐτὸ τί ἐστιν, ἀλλὰ τὸ τοιόνδε.

### Περι Βραχμανων των εν Ἰνδοις.

Ἔστι δὲ καὶ παρὰ Ἰνδοῖς αἵρεσις φιλοσοφουμένων ἐν τοῖς Βραχμάναις. Οἱ βίον μὲν αὐτάρκη προβάλλονται, ἐμψύχων δὲ καὶ τῶν διὰ πυρὸς βρωμάτων πάντων ἀπέχονται, ἀκροδρύοις ἀρκούμενοι, μηδὲ αὐτὰ ταῦτα τρυγῶντες, ἀλλὰ τὰ πίπτοντα εἰς τὴν γῆν βαστάζοντες

91. Leg. τὸ μᾶλλον πῦρ. 99. ἐν τῇ γῇ Taur.

ζῶσιν, ὕδωρ ποταμοῦ Ταγαβενὰ πίνοντες. Διαβιοῦσι δὲ γυμνοὶ, τὸ σῶμα ἔνδυμα τῇ ψυχῇ ὑπὸ τοῦ θεοῦ γεγονέναι λέγοντες. Αὐτοὶ τὸν θεὸν φῶς εἶναι λέγουσιν, οὐχ ὁποῖόν τις ὁρᾷ, οὐδ' οἷον ἥλιος καὶ πῦρ, ἀλλά ἐστιν αὐτοῖς ὁ θεὸς λόγος, οὐχ ὁ ἔναρθρος, ἀλλὰ ὁ τῆς γνώσεως, δι' οὗ τὰ κρυπτὰ τῆς γνώσεως μυστήρια ὁρᾶται σοφοῖς. Τοῦτο δὲ τὸ φῶς, ὅ φασι λόγον τὸν θεὸν, αὐτοὺς μόνους εἰδέναι Βραχμᾶνας λέγουσι, διὰ τὸ ἀπορρίψαι μόνους τὴν κενοδοξίαν, ὅ ἐστι χιτὼν τῆς ψυχῆς ἔσχατος. Οὗτοι θανάτου καταφρονοῦσιν· ἀεὶ δὲ ἰδίᾳ φωνῇ θεὸν ὀνομάζουσι, καθὼς προείπομεν, ὕμνους τε ἀναπέμπουσιν. Οὐτὲ δὲ γυναῖκες παρ' αὐτοῖς, οὔτε τεκνοῦσιν. Οἱ δὲ τοῦ ὁμοίου αὐτοῖς βίου ὀρεχθέντες, ἐκ τῆς ἀντιπέραν χώρας τοῦ ποταμοῦ διαπερήσαντες, ἐκεῖσε ἐναπομένουσιν, ἀναστρέφοντες μηκέτι· καὶ αὐτοὶ δὲ Βραχμᾶνες καλοῦνται. Βίῳ δὲ οὐχ ὁμοίως διάγουσιν· εἰσὶ γὰρ καὶ γυναῖκες ἐν τῇ χώρᾳ, ἐξ ὧνπερ οἱ ἐκεῖ κατοικοῦντες γεννῶνται καὶ γέννωσιν. Τοῦτον δὲ τὸν λόγον, ὃν θεὸν ὀνομάζουσι, σωματικὸν εἶναι, περικείμενόν τε σῶμα ἔξωθεν ἑαυτοῦ, καθάπερ εἴ τις τὸ ἐκ τῶν προβάτων ἔνδυμα φορεῖ, ἀπεκδυσάμενον δὲ τὸ σῶμα, ὃ περίκειται ὀφθαλμοφανῶς φαίνεσθαι. Πόλεμον δὲ εἶναι ἐν τῷ περικειμένῳ αὐτῶν σώματι οἱ Βραχμᾶνες λέγουσι, καὶ πλῆρες εἶναι πολέμων αὐτοῖς τὸ σῶμα νενομίκασι, πρὸς ὃ ὡς πρὸς πολεμίους παρατεταγμένοι μάχονται, καθὼς προδεδηλώκαμεν. Πάντας δὲ ἀνθρώπους λέγουσιν αἰχμαλώτους εἶναι τῶν ἰδίων συγγενῶν πολεμίων, γαστρὸς καὶ αἰδοίων, λαιμοῦ, ὀργῆς, χαρᾶς, λύπης, ἐπιθυμίας, καὶ τῶν ὁμοίων. Μόνος δὲ πρὸς τὸν θεὸν χωρεῖ ὁ κατὰ τούτων ἐγείρας τρόπαιον. Διὸ Δάνδαμιν μὲν, πρὸς ὃν Ἀλέξανδρος ὁ Μακεδὼν εἰσῆλθεν, ὡς νενικηκότα τὸν πόλεμον τὸν ἐν τῷ σώματι, Βραχμᾶνες θεολογοῦσι·

Καλάνου δὲ καταφέρονται ὡς ἀσεβῶς ἀποστατήσαντος τῆς κατ' αὐτοὺς φιλοσοφίας. Ἀποθέμενοι δὲ Βραχμᾶνες τὸ σῶμα ὥσπερ ἐξ ὕδατος ἰχθύες ἀνακύψαντες εἰς ἀέρα καθαρὸν ὁρῶσι τὸν ἥλιον.

## Περι Δρυιδων των εν Κελτοις.

Δρυΐδαι οἱ ἐν Κελτοῖς τῇ Πυθαγορείῳ φιλοσοφίᾳ κατ' ἄκρον ἐγκύψαντες, αἰτίου αὐτοῖς γενομένου ταύτης τῆς ἀσκήσεως Ζαμόλξιδος δούλου Πυθαγόρου, γένει Θρακίου· ὃς μετὰ τὴν Πυθαγόρου τελευτὴν ἐκεῖ χωρήσας αἴτιος τούτοις ταύτης τῆς φιλοσοφίας ἐγένετο. Τούτους Κελτοὶ ὡς προφήτας καὶ προγνοστικοὺς δοξάζουσιν, διὰ τὸ ἐκ ψήφων καὶ ἀριθμῶν Πυθαγορικῇ τέχνῃ προαγορεύειν αὐτοῖς τινα, ἧς καὶ αὐτῆς τέχνης τὰς ἐφόδους οὐ σιωπήσομεν, ἐπεὶ καὶ ἐκ τούτων τινὲς αἱρέσεις παρεισάγειν ἐτόλμησαν. Χρῶνται δὲ Δρυΐδαι καὶ μαγίαις.

## Περι Ησιοδου.

Ἡσίοδος δὲ ὁ ποιητὴς καὶ αὐτὸς περὶ φύσεως οὕτω λέγει ἀκηκοέναι παρὰ Μουσῶν. Διὸς δὲ εἶναι τὰς Μούσας θυγατέρας. Ἐννέα γὰρ νύκτας ὁμοῦ καὶ ἡμέρας δι' ὑπερβολὴν ἐπιθυμίας ἀδιαλείπτως συνευνηθέντος τῇ Μνημοσύνῃ τοῦ Διὸς, ἐννέα ταύτας τὴν Μνημοσύνην συλλαβεῖν ἐν μιᾷ γαστρὶ, ἐφ' ἑκάστης νυκτὸς ὑποδεξαμένην μίαν. Καλέσας οὖν τὰς ἐννέα Μούσας ἀπὸ τῆς

33. ἀποστήσαντος Barb. et Ottob.

40. Barb. Ζαμέτριδος. Med. si fides est apographo Gronovii, legit: Ζαμάλξιδος. Ibidem in Barb. et Ott. deest γένει Θρακίου.

42. γεγένηται Taur.

45. αὐτοὺς Ottob.

53. ἀδιαλείπτως Taur. Solus. Alii omittunt.

55. ὑποδεξαμένης codd.

Πιερίας, τουτέστιν ἀπὸ τοῦ Ὀλύμπου, διδαχθῆναι παρεκάλει,

. . . . . ὡς τὰ πρῶτα θεοὶ καὶ γαία γένοντο,
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος οἴδμά τε πόντου,
ἄστρά τε λεπτήεντα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
ὡς στέφανον δάσσαντο, καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
. . . . . Ταῦτά μοι Μοῦσαι, φησὶν, ἔσπετ'
ἐξ ἀρχῆς καὶ ἔπειτα ὅ τι περ πρῶτον γένετ' αὐτῶν.
Ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος πάντων ἕδος ἀσφαλὲς αἰεὶ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόντος ὀλύμπου,
τάρταρά τ' ἠνεμόεντα μυχῷ χθονὸς εὐρυοδείης
ἠδ' ἔρος ὃς κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι
λυσιμελὴς πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
δάμναται ἐν στήθεσσι νοὸν καὶ ἐπίφρονα βουλήν.
Ἐκ χάεος δ' ἔρεβός τε μέλαινά τε νὺξ ἐγένοντο.
Νυκτὸς δ' αὖτ' αἰθήρ τε καὶ ἡμέρη ἐξεγένοντο.
Γαῖα δέ τοι πρώτη μὲν ἐγείνατο ἶσον ἑαυτῇ
οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι
ὄφρα ἔῃ μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί.
Γείνατο δ' οὔρεα μακρὰ ὅσα χαρίεντας ἐναύλους
νυμφέων αἳ ναίουσι κατ' οὔρεα βησσήεντα.
Ἣ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν οἴδματι θύον
πόντον ἄτερ φιλότητος ἐφιμέρου, αὐτὰρ ἔπειτα
οὐρανῷ εὐνηθεῖσα τεκ' ὠκεανὸν βαθυδίνην
Κοῖόν τε Κρεῖόν θ', Ὑπερίονά τ', Ἰάπετόν τε

59. Seqq. Theog. 108. seqq., ubi multa aliter.

61. λεπτόεντα Barb. et Taur. λεπτέοντα Ottob.

62. δάσαντο codd.

65. Lege ex Hesiodo καὶ εἴπαθ' ὅτι πρ.

68. κάρην codd.

ib. εὐρυοδίης Med. Alii εὐρωδίης.

72. δαμνᾶτε ἐν στηθήσφι Med. et Taur.

77. ὄφρ' ἔνι Barb.

78. Lege θεῶν χαρ. ex Hesiodo.

79. Νυμφάων Med.

Θίαν τε Ῥείαν τε, Θέμιν τε, Μνημοσύνην τε,
Φοίβην τε χρυσοστέφανον, Τηθύν τ' ἐρατεινὴν,
τοὺς δὲ μεθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτις
δεινότατος παίδων, θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας, ὑπέρβιον ἦτορ ἔχοντας.

Καὶ τοὺς ἄλλους πάντας ἀπὸ τοῦ Κρόνου καταριθμεῖ Γίγαντας. Ὕστερον δέ που ἐκ τῆς Ῥέας γεγονέναι τὸν Δία.

Οὗτοι μὲν οὖν πάντες περὶ τῆς τοῦ παντὸς φύσεώς τε καὶ γενέσεως ταῦτα καθὼς ἐξεθέμεθα τῇ αὐτῶν δόξῃ ἔξειπον. Οἱ δὲ πάντες κάτω τοῦ θείου χωρήσαντες περὶ τὴν τῶν γενομένων οὐσίαν ἠσχολήθησαν, τὰ μεγέθη τῆς κτίσεως καταπλαγέντες, καὶ αὐτὰ τὸ θεῖον εἶναι νομίσαντες, ἕτερος ἕτερον μέρος τῆς κτίσεως προκρίναντες, τὸν δὲ θεὸν τούτων καὶ δημιουργὸν μὴ ἐπιγνόντες.

Τὰς μὲν οὖν τῶν καθ' ἕλληνας φιλοσοφεῖν ἐπικεχειρηκότων δόξας ἱκανῶς ἐκτεθεισθαι νομίζω, παρ' ὧν τὰς ἀφορμὰς λαβόντες οἱ αἱρετικοὶ τὰ μετ' οὐ πολὺ ῥηθησομενα ἐπεχείρησαν. Δοκεῖ δὲ πρότερον ἐκθεμένους τὰ μυστικὰ καὶ ὅσα περιέργως περὶ ἄστρα τινὲς ἢ μεγέθη ἐφαντάσθησαν, εἰπεῖν· καὶ γὰρ ἐξ αὐτῶν λαβόντες ἀφορμὰς τερατολογεῖν νομίζονται πολλοῖς· ἔπειτα ἀκολούθως τὰ ὑπ' αὐτῶν ἀδρανῆ δόγματα φανερώσομεν.

86. ὑκρότατος.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Δ'.

1 . . . . . . . . [μοίρας ἐπὶ ποστὴν μοῖραν πλεῖστον δύναται. Περὶ ὧν οὐχ ἡ τυχοῦσα] παρ' αὐτοῖς ἐστι κατὰ [τοὺς πίνακας διαφωνία. Δορυφορεῖσθαι δὲ] ἀστέρας λέγουσιν, ὅ[ταν μέσοι ὦσιν ἄλλων ἀστέρων, ἐν συνεχείᾳ] ζῳδίων, οἷον, ἐὰν τοῦ αὐτ[οῦ ζῳδίου ὁ μέν τις ἀστὴρ τὰς πρώτας ἐπέχῃ μοίρας,] ὁ δὲ [τὰς τελευταίας, ὃς δὲ τὰς ἐν μέ]σῳ, δορυφορεῖσθαι λέγεται ὁ ἐν] μέσῳ ὑπὸ τῶν τὰς ἐπ' ἄκροις ἐπεχόντων μοίρας. ['Επιβλέπειν δὲ λέγονται ἀλλήλους καὶ συμφωνεῖν ἀλλήλοις] ὡς οἱ φαινόμενοι καὶ συσχηματίζοντες· ἐπιθεωροῦσι δὲ ἀλλήλους ἐπὶ τριῶν ζῳδίων ἔχοντες τὸ μεταξὺ διάλειμμα· κατὰ τετράγωνον δὲ, εἰ δυεῖν· κεφαλῇ τὰ ὑποκείμενα μέρη συμπά[σχει, καὶ τοῖς ὑποκει]μένοις ἡ κεφαλὴ, οὕτω καὶ τοῖς ὑπερσεληναίοις τὰ ἐπίγεια. 'Αλλά τις ἔστι τούτων διαφορὰ καὶ ἀσυμπάθεια, ὡς ἂν μὴ μίαν καὶ τ[ὴν] αὐτὴν ἐχόντων ἕνωσιν.

1. Quæ uncis inclusi, sunt in codice prorsus evanida. Supplevi ex Sext. Empir. Mathem. V, §. 37.

5. Cod. ἀντὶ pro ἐάν.

6. Quæ supplevi in hac linea ex Sexto, breviora sunt in codice.

11. Sext. διάστημα.

12. Sext. δυοῖν.

ib. Sic Sextus. Cod. κεφαλή.

13. Cod. ἐν κεφαλῇ.

14. Cod. τοῖς ὑπὲρ σεληναίοις. Sext. τοῖς ἐπουρανίοις.

15. Cod. συμπάθεια, ὡσάν. Cf. Sext. V, §. 44.

2 Τούτοις χρησάμενοι Εὐφράτης ὁ Περ[ατικὸς] καὶ Ἀκεμβὴς ὁ Καρύστιος καὶ ὁ λοιπὸς τούτων χορὸς τῷ λόγῳ [τῷ] τῆς ἀληθείας ἐπονομάσαντες αἰώνων στάσιν καὶ ἀπόστασιν ἀ[γαθῶν] δυνάμεων εἰς κακὰ καὶ συμφωνίας ἀγαθῶν μετὰ πονηρῶν προσαγορεύουσι, καλοῦντες τοπάρχας καὶ προαστείους καὶ ἄλλα πλεῖστα ὀνόματα· ὧν πᾶσαν τὴν ἐπικεχειρημένην αἵρεσιν ἐκθήσομαι καὶ διελέγξω, ἐπὰν εἰς τὸν περὶ τούτων λόγον φθάσωμεν. Νυνὶ δὲ, μή ποτέ τις νομίσῃ πιστὰ εἶναι καὶ ἀσφαλῆ τὰ τοῖς Χαλδαίοις νενομισμένα περὶ τὴν ἀστρολογικὴν μάθησιν, οὐκ ὀκνήσομεν τὸν πρὸς τούτους ἔλεγχον δι' ὀλίγων παραθεῖναι, ἐπιδεικνύντες ματαίαν τὴν τέχνην, καὶ πλανᾶν μᾶλλον καὶ ἐξαφανίζειν ψυχὴν δυναμένην ἐλπί-
Fol. 1 v. ζουσαν μάταια ἢ ὠφελεῖν. Οἷς οὐ κατὰ τέχνης ἐμπειρίαν ἐ[ν]έχομεν, ἀλλ' ἐκ τῆς τῶν πρακτικῶν λόγων [γνώ]σεως. Οἱ ταύτην τὴν μάθησιν ἠσκηκότες Χαλδαίων γενόμενοι ὁμιληταὶ ὡς ξένα τοῖς ἀνθρώποις καὶ θαυμάσια μεταδιδόντες μυστήρια τοῖς ὀνόμασιν ἐναλλάξαντες αἵρεσιν ἔνθεν συνεστήσαντο· ἀλλ' ἐπεὶ τὴν τῶν ἀστρολόγων τέχνην ὡς δυνατὴν νομίσαντες ταῖς τε παρ' αὐτῶν μαρτυρίαις χρώμενοι τὰ ἐπιχειρούμενα δι' αὐτῶν πιστεύεσθαι θέλουσι, τανῦν καθὼς ἔδοξε τὴν ἀστρολογικὴν ἐπιδείξομεν ἀσύστατον, αὖθις μέλλοντες καὶ τὴν Περατικὴν ἀκυροῦν ὡς κλάδον ἐκ ῥίζης ἀσυστάτου πεφυκυῖαν.

3 Ἀρχὴ μὲν οὖν καὶ ὥσπερ θεμέλιός ἐστι στῆναι τὸν

18. Al. Κελβης dicitur.
24. Cod. φράσωμεν.
27. Cod. πρὸς τούτοις.
29. Cod. πλάνην. πλανᾶν jungendum cum ἐξαφανίζειν (μᾶλλον— ἢ ὠφελεῖν).
35. Cod. ἐπί.
38. Cod. τοίνυν, quod mutavi in τανῦν.
42. Hæc in Sext. Empir. adv. Astrol. V. 50. p. 346. Ἀρχὴ τοίνυν καί.
ib. Cod. ἐπιστῆναι. Sext. τῆς Χαλδαϊκῆς ἐστὶ τὸ στῆναι.

ὡροσκόπον. Ἀπὸ τούτου γὰρ τὰ λοιπὰ τῶν κέντρων λαμβάνεται, τά τε ἀποκλίματα καὶ αἱ ἐπαναφοραὶ, τά τε τρίγωνα καὶ τετράγωνα, καὶ οἱ κατ' αὐτὰ σχηματισμοὶ τῶν ἀστέρων. Ἀπὸ δὲ πάντων τούτων, αἱ προαγορεύσεις. Ὅθεν ἀναιρεθέντος τοῦ ὡροσκόπου, κατὰ ἀνάγκην οὔτε τι μεσουρανοῦν [οὔτε δῦνον οὔτε ἀντιμεσουρανοῦν] ἐστὶ γνώριμον, ἀκαταληπτούντων δὲ τούτων, συναφανίζεται πᾶσα [ἡ] Χαλδαϊκὴ μέθοδος. Ὅτι δὲ ἀνεύρετον αὐτοῖς ἐστὶ τὸ ὡροσκοποῦν ζῴδιον, ποικίλως ἔστι διδάσκειν. Ἵνα γὰρ τοῦτο καταληφθῇ, δεῖ πρῶτον μὲν τὴν γένεσιν τοῦ πίπτοντος ὑπὸ τὴν ἐπίσκεψιν βεβαίως κατειλῆφθαι· δεύτερον [δὲ], τὸ διασημαινόμενον ταύτην ὡροσκόπιον [ἀπλανὲς] ὑπάρχειν· τρίτον δὲ τὴν διαφο-
2 r. ρὰν τοῦ ζῳδίου πρὸς ἀκρίβειαν συνῶφθαι. Ἀπὸ μὲν γὰρ τῆς ἀποτέξεως ἡ ἀναφορὰ τοῦ κατ' οὐρανὸν ἀνίσχοντος ζῳδίου τετηρήσθω, ἐπεὶ τὸ ὡροσκοποῦν ὁρισάμενοι οἱ Χαλδαῖοι ἐπὶ τὴν ἀναφορὰν τὸν σχηματισμὸν τῶν ἄστρων ποιοῦνται, ὅπερ διάθεμα καλοῦσιν, ἐφ' ᾧ τὰς προαγορεύσεις δογματίζουσιν. Οὔτε δὲ τὴν γένεσιν τῶν ὑπὸ τὴν ἐπίσκεψιν πιπτόντων λαμβάνειν δυνατόν

44. Sext. καὶ ἐπαναφοραί.

45. Sext. καὶ τὰ τετράγωνα.

48. Quæ uncis inclusa sunt addidi ex Sexto qui habet: κατ' ἀνάγκην οὐδὲ τὸ μεσουρανοῦν ἐστιν ἢ δῦνον ἢ ἀντιμεσουρανοῦν γνώριμον.

49. Cod. ἐπιγνώριμον.

ib. Fort. ἀκαταλήπτων ὄντων δὲ τούτων. In Sexto, Τούτων δὲ ἀκαταληπτουμένων.

ib. Cod. male συναναφανίζεται.

50. Cod. πᾶσα Χαλδ.

51. Sext. ἔνεστι.

54. Cod. δεύτερον τό.

ib. Sext. διασημαῖνον.

55. Ex Sexto ἀπλανὲς addidi.

ib. Sext. ἀναφοράν.

56. Sext. Ἐπὶ μὲν γάρ.

57. Cod. ἀποτάξεως, ut codices quoque Sexti, male.

ib. Cod. ἡ διαφορὰ—ἴσχοντος.

58. Cod. τετηρείσθω ἐπί. Sextus habet: τετήρηται, καθάπερ διακόνῳ πρὸς τὴν τήρησιν τοῦ ὡροσκόπου χρησαμένων τῶν Χαλδαίων. Ἐπὶ δὲ τῇ ἀναφορᾷ, ὁ συσχηματισμὸς τῶν ἄλλων ἀστέρων, ὅπερ διάθεμα καλοῦσι. Καὶ ἐπὶ τῷ διαθέματι αἱ προαγορεύσεις. Οὔτε τὴν κ. τ. λ.

62. Sext. ἐπὶ τήν.

ἐστιν, ὡς παραστήσω, οὔτε τὸ ὡροσκόπιον ἀπλανὲς καθέστηκεν, οὔτε τὸ ἀνίσχον ζῴδιον πρὸς ἀκρίβειαν καταλαμβάνεται. Πῶς οὖν ἀσύστατος ἡ τῶν Χαλδαίων μέθοδος νῦν λέγωμεν. Δεῖ τὴν γένεσιν τῶν ὑπὸ τὴν ἐπίσκεψιν πεσουμένων πρότερον ὁρίσαντας ἐπιζητεῖν ἤτοι ἀπὸ τῆς τοῦ σπέρματος καταβολῆς καὶ συλλήψεως λαμβάνουσιν, ἢ ἀπὸ τῆς ἐκτέξεως. Καὶ εἰ μὲν ἀπὸ τῆς συλλήψεως λαμβάνειν ἐπιχειρήσει τις, ἄληπτός ἐστιν ὁ ἀκριβὴς περὶ τούτου λόγος, ταχὺς ὑπάρχων χρόνος, καὶ εἰκότως. Οὐ γὰρ ἔχομεν λέγειν εἴτε ἅμα τῇ μεταθέσει τοῦ σπέρματος γέγονεν ἡ σύλληψις, εἴτε καὶ μή. Δύναται μὲν γὰρ καὶ ἅμα νοήματι τοῦτο συμβαίνειν, ὥσπερ καὶ τὸ προσαχθὲν τοῖς διαπύροις τῶν κλιβάνων στέαρ εὐθὺς κολλᾶται· δύναται δὲ καὶ μετὰ χρόνον. Διαστήματος γὰρ ὄντος ἀπὸ τοῦ στόματος τῆς μήτρας μέχρι τοῦ πυθμένος, ἔνθα καὶ τὰς συλλήψεις λέγουσι γίνεσθαι ἰατροὶ, πάντως ἐν χρόνῳ τινὶ τὸ διάστημα τοῦτο ἀνύειν πέφυκε καταβαλλομένη τὸ σπέρμα 2 v. ἡ φύσις. Ἀγνοοῦντες οὖν τὴν ποσότητα τοῦ χρόνου κατὰ τὸ ἀκριβὲς οἱ Χαλδαῖοι, οὐδέποτε τὴν σύλληψιν καταλήψονται, τοῦ σπέρματος ὁτὲ μὲν εὐθυβολουμένου

63. Sext. παραστήσομεν.

65. Cod. ἄστατος. Sext. Τοίνυν ἀσύστατός ἐστιν ἡ τῶν Χαλδαϊκῶν μέθοδος. Λέγωμεν δὲ περὶ τοῦ πρώτου πρῶτον.

66. Cod. λέγομεν.

ib. Sext. Τὴν δὴ γένεσιν τῶν ὑπ. τ. ἐπ. πεσ., ἀρχαϊκώτερον, ἤτοι κ. τ. λ. quæ non bene intellexit Origenes.

68. Sext. Ἀλλ' ἀπὸ μὲν τῆς τοῦ σπέρματος καταβολῆς καὶ συλλήψεως, οὐκ ἂν εἴποιεν. Ἀκατάληπτος γάρ ἐστιν ὁ ἀκριβὴς ταύτης χρόνος.

69. Fort. leg. λαμβάνοντας.

73. Sext. θέσει.

76. Sext. τοῦτο γὰρ εὐθὺς κολλᾶται.

77. Post χρόνον Sextus habet: Ἐπείπερ καὶ τὰ εἰς τὴν γῆν καταβαλλόμενα τῶν σπερμάτων, οὐκ εὐθὺς ῥιζοβολοῦντα συμπλέκεται ταῖς ὑποκειμέναις βώλοις. Καὶ διαστήματος δὲ ὄντος.

79. Sext. ἰατρῶν παῖδες.

80. Sext. ποιεῖν πέφυκεν ἡ κατ. τοῦ σπέρματος φύσις. Οἱ δὲ τοῦτο ἀγνοοῦντες.

82. Sext. τὴν σύλλ. οὐδέποτε.

καὶ αὐτοῖς προσπίπτοντος ὑφ' ἓν τοῖς εὐφυῶς ἔχουσι πρὸς σύλληψιν τῆς μήτρας [τόποις, ὁτὲ δὲ πολυσπόρως ἐμπίπτοντος, καὶ εἰς ἕνα τόπον συναγομένου ὑπὸ τῶν τῆς μήτρας] δυνάμεων· ἀγνώστων δὲ ὄντων πότε γίνεται τὸ πρῶτον καὶ πότε τὸ δεύτερον, πόσος τε ὁ εἰς ἐκείνην τὴν σύλληψιν ἀναλισκόμενος χρόνος, καὶ πόσος [ὁ] εἰς ταύτην· ἀγνοουμένων δὴ τούτων, ἦρται καὶ ἡ πρὸς ἀκρίβειαν τῆς συλλήψεως κατάληψις. Εἴπερ τε, ὥσπερ τινὲς τῶν φυσικῶν εἰρήκασιν, ἐμμένον πρῶτον καὶ προμεταβαλλόμενον ἐν μήτρᾳ τὸ σπέρμα, τότε προσέρχεται τοῖς ἀναστομωθεῖσιν αὐτῆς ἀγγείοις, καθάπερ τῇ γῇ τὰ τῆς γῆς σπέρματα· ὅθεν οἱ μὴ εἰδότες τὴν ποσότητα τοῦ τῆς μεταβολῆς χρόνου, οὐκ εἴσονται οὐδὲ τὸν τῆς συλλήψεως καιρόν. Ἔτι δὲ καὶ ὡς κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος διαφέρουσιν ἀλλήλων αἱ γυναῖκες κατὰ ἐνέργειάν τε καὶ τὰς λοιπὰς αἰτίας, οὕτως καὶ κατὰ τὴν τῆς μήτρας ἐνέργειαν, τὰς μὲν θᾶττον συλλαμβανούσας, τὰς δὲ βράδιον. Καὶ οὐ παράδοξον ὅπου καὶ αὗται αὑταῖς συγκρινόμεναι, νυνὶ μὲν εὐσύλληπτοι θεωροῦνται, νυνὶ δὲ οὐδαμῶς. Τούτου δ' οὕτως ἔχοντος, ἀδύνατόν ἐστι λέγειν πρὸς ἀκρίβειαν πότε

84. Cod. προσπίπτος.
ib. Sext. ὑφέν.
85. Supplevi ex Sexto qui habet .... ἐμπίπτοντος, ἐπ' αὐτῆς δὲ τῆς ἐν τῇ μήτρᾳ δυνάμεως, εἰς ἕνα τόπον συνάγεσθαι δυναμένου. Τῶν ἀγνώστων, τὸ, πότε γίγνεται.
89. Cod. πόσος εἰς αὐτήν.
90. Cod. δέ. Sext. οἴχεται pro ἦρται.
91. Cod. εἴπερ γε.
92. Sext. ὥς τινες.
ib. Sext. ἑψόμενον—προμεταβάλλον.
94. Sextus omittit καθάπερ τὰ τ. γ. σπέρματα.
95. Leg. ex Sexto αὐτόθεν οὐκ εἰδότες.
97. Sext. καὶ μὴν, ὥσπερ κατὰ τὰ λοιπὰ μέρη τοῦ σώματος ἐν ταῖς τῶν μερῶν ἐνεργείαις διαφέρουσιν ἀλλήλων αἱ γυναῖκες· οὕτως εἰκός.
99. Leg. ex Sexto οὕτως εἰκός.
1. Post ἐνέργειαν Sextus addit διαφέρειν.
3. Sext. ὅτε καὶ ἑαυταῖς συγκρ.—Cod. αὗται αὐταῖς.
5. Cod. ἀδυνάτως. Sext. τῶν ἀδυνάτων ἐστί.
ib. Sext. τὸ πότε συνέσχηται.

συνέχεται τὸ καταβληθὲν σπέρμα, ἵνα ἀπὸ τούτου τοῦ χρόνου στήσωσιν οἱ Χαλδαῖοι τῆς γενέσεως τὸν ὡροσκόπον.

4 Τούτῳ τῷ λόγῳ ἀδύνατόν ἐστιν ἐκ τῆς συλλήψεως στῆσαι τὸν ὡροσκόπον. Ἀλλ' οὐδὲ ἐξ ἀποτέξεως.
3 r. Πρῶτον μὲν γὰρ ἄπορόν ἐστι τὸ, πότε ῥηθήσεται ἀπότεξιν εἶναι· ἆρά γε ὅταν ἄρξηται προκύπτειν εἰς τὸν θυρεὸν, ἢ ὅταν ὀλίγον ἐξίσχῃ, ἢ ὅταν εἰς τὴν γῆν ἐνεχθῇ; οὐδ' ἐν ἑκάστῳ τούτων δυνατόν ἐστι τὸ ἀκριβὲς τῆς ἀποδείξεως καταλαβέσθαι ἢ χρόνον ὁρίζειν. Καὶ γὰρ διὰ παράστημα ψυχῆς καὶ δι' ἐπιτηδειότητα σώματος, καὶ διὰ προαίρεσιν τῶν τόπων, καὶ δι' ἐμπειρίαν μαίας καὶ ἄλλας ἀπείρους προφάσεις, οὐχ ὁ αὐτός ἐστι χρόνος καθ' ὃν προκύπτει τὸ τικτόμενον, ῥαγέντων τῶν ὑμένων, ἢ ἐκτὸς ὀλίγον γίνεται, ἢ εἰς τὴν γῆν καταφέρεται, ἀλλ' ἄλλος ἐπ' ἄλλῳ. Ὃν πάλιν μὴ δυνάμενοι ὡρισμένως καὶ ἀκριβῶς σταθμήσασθαι οἱ Χαλδαῖοι, ἐκπεσοῦνται τοῦ δεόντως τὴν τῆς ἀποδείξεως ὥραν ὁρίζειν. Ὅτι μὲν οὖν ἐπαγγέλλονται ἐπὶ τοῖς τῆς ἀποτέξεως χρόνοις οἱ Χαλδαῖοι τὸν ὡροσκόπον γινώσκειν, οὐκ ἴσασι δὲ, ἐκ τούτων συμφανές· ὅτι δὲ οὐδὲ τὸ ὡροσκό-

6. Sext. ἵνα καὶ ἀπὸ τούτου τ. χ. συστήσωσιν οἱ Χ. τὸν τῆς γ. ὡρ.

10. Sext. V. § 64. τὸν ὡροσκόπον ἑστάναι. Καὶ μὴν οὐδὲ ἀπὸ τέξεως. Cod. ἄλλοι δέ.

11. Sext. ῥητέον.

13. Sext. ὁπόταν ἄρχηται.

ib. Sext. εἰς ψυχρὸν ἀέρα τὸ ἀποτικτόμενον.

ib. Cod. ὅλον, corr. ex Sexto.

14. Sext. κατενεχθῇ· εἶτα οὐδὲ ἐφ' ἑκάστου. Cod. οὐδὲν ἑκάστῳ.

ib. Sext. τὸν ἀκριβῆ τῆς ἀποτέξεως χρόνον ὁρίζειν.

17. Sext. καὶ πρὸς διάθεσιν.

ib. Cod. διὰ ἐμπειρίαν ἅμα καί.

20. Cod. ὅλον, quod correxi ex Sexto.

21. Cod. ὧν pro ὅν. Correxi ex Sexto.

22. Cod. σταθμίσεσθαι.

23. Cod. δέοντος.

24. Sext. τὸ ὅσον ἐπὶ τοῖς τῆς ἀπ. χρ. ἐπαγγ. μὲν τὸν ὡρ. γιν. Χαλδαῖοι.

25. οὐκ ἴσασι scripsi cum Sexto. Cod. οὐχ ἱστᾶσι.

πιον ἀπλανὲς αὐτοῖς ἐστὶ, πάρεστιν ἐπιλογίζεσθαι. Ὅταν γὰρ λέγωσιν ὅτι ὁ προσεδρεύων τῇ ὠδινούσῃ ἅμα τῇ ἀποτέξει, δίσκῳ σημαίνει τῷ ἀπὸ τῆς ἀκρωρείας ἀστεροσκοποῦντι Χαλδαίῳ, κἀκεῖνος εἰς οὐρανὸν ἀποβλέπων παρασημαίνεται τὸ ἀνίσχον ζῴδιον, τὸ μὲν πρῶτον ἐπιδείξομεν αὐτοῖς ὅτι τῆς ἀποτέξεως ἀορίστου τυγχανούσης, καθὼς μικροῦ πρότερον παρεστήσαμεν, οὐδὲ τῷ δίσκῳ ταύτην διασημαίνειν εὔλογον. Εἶτ' ἔστω καταληπτὴν ὑπάρχειν τὴν ἀπότεξιν, ἀλλ' οὔτιγε πρὸς ἀκριβῆ χρόνον σημειοῦσθαι ταύτην δυνατόν ἐστι· τὸν γὰρ τοῦ δίσκου ψόφον πλείονι χρόνῳ καὶ συχνῷ πρὸς αἴσθησιν, δυνάμενον μερίζεσθαι, κινεῖσθαι συνέβη ἐπὶ τὴν ἀκρώρειαν. Τεκμήριον δὲ [τὸ] ἐπὶ τῶν πόρρω δενδρο-
3 v. τομούντων θεωρούμενον· μετὰ δὲ ἱκανὴν ὥραν τοῦ κατενεχθῆναι τὸν πέλεκυν ἐξακούεται ἡ φωνὴ τῆς πληγῆς, ὡς ἂν ἐν χρόνῳ πλείονι φθάνουσα ἐπὶ τὸν ἀκούοντα. Καὶ διὰ τοῦτο τοίνυν οὐκ ἔστιν ἀκριβῶς τοῖς Χαλδαίοις τὸν χρόνον τοῦ ἀνίσχοντος ζῳδίου καὶ κατ' ἀλήθειαν ὡροσκοποῦντος λαμβάνειν. Καὶ μὴν οὐ μόνον φανεῖται πλείων διελθὼν χρόνος μετὰ τὴν ἀπότεξιν τοῦ παρε-

27. Sext. ἐστὶν αὐτοῖς, πάρεστι κατὰ τὸν ὅμοιον ἐπιλογίζεσθαι τρόπον.

28. Sext. ὁ παρεδρεύων τῇ ὠδ., τὴν ἀπότεξιν.

29. Sext. ἐπὶ τῆς.

31. Fort. leg. παρασημειοῦται ex Sexto qui habet ἐπισημειοῦται.

ib. ζῴδιον deest in Sexto.

32. Cod. ἐπιδείξωμεν. Sext. ὑποδείξομεν.

33. Sext. μικροῦ πρόσθεν.

34. Sext. διασημαίνειν ταύτην.

ib. Leg. εὔκολον cum Sexto.

ib. Sext. εἶτα ἔστω καὶ καταληπτὴν τυγχάνειν—οὔ γε.

36. Sext. παρεπισημειοῦσθαι.

37. Sext. ἐν πλείονι χρόνῳ καὶ ἐν συχνῷ. Cod. καὶ οὐ συχνῷ male, ortum ex CΥCΥΧΝΩ dupliciter lecto.

38. Cod. καὶ κινεῖσθαι.

ib. Sext. συμβέβηκεν.

39. Articulum addidi ex Sexto.

ib. Pro πόρρω Sextus habet ἐν τῇ ὀρεινῇ.

40. Leg. μετὰ γὰρ ἱκ. cum Sexto.

41. Sext. ἡ τῆς πλ. φωνή.

42. Cod. ἄνευ pro ἂν ἐν.

44. Sext. κατ' ἀκρίβειαν.

45. Sext. φθάνει πλείων διελθεῖν.

δρεύοντος τῇ ὠδινούσῃ κρούσαντος τῷ δίσκῳ, εἶτα μετὰ τὸ κροῦσαι ἀκούσαντος τοῦ ἐπὶ τὴν ἀκρώρειαν, [ἀλλὰ] καὶ περισκοποῦντος καὶ βλέποντος ἐν τίνι τῶν ζῳδίων ἐστὶ σελήνη καὶ τῶν λοιπῶν ἀστέρων ἐν τίνι ἕκαστος φαίνεται, ἀναγκαῖον ἀλλοιότερον γενέσθαι τὸ περὶ τοὺς ἀστέρας διάθεμα, τῆς τοῦ πόλου κινήσεως ἀλέκτῳ τάχει φερομένης πρὶν τηρητικῶς παραφυλάξασθαι τὴν τοῦ γεννηθέντος ὥραν κατ' οὐρανὸν βλεπομένην.

5 Οὕτως ἀσύστατος δειχθήσεται ἡ κατὰ Χαλδαίους τέχνη. Εἰ δὲ ἐξ ἐπερωτήσεων φάσκοι τις σκοπεῖσθαι τοῦ πυνθανομένου τὴν γένεσιν, ἢ περὶ οὗ ἐπερωτάτω μηδὲ κατὰ τοῦτον τὸν τρόπον δύνασθαι ἐφικνεῖσθαι ἐπὶ τὸ ἀκριβές. Εἰ γὰρ τοσαύτη τις ἐπιμέλεια ἱστόρηται κατ' αὐτοὺς περὶ τὴν τέχνην, καὶ μηδ' αὐτοὶ ἐφικνοῦνται ἐπὶ τὸ ἀκριβὲς, καθὼς ἐπεδείξαμεν, πῶς ὁ ἰδιώτης κατείληφε τῆς ἀποτέξεως τὸν χρόνον ἀκριβῶς, ἵνα παρὰ τούτου μαθὼν ὁ Χαλδαῖος στήσῃ τὸν ὡροσκόπον ἀληθῶς; Ἀλλ' οὐδὲ κατὰ τὴν τοῦ ὁρίζοντος ὄψιν πάντῃ ὁ αὐτὸς φανήσεται ἀνίσχων ἀστὴρ, ἀλλ' ὅπου μὲν ὡροσκόπος νομισθήσεται τὸ ἀπόκλιμα, ὅπου δὲ ὡροσκόπος ἡ ἐπα-
4 r. ναφορὰ παρὰ τὴν τῶν τόπων ἐπιφάνειαν ὄντων ἢ ταπεινοτέρων ἢ ὑψηλοτέρων, ὥστε καὶ κατὰ τοῦτο τὸ μέρος οὐκ ἀκριβὴς φανήσεται ἡ προαγόρευσις, πολλῶν κατὰ πάντα τὸν κόσμον τῇ αὐτῇ ὥρᾳ γεννωμένων, ἄλλου ἄλλως τὰ ἄστρα θεωροῦντος. Ματαία δὲ καὶ ἡ διὰ τῶν ὑ[δρι]ῶν νομιζομένη κατάληψις. Οὐ γὰρ ὁμοίως

47. Sext. ἀπότεξιν, ἐν ᾧ γίνεται ὁ ἦχος ἀπὸ τοῦ ταῖς τῆς τικτούσης ὠδῖσι παρεδρ.

48. Fort. leg. τῇ ἀκρωρείᾳ. Exciderat ἀλλὰ, quod Sextus præbet.

52. ἀλλ' ἐν τάχει.

53. Cod. φερόμενα, corr. ex Sexto.

57. Cod. ἡ περὶ.

ib. Hæc difficillima. In mentem venit ἐκ περισσοῦ ἐπτέρωται τῷ μηδέ. Sequentia inveniuntur ap. Sextum §. 87, cum frequente varia lectione.

64. In Codice τοῦ quod deerat, suprascripsit secunda manus.

72. Cf. Sext. §. 75.

[ὁ] ἀμφορεὺς το . . . . . θεὶς ῥύσει πληρώσων ὡς ἀπόκενος, αὐτοῦ τοῦ πόλου κατὰ ἐκείνων λόγον ἐνὶ ὁρμήματι ἰσοταχῶς φερομένου. Εἰ δὲ διαστρέψαντες λέγοιεν μὴ τὸν ἀκριβῆ χρόνον λαμβάνειν ἀλλ' ὡς ἔτυχεν ἐν πλάτει, σχεδὸν ὑπ' αὐτῶν ἐλεγχθήσονται τῶν ἀποτελεσμάτων. Οἱ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ γεννηθέντες, οὐ τὸν αὐτὸν ἔζησαν βίον, ἀλλ' οἱ μὲν, λόγου χάριν, ἐβασίλευσαν, οἱ δὲ, ἐν πέδαις κατεγήρασαν. Οὐδεὶς γοῦν Ἀλεξάνδρῳ τῷ Μακεδόνι γέγονεν ἴσος, πολλῶν κατὰ τὴν οἰκουμένην ὁμοίως ἀποτεχθέντων αὐτῷ, οὐθεὶς Πλάτωνι τῷ φιλοσόφῳ. Ὥστε τὸν ἐν πλάτει τῆς γενέσεως χρόνον ὁ Χαλδαῖος ἀκριβῶς οὐ δυνήσεται λέγειν, εἰ [ὁ] κατὰ τοῦτον τὸν χρόνον γεννηθεὶς εὐτυχήσει. Πολλοὶ γοῦν κατὰ τὸν αὐτὸν χρόνον γεννηθέντες ἐδυστύχησαν, ὥστε ματαία καὶ ἡ κατὰ τὰ διαθέματα ὁμοιότης. Διαφόρως γοῦν καὶ πολυτρόπως τὴν ματαιόπονον σκέψιν τῶν Χαλδαίων διελέγξαντες, οὐδὲ τοῦτο παραλείψομεν ὡς εἰς ἄπορον χωρήσουσιν αἱ προρρήσεις αὐτοῖς. Εἰ γὰρ τὸν ἐν τῇ ἀκίδι τοῦ Τοξότου γεννηθέντα, ὡς οἱ μαθηματικοὶ λέγουσιν, ἀνάγκη σφαγήσεσθαι, πῶς αἱ

73. Cod. sine ὁ.

ib. Fort. ἀμφορεὺς ὁ προ[ρρη]θεὶς ῥεύσει. Mox leg. πλήρης ὤν. Sext. p. 350: οὐχ ὡσαύτως ῥυήσεται πλήρης καθεστώς· ὡσαύτως δὲ ἡμίκενος.

74. Cod. τοῦ πολλά.

75. Sext. τῆς οὐρανίου φορᾶς ἰσοταχῶς διὰ παντὸς ἐλαυνομένης.

ib. Leg. ἀναστρέψαντες, ut in Sexto.

76. Sext. λαμβάνεσθαι, ἀλλὰ τὸν ὁλοσχερῆ καὶ ἐν πλάτει, ὑπ' αὐτῶν σχεδὸν ἀπελεγχθήσονται τῶν ἀποτελεσμάτων.

78. Pro χρόνῳ Sextus habet καθ' ὁλοσχέρειαν.

82. Sext. οἰκουμένην συναποτεχθέντων.

ib. Cod. οὐθ' εἰς. Sext. οὐδέ.

84. Fort. leg. χρόνον σκοπῶν ὁ Χαλδ. Sextus χρόνον ὁ Χαλδαῖος ἐπισκέπτεται, οὐ δυνηθήσεται παγίως λέγειν ὅτι ὁ κατὰ τὸν αὐτὸν χρόνον.

ib. Cod. εἰ κατά.

85. Πολλοὶ γὰρ κατὰ τὸν αὐτὸν χρ. τούτῳ γ. Sextus. Cod. κατ' αὐτὸν τὸν χρ.

88. Leg. οὖν.

91. Sextus p. 353: ὁ—γεννηθεὶς, κατὰ τὸν μαθηματικὸν σφαγήσεται λόγον.

ib. Cod. τοῦ τόξου.

4 v. τοσαῦται τῶν βαρβάρων μυριάδες ἀγωνιζόμεναι πρὸς τοὺς Ἕλληνας ἐν Μαραθῶνι, ἢ Σαλαμῖνι, ὑφ' ἓν κατεσφάγησαν; οὐ γὰρ δή γε ἐπὶ πασῶν αὐτῶν ἦν ὡροσκόπος. Καὶ πάλιν τὸν ἐν τῇ κάλπῃ τοῦ Ὑδροχόου γεννηθέντα ναυαγήσειν, πόσοι ἀπὸ Τροίας ἀναγόμενοι τῶν Ἑλλήνων περὶ τὰ κοῖλα τῆς Εὐβοίας συγκατεποντίσθησαν; ἀπίθανον γὰρ πάντας μακρῷ χρόνῳ διαφέροντας ἀλλήλων ἐπὶ τῇ κάλπῃ τοῦ Ὑδροχόου γεγενῆσθαι. Οὐ γὰρ ἔστι λέγειν ὅτι δι' ἕνα πολλάκις ᾧ εἵμαρται κατὰ πέλαγος φθαρῆναι, πάντες οἱ ἐν τῇ νηῒ συναπολοῦνται. Διατί γὰρ ἡ τούτου εἱμαρμένη τὰς πάντων νικᾷ, ἀλλ' οὐχὶ διὰ τὸν ἕνα ᾧ εἵμαρται ἐπὶ γῆς τελευτᾶν, πάντες περισώζονται;

6 Ἀλλ' ἐπεὶ καὶ περὶ τῆς τῶν ζῳδίων ἐνεργείας λόγον ποιοῦνται, οἷς φασὶ προσομοιοῦσθαι τὰ ἀποτικτόμενα, οὐδὲ τοῦτον παραλείψομεν, οἷον τὸν ἐν Λέοντι γεννηθέντα ἀνδρεῖον ἔσεσθαι· ὁ δὲ ἐν Παρθένῳ, τετανόθριξ, λευκόχρους, ἄπαις, αἰδήμων. Ταῦτα δὲ καὶ τὰ τούτοις ὅμοια, γέλωτός ἐστι μᾶλλον ἄξια καὶ οὐ σπουδῆς. Ἔστι γὰρ κατ' αὐτοὺς μηδένα Αἰθίοπα ἐν Παρθένῳ γεννᾶσθαι· εἰ δ' οὔ, δώσει τὸν τοιοῦτον λευκὸν, τετανό-

93. Sext. μυριάδες τῶν βαρβ. ἀνταγωνιζόμεναι.
ib. Prius erat πρὸ τούς.
94. Sextus non habet ἢ Σαλαμῖνι.
ib. Sext. ὑφέν.
95. Sext. ἐπὶ πάντων.
ib. Pro αὐτῶν leg. ὁ αὐτὸς cum Sexto.
96. Sext. ὁ ἐν τῇ κάλπιδι—γεννηθεὶς ναυαγήσει.
97. Post γεννηθέντα supple εἰ ἀνάγκη.
ib. Cod. ναυαγήγειν.
ib. Leg. πῶς οἱ cum Sexto.
ib. Sext. ἀνακομιζόμενοι.
98. Sext. συγκατεποντώθησαν; ἀμήχανον γάρ.
99. χρόνῳ deest in Sexto.
1. Sext. κάλπιδι.
2. Sext. καὶ μὴν οὐδὲ ἔνεστι.
3. Sextus συναπόλλυνται.
5. Cod. διὰ τὴν ᾧ εἵμαρτο.
ib. Sext. θανεῖν.
11. Sext. χαροπὸς, λευκόχρως.
ib. Sext. ταῦτα γὰρ καί.
12. Sextus habet γέλωτος μᾶλλον ἢ σπουδῆς ἐστὶν ἄξια.
14. Post δώσει subaud. εἶναι.

τριχα καὶ τὰ ἕτερα. Οἶμαι δὲ μᾶλλον τοὺς ἀρχαίους [τὰ] ὀνόματα τῶν κειμένων ζῴων ἐπὶ κλητοῖς ἄστροις προστεθεικέναι, οἰκειώσεως χάριν, οὐχ ὁμοιοτρόπου φύσεως· τί γὰρ ἔχουσιν ὅμοιον ἄρκτου οἱ ἑπτὰ ἀστέρες διεστῶτες ἀπ' ἀλλήλων; ἢ δράκοντος κεφαλαὶ ὥς φησιν ὁ Ἄρατος πέντε;

Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν· εἷς δ' ὑπένερθεν
5 r. Ἐσχατιὴν ἐπέχει γέννος δεινοῖο πελώρου.

7 Πῶς καὶ ταῦτα οὐκ ἄξια τοσούτου πόνου δείκνυται τοῖς εὖ φρονεῖν προῃρημένοις καὶ μὴ προσέχουσι τῇ τῶν Χαλδαίων ἐμφυσιώσει; οἳ καὶ βασιλεῖς ἐξαφανίζουσι δειλίαν καταρτίζοντες, καὶ ἰδιώτας παραθαρρύνουσι μεγάλα τολμᾷν. Εἰ δὲ ἀποτύχοι αὐτὸς κακῷ περιπαρεὶς, οὐ πᾶσι γίνεται διδάσκαλος ὁ βλαβεὶς, οὓς φρεναπατᾷν βουλόμενοι τοῖς ἀποτεύγμασιν, εἰς ἄπειρον τὸν νοῦν αὐτῶν συνωθοῦντες λέγουσιν οὐ καλῶς ἐπὶ τὸ αὐτὸ δύνασθαι τὸν συσχηματισμὸν τῶν αὐτῶν ἀστέρων γίνεσθαι, ἢ διὰ τῆς ἀποκαταστάσεως τοῦ μεγάλου ἐνιαυτοῦ, δι' ἑπτακισχιλίων ἐτῶν καὶ ἑπτακοσίων ἑβδομήκοντα καὶ ἑπτά. Πῶς οὖν φθάσει ἀνθρωπίνη παρατήρησις

16. Addidi τὰ quod deest in codice. Mox leg. ἐπικλήτοις.

ib. Fort. ἐπίκλην vel ἐπίκλησιν τοῖς: "eos nomina constitutorum (ad hoc) animalium tanquam appellationem astris addidisse." Sextus: Εἰκὸς γὰρ τοὺς παλαιοὺς τὰ τοιαῦτα τῶν ὀνομάτων τίθεσθαι κατὰ ψιλὴν τὴν τοῦ χαρακτῆρος ἐμφέρειαν· τάχα δὲ, οὐδὲ κατ' αὐτὴν, ἀλλ' εὐσήμου χάριν διδασκαλίας. Τί γὰρ ὅμοιον ἔχουσιν ἄρκτῳ.

18. Addidi οἱ ex Sexto, qui rectius ἄρκτῳ.

19. Leg. cum Sext. κεφαλῇ, οἱ πέντε; ἐφ' ὧν φησὶν ὁ Ἄρατος.

21. Arat. Phænom. 56.

22. Cod. ἐσχάτη δ' ἐπέχει. Ex editt. correxi.

23. Lege Οὕτως (ου omisso ob finem præcedentis vocabuli).

25. Vox ἐμφυσίωσις addenda lexicis.

28. Sexti Empirici sententiam percepisse non videtur auctor.

30. Cod. συνωθοῦντα.

ib. Cod. ἐπιτοαυτό.

31. Cod. σχηματισμόν.

33. Sext. δι' ἐννεακισχιλίων ἐννεακοσίων καὶ ἑβδομήκοντα καὶ ἑπτὰ ἐτῶν, οὐ φθάσει ἀνθρωπίνη τήρησις.

τοῖς τοσούτοις αἰῶσι συνδραμεῖν ἐπὶ μιᾶς γενέσεως; καὶ ταῦτα, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις οἶμαι, παρ' ἐλπίδα πλειόνων ἐληλέγχθαι τὴν Χαλδαϊκὴν τέχνην ἔδει· καίτοι δι' ἕτερα αὐτῆς ἡμῶν μνησθέντων, οὐχὶ ἰδίως δι' αὐτήν. Ἀλλ' ἐπεὶ προῃρήμεθα μηδὲν τῶν παρ' ἔθνεσι δογμάτων καταλιπεῖν, διὰ τὴν πολύφωνον τῶν αἱρέσεων πανουργίαν, ἴδωμεν τί λέγουσι καὶ οἱ περὶ μεγεθῶν τετολμηκότες, οἳ κατιδόντες τὴν τῶν πλειόνων ματαιοπονίαν, ἄλλου ἄλλως διαψευσαμένου καὶ εὐδοκιμήσαντος, μεῖζόν τι ἐτόλμησαν εἰπεῖν, ὅπως ὑπὸ τῶν τὰ μικρὰ ψεύσματα μεγάλως δοξασάντων μειζόνως δοξασθῶσιν. Οὗτοι κύκλους καὶ μέτρα τρίγωνά τε καὶ τετράγωνα διπλάσιά τε καὶ τριπλάσια ὑποτίθενται· πολὺς δὲ ὁ περὶ τούτου λόγος, ἀλλ' οὐ πρὸς τὸ προκείμενον ἀναγκαῖος.

8 Ἱκανὸν οὖν λογίζομαι ἐξειπεῖν τὰ ὑπ' αὐτῶν τερατολογούμενα. Διὸ τοῖς ἐπιτόμοις χρησάμενος ὧν αὐτοὶ λέγουσιν, ἐπὶ τὰ ἕτερα τραπήσομαι. Λέγουσι δὲ ταῦτα·
5 v. κράτος ἔδωκεν ὁ δημιουργήσας τῇ ταὐτοῦ καὶ ὁμοίου περιφορᾷ· μίαν γὰρ αὐτὴν ἄσχιστον εἴασε, τὴν δὲ ἐντὸς σχίσας ἑξαχῇ ἑπτὰ κύκλους ἀνίσους κατὰ τὴν τοῦ διπλασίου διάστασιν ἑκάστην, οὐσῶν ἑκατέρων τριῶν, κατὰ τὰ ἐναντία μὲν ἀλλήλοις προσέταξεν ἰέναι τοὺς κύκλους, τάχει δὲ τρεῖς μὲν ὁμοίως, τοὺς δὲ τέσ-

36. Cod. desinit in media sententia Sexti §. 105. Fort. leg. ἀλλὰ πολλάκις, οἶμαι, παρ' ἐλπίδα * * * [διὰ] πλειόνων. Lacunam majorem hic esse puto: nam παρ' ἐλπίδα ad nihil plane refertur in sententia sequentium: quanquam οἶμαι διὰ πλειόνων ἐληλέγχθαι egregie confirmatur simili clausula fol. cod. 34 init.

39. Cod. αὐτήν.
ib. Cod. προκρίμεθα.
51. Cod. ὡς male.
53. Plato Tim. p. 36 C.
55. Ex Platone dedi ἑξαχῇ. Cod. ἐξ αὐτῆς.
56. Plat. διπλασίου καὶ τριπλασίου.
57. Plat. κατὰ τἀναντία.
58. Cod. ὁμοίους.

σαρας ἀλλήλοις τε καὶ τοῖς τρισὶν ἀνομοίως ἐν λόγῳ δὲ φερομένους. Κράτος μὲν δεδόσθαι τῇ ταὐτοῦ φορᾷ φησὶν, οὐ μόνον ἐπειδὴ περιέχει τὴν θατέρου φορὰν, τουτέστι τοὺς πλανωμένους, ἀλλ' ὅτι καὶ τοσοῦτον ἔχει κράτος, τουτέστι τοσαύτην δύναμιν, ὥστε καὶ τοῖς ἐπὶ τἀναντία τοὺς πλανωμένους, ἀπὸ δύσεως ἐπ' ἀνατολὴν φερομένους αὐτοὺς τῇ οἰκείᾳ ἰσχύϊ, ὁμοίως καὶ ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ἑαυτῷ συμπεριάγει. Μίαν δὲ καὶ ἄσχιστον εἰ ἐᾶσθαι φησὶ ταύτην φορὰν, πρῶτον μὲν, ἐπειδὴ πάντων τῶν ἀπλανῶν ἰσόχρονοι αἱ περιφοραὶ καὶ οὐ διῃρημέναι κατὰ πλείους καὶ ἐλάττους χρόνους· ἔπειτα ὅτι μίαν πάντες ἔχουσιν ἐπιφάνειαν τὴν τῆς ἐξωτάτω φορᾶς, οἱ δὲ πλανώμενοι καὶ εἰς χρόνους πλείονας καὶ διαφόρους τῶν κινήσεων καὶ εἰς ἀποστάσεις ἀπὸ γῆς ἀνίσους διῄρηνται· τὴν δὲ θατέρου φησὶν ἑξαχῇ εἰς ἑπτὰ κύκλους ἐσχίσθαι εἰκότως. Ὁπόσαι γὰρ ἂν ὦσιν ἑκάστου αἱ τομαὶ, μονάδες λέγω τῶν τομῶν, γίνεται τὰ τμήματα οἷον· ἐὰν μιᾷ τομῇ διαιρεθῇ, δύο ἔσται τμήματα, ἂν δυσὶ, τρία τμήματα· οὕτω δὴ κἂν ἑξαχῇ τι τμηθῇ, ἑπτὰ ἔσται τὰ τμήματα. Τὰς δὲ ἀποστάσεις αὐτῶν καὶ τὰ διπλάσια καὶ τριπλάσια ἐναλλὰξ τετάχθαι φησὶν, οὐσῶν ἑκατέρων τριῶν· ὅπερ καὶ ἐπὶ τῆς συστάσεως τῆς ψυχῆς, ἐπὶ τῶν ἑπτὰ ἀριθμῶν ἔδειξε. Τρεῖς μὲν γάρ εἰσιν ἐπ' αὐτοῖς διπλάσιοι ἀπὸ
6 r. μονάδος, $\bar{\beta}$, $\bar{\delta}$, $\bar{\theta}$. Τρεῖς δὲ $\overset{\eta}{\mu}$ καὶ $\overline{\rho\eta}$ σταδίων. Περίμετρος δὲ γῆς σταδίων $\overset{\eta}{\mu}$, καὶ $\overline{\phi\mu\gamma}$· καὶ ἀπόστημα δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἐπὶ τὸν σεληνιακὸν κύκλον,

59. Cod. ἀνομοίοις.
60. Cod. φερομένων.
67. Dele εἰ, nisi malis εἰᾶσθαι.
70. Cod. ἔχωσιν.
82. Cf. Plutarch. de animæ procreatione apud Platonem in Timæo §. 11. p. 1017 D et seqq.
83. Leg. $\bar{\beta}$, $\bar{\delta}$, $\bar{\eta}$, τρεῖς δὲ τριπλάσιοι, $\bar{\gamma}$, $\bar{\theta}$, $\overline{\kappa\zeta}$.

ὁ μὲν Σάμιος Ἀρίσταρχος ἀναγράφει σταδίων μ̄ (ρεη/η), ὁ δὲ Ἀπολλώνιος μυριάδ. φ̄, ὁ δὲ Ἀρχιμήδης μυριάδ. φνδ̄ καὶ μονάδ. ͵δρλ̄. Ἀπὸ δὲ τοῦ σεληνιακοῦ ἐπὶ τὸν τοῦ ἡλίου κύκλον σταδίων μυριάδ. ͵εκϛ̄ καὶ μονάδ. ͵βξε̄. Ἀπὸ τοῦδε ἐπὶ τὸν τῆς Ἀφροδίτης κύκλον σταδίων μυριάδ. ͵εκζ̄ καὶ μονάδας ͵βξε̄. Ἀπὸ τοῦδε ἐπὶ τὸν τοῦ Ἑρμοῦ κύκλον σταδίων μυριάδ. ͵επᾱ, μονάδ. ϛρξε̄. Ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ πυρόεντος κύκλον σταδίων μυριάδ. ͵δφνδ̄, μονάδ. ͵δρνδ̄. Ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Διὸς κύκλον σταδίων μυριάδ. ͵βκζ̄, μονάδας ͵εξε̄. Ἀπὸ τούτου δὲ ἐπὶ τὸν τοῦ Κρόνου κύκλον σταδίων μυριάδ. ͵δλζ̄, μονάδ. ͵βξε̄. Ἀπὸ τούτου δὲ ἐπὶ τὸν ζωδιακὸν καὶ τὴν ἐσχάτην περιφέρειαν σταδίων μυριάδ., ͵βη̄ μονάδ. ͵με̄.

9 Τὰ μὲν ἀπ' ἀλλήλων διαστήματα τῶν κύκλων καὶ τῶν σφαιρῶν, βάθη τε ὑπὸ τοῦ Ἀρχιμήδους ἀποδίδοται. Τοῦ δὲ ζωδιακοῦ τὴν περίμετρον λαμβάνει σταδίων δευτέρων ἀριθμῶν δ̄ καὶ μυριάδ. ͵δψλᾱ· ὥστε συμβαίνειν τὴν ἐκ τοῦ κέντρου εὐθεῖαν ἄχρι τῆς ἐπιφανείας τῆς ἐσχάτης γῆς τὸ ἕκτον εἶναι τοῦ λεχθέντος ἀριθμοῦ, τοῦ δὲ ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἀφ' ἧς βεβήκαμεν ἄχρι τοῦ ζωδιακοῦ, ἄρτι ῥηθὲν ἕκτον τοῦ ἀριθμοῦ, λεῖπον τέτρασι μυριάσι σταδίων ὃ ἐκ τοῦ κέντρου τῆς γῆς μέχρι τῆς ἐπιφανείας αὐτῆς. Ἀπὸ τοῦ Κρόνου δὲ κύκλου ἐπὶ τὴν γῆν φησὶ τὸ διάστημα σταδίων δευτέρων ἀριθμῶν εἶναι μονάδ. δύο καὶ μυριάδ. ͵βσξθ̄, καὶ μονάδ. ͵βψιᾱ.

2. Cod. δὲ pro τε.
ib. Fort. in hodie deperditis observationibus cælestibus quarum meminit Ptolemæus in Almagesto lib. III. cap. 2.
6. γῆς delend.
7. Cod. ἐφ' ἧς.
11. Cod. ἀριθμᾶσθαι.

Ἀπὸ τοῦδε τοῦ Διὸς κύκλου ἐπὶ γῆν σταδίων δευτέρων ἀριθμῶν μονάδ. β̄, καὶ μυριάδ. σοζ', καὶ μονάδες χμϛ. Ἀπὸ δὲ τοῦ Πυρόεντος κύκλου ἐπὶ γῆν δευτέρων ἀριθμῶν
6 v. μονάδ. μίαν, καὶ μυριάδ. ͵γσμα καὶ μονάδ. ͵ηφπα. Ἀφ' ἡλίου ἐπὶ γῆν δευτέρων ἀριθμῶν μονάδ. μίαν, καὶ μυριάδ. βρξ καὶ μονάδας ͵δυνδ'. Ἀπὸ δὲ τοῦ Στίλβοντος ἐπὶ τὴν γῆν μυριάδ. ͵εσξη, μονάδας ͵ησνθ. Ἀπὸ δὲ Ἀφροδίτης ἐπὶ γῆν μυριάδ. ͵επα, μονάδ. ͵ερξ.

10 Περὶ σελήνης δὲ ἐλέχθη τὸ πρότερον. Τὰ μὲν οὖν ἀποστήματα καὶ βάθη τῶν σφαιρῶν οὕτως Ἀρχιμήδης ἀποδίδωσιν, ἑτέρως δὲ ὑπὲρ αὐτῶν Ἱππάρχῳ εἴρηται, καὶ ἑτέρως Ἀπολλωνίῳ τῷ μαθηματικῷ. Ἡμῖν δὲ ἐξαρκεῖ τῇ Πλατωνικῇ δόξῃ ἑπομένοις, διπλάσια μὲν καὶ τριπλάσια οἴεσθαι τῶν πλανωμένων τὰ ἀπ' ἀλλήλων διαστήματα· σώζεται γὰρ οὗτος ὁ λόγος τοῦ καθ' ἁρμονίαν συγκεῖσθαι τὸ πᾶν, ἐν λόγοις συμφώνοις κατὰ ταῦτα τὰ ἀποστήματα. Οἱ δ' ἐκτεθέντες ὑπὸ Ἀρχιμήδους ἀριθμοὶ καὶ ὑπὸ τῶν ἄλλων, περὶ τῶν ἀποστημάτων λεγόμενοι λόγοι, εἰ μὴ ἐν συμφώνοις εἶεν λόγοις, τουτέστι τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις διπλασίοις καὶ τριπλασίοις, ἔξω δὲ συμφωνιῶν εὑρισκόμενοι, οὐκ ἂν σώζοιεν τὸ καθ' ἁρμονίαν κατεσκευάσθαι τὸ πᾶν· οὐ γὰρ πιθανὸν οὐδὲ δυνατὸν, ἄλογα δὲ καὶ ἔξω συμφωνιῶν καὶ ἐναρμονίων λόγων εἶναι αὐτῶν τὰ ἀποστήματα, πλὴν ἴσως σελήνης μόνης ἐκ τῶν λείψεων καὶ τῆς σκιᾶς τῆς γῆς, περὶ ἧς μόνης καὶ πιστεῦσαι τις ἂν Ἀρχιμήδῃ ἀποστάσεως, τουτέστι τῆς σεληνιακῆς ἀπὸ γῆς· ταύτην δὲ

18. Fort. ͵δυνδ'.
25. Cod. δόξα.
27. Leg. οὕτως.
30. Cod. ἀποστεμάτων (η above ε).
34. Cod. κατ' ἁρμονίαν.
35. Leg. ἄλογά τε.
36. Cod. ἀποστέματα.

λαβοῦσι ῥᾴδιον ἔσται κατὰ τὸ Πλατωνικὸν αὐτὸ τὰς κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον, ὡς ἀξιοῖ Πλάτων, καὶ τὰ λοιπὰ ἀποστήματα ἀριθμῶν περιλαβεῖν. Εἰ δὴ κατὰ τὸν Ἀρχιμήδην ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἡ σελήνη ἀφέστηκε σταδίων μυριάδ. φνδ σταδίους ͵δρλ, ῥᾴδιον τούτους τοὺς ἀριθμοὺς αὔξοντας κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον, καὶ τὰ τῶν λοιπῶν εὑρεῖν διαστήματα, ὡς μιᾶς μοίρας λαμβανομένης τοῦ τῶν σταδίων
7 r. ἀριθμοῦ οὓς ἡ σελήνη τῆς γῆς ἀφέστηκεν. Ὅτι δὲ οἱ λοιποὶ ἀριθμοὶ οἱ ὑπ' Ἀρχιμήδους περὶ τῆς ἀποστάσεως τῶν πλανωμένων λεγόμενοι οὐκ ἐν συμφώνοις λόγοις ῥᾴδιον γνῶναι, πῶς ἔχουσι πρὸς ἀλλήλους καὶ ἐν τίσι λόγοις εἰσὶ κατανοήσαντας· μὴ εἶναι δὲ ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ ταῦτα τοῦ καθ' ἁρμονίαν συνεστῶτος κόσμου ὄντα μέρη ἀδύνατον. Τοῦ μὲν δὴ πρώτου ἀριθμοῦ ὃν ἀφέστηκεν ἡ σελήνη τῆς γῆς ὄντος μυριάδ. φνδ μονάδων ͵δρλ, ὁ δεύτερος ἀριθμὸς ὃν ἀφέστηκεν ἥλιος τῆς σελήνης ὢν μυριάδ. ͵εκζ, μονάδων βξε, ἐν λόγῳ ἐστὶ πλεῖον ἢ ἔλασσον. Πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. βκζ, μονάδ. βξε, ἐν λόγῳ ἐστὶ πλείονι ἢ διπλασίῳ. Πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. ͵δνδ, μονάδων ͵αρη, ἐν λόγῳ ἔσται ἐλάττονι ἢ ἐπιτετάρτῳ. Πρὸς δὲ τοῦτον ὁ ἀνωτέρω ἀριθμὸς ὢν μυριάδ. βκξ μονάδων ͵εξε, ἐν λόγῳ ἐστὶ πλείονι ἢ ἡμίσει. Πρὸς δὲ τοῦτον ὁ ἀνωτάτω ἀριθμὸς ὢν μυριάδ. ͵δλζ, μονάδ. βξε, ἐν λόγῳ ἐστὶ ἐλάττονι ἢ διπλασίῳ.

11 Οὗτοι δὴ οἱ λόγοι, ὅ τε πλείων ἢ ἐλάττων ἢ ἥμισυς,

42. Cod. ἀποστέματα.
50. Fort. leg. λεγόμενοι οὐκ εἰσίν.
58. Fort. leg. πλείονι ἢ ἐλάσσονι.
60. Cod. τοῦτο.
62. Cod. ἐπὶ δὴ (sic).
64. Cod. τούτῳ.
66. Cod. πλείω.

καὶ πλείων ἢ διπλάσιος, καὶ ἐλάττων ἢ ἐπιτέταρτος, καὶ πλείων ἢ ἥμισυς, καὶ ἐλάττων ἢ διπλάσιος, ἔξω πασῶν εἰσὶ συμφωνιῶν ἐξ ὧν οὐκ ἐναρμόνιόν τι καὶ σύμφωνον σύστημα γένοιτο. Ὁ δ' ἅπας κόσμος καὶ τὰ τούτου μέρη κατὰ πάντας ὁμοίως ἐναρμονίως καὶ συμφώνως σύγκειται. Οἱ δὲ ἐναρμόνιοι καὶ σύμφωνοι λόγοι σώζονται καθάπερ προειρήκαμεν τοῖς διπλασίοις καὶ τριπλασίοις διαστήμασιν. Εἰ δὴ πιστὸν, τὸν Ἀρχιμήδην ἡγησάμεθα ἐν μόνῳ τῷ πρώτῳ ἀποστήματι τῷ ἀπὸ σελήνης μέχρι γῆς, ῥᾳδιον καὶ τὰ λοιπὰ κατὰ τὸ διπλάσιον καὶ τριπλάσιον αὔξοντα εὑρεῖν. Ἔστω δὴ κατὰ τὸν Ἀρχιμήδην τὸ ἀπὸ γῆς μέχρι σελήνης ἀπόστημα σταδίων μυριάδ. φνδ μονάδων ͵δρλ, ἔσται μὲν δὴ τού-
7 v. του διπλάσιος ἀριθμὸς σταδίων ὧν ἀφέστηκεν ὁ ἥλιος τῆς σελήνης μυριάδ. ͵αρη καὶ ͵ησξ, ἀπὸ δὲ τῆς γῆς ἀφέστηκεν ὁ ἥλιος σταδίων [μυριάδ.] ͵αχξγ καὶ ͵βτϛ. Καὶ Ἀφροδίτη δὲ ἀφέστηκεν ἀπὸ μὲν ἡλίου σταδίων μυριάδ. ͵αχξγ καὶ σταδίους ͵βτϛ, ἀπὸ δὲ γῆς μυριάδων ͵γτκϛ σταδίους ͵δψπ. Ἑρμῆς δὲ Ἀφροδίτης μὲν ἀφέστηκε σταδίων μυριάδων ͵βσιζ σταδίων ͵ϛφκ, ἀπὸ δὲ γῆς μυριάδων ͵ε πεντακόσια μδ, σταδίους ͵ατ. Ἄρης δὲ Ἑρμοῦ μὲν ἀφέστηκε σταδ. μυριάδ. ͵δϡπθ σταδίοις ͵ζρο· ἀπὸ δὲ γῆς μυριάδ. μυριάδα καὶ φλγ σταδίους ͵ηυο. Ζεὺς δὲ Ἄρεως μὲν ἀφέστηκε μυριάδ. ͵δυλε, σταδίους ͵ημ· ἀπὸ δὲ γῆς μυριάδ. [μυριάδα] καὶ ͵δϡξθ, σταδίους ͵αφι. Κρόνος ἀπὸ μὲν Διὸς ἀφέστηκε σταδιων μυριάδ. μυριάδα καὶ ͵δϡξδ, σταδίους ͵αφι, ἀπὸ δὲ γῆς μυριάδ. μυριάδα καὶ ͵θϡλη σταδίους ͵γκ.

69. Cod. εἶ.
ib. Fort. οὐκ ἂν ἐναρμόνιον.
71. Fort. ἐναρμονίους καὶ συμφώνους [λόγους] σύγκειται.
78. Cod. ἀπόστημα (sic).
81. Hos numeros et sequentes restitui.

12 Τίς οὐ θαυμάσει τὴν τοσαύτην φροντίδα μετὰ τοσούτου πόνου γεγενημένην; οὐκ ἀχρεῖος δέ μοι οὑτοσὶ ὁ Πτολεμαῖος ὁ τούτων μεριμνητὴς δοκεῖ· τοῦτο δὲ μόνον λυπεῖ, ὡς πρόσφατος γεννηθεὶς οὐκ εὔχρηστος γεγένηται γιγάντων παισὶν οἳ τὰ μέτρα ταῦτα ἠγνοηκότες ἐγγὺς νομίζοντες εἶναι ὕψη οὐρανοῦ, πύργον μάτην ἐπεχείρησαν ποιεῖν, οἷς ὡς εἰ κατ' ἐκεῖνο παρὼν τὰ μέτρα διηγήσατο, οὐκ ἂν μάτην τετολμήκεισαν. Εἰ δέ τις τούτῳ φάσκει ἀπιστεῖν, μετρήσας πειθέσθω· ταύτης γὰρ φανερωτέραν ἀπόδειξιν οὐκ ἔχει πρὸς τοὺς ἀπίστους. Ὦ ματαιοπόνου καὶ ψυχῆς φυσιώσεως καὶ πίστεως ἀπίστου, ἵνα πάντων Πτολεμαῖος σοφὸς νομίζηται παρὰ
8 r. τοῖς τὴν ὁμοίαν σοφίαν ἠσκηκόσι.

13 Τούτοις ἐν μέρει ἐπισχόντες τινὲς ὡς μεγάλα κρίναντες καὶ λόγου ἄξια νομίσαντες αἱρέσεις ἀμέτρους καὶ ἀπείρους συνεστήσαντο. Ὧν εἷς μὲν Κολάρβασος, ὃς διὰ μέτρων καὶ ἀριθμῶν ἐκτίθεσθαι θεοσέβειαν ἐπιχειρεῖ· καὶ ἕτεροι δὲ ὁμοίως οὓς ἐπιδείξομεν, ἐπὰν τὰ περὶ αὐτῶν ἀρξώμεθα λέγειν, οἳ Πυθαγορείῳ ψήφῳ ὡς δυνατῇ προσέχουσι, καὶ τὴν ἀσφαλῆ φιλοσοφίαν δι' ἀριθμῶν καὶ στοιχείων σχεδιάζουσι μαντευόμενοι μάταια· ὧν ὁμοίους λόγους ἐρανισάμενοί τινες ἀποπλανῶσιν ἰδιώτας, προγνωστικοὺς ἑαυτοὺς φάσκοντες ἔσθ' ὅτε διὰ τοῦ πολλὰ μαντεύεσθαι ἓν ἐπιτυγχάνοντες, καὶ ἐπὶ μὲν τοῖς πολλοῖς ἀποτεύγμασι μὴ αἰδούμενοι, ἐπὶ δὲ τῷ ἑνὶ ἐγκομπάζοντες. Οὐδὲ τούτων τὴν ἄσοφον σοφίαν παρα-

99. Cod. πᾶσιν.
2. ὡς delendum, vel οὗτος legendum.
6. Leg. ὢ ματαίου πόνου, vel dele καί. Vide supra p. 14. In marg. Cod. litteris rubricatis: Διαβολὴ πάντων σοφῶν.
7. Pro πάντων leg. videtur πάντως: nisi omissa quædam sunt in hac phrasi, quod potius crediderim.
11. Cf. Matter *Hist. crit. du Gnosticisme*, tom. 2, p. 112.
12. Cod. ἐπιρρεῖ male.
17. Cod. ἐρανίσαμεν· οἵ τινες.
18. Cod. πρὸς γνωστικούς.

πέμψομαι, ἀλλ' ἐκθέμενος, τοὺς ἐκ τούτων ἐπιχειροῦντας θεοσέβειαν συνιστᾷν ἐλέγξω ῥίζης ἀσυστάτου καινουργίας ἀναπλέοντας μαθητάς.

14 Οἱ μὲν οὖν διὰ ψήφων τε καὶ ἀριθμῶν στοιχείων τε καὶ ὀνομάτων μαντεύεσθαι νομίζοντες, ταύτην ἀρχὴν ἐπιχειρήσεως τοῦ κατ' αὐτὴν λόγου ποιοῦνται, φάσκοντες πυθμένα εἶναι ἑκάστου τῶν ἀριθμῶν, ἐπὶ μὲν τῶν χιλιάδων τοσαύτας μονάδας, ὅσαι ἂν ὦσι χιλιάδες, οἷον τῶν ἑξακισχιλίων ὁ πυθμὴν, μονάδες ἕξ, τῶν ἑπτακισχιλίων, μονάδες ἑπτὰ, τῶν ὀκτακισχιλίων, μονάδες ὀκτὼ, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως κατὰ τὰ αὐτὰ, καὶ ἐπὶ τῶν ἑκατοντάδων, ὅσαι ἂν ὦσιν αἱ ἑκατοντάδες, τοσαῦται μονάδες ὁ πυθμήν ἐστιν αὐτῶν, οἷον τῶν ἑπτακοσίων,
8 v. ἑπτά εἰσιν ἑκατοντάδες· ὁ πυθμὴν αὐτῶν, ἑπτὰ μονάδες· τῶν ἑξακοσίων, ἓξ ἑκοντάδες· ὁ πυθμὴν αὐτῶν, τρεῖς μονάδες. Τὸ ὅμοιον καὶ ἐπὶ τῶν δεκάδων· τῶν μὲν ὀγδοήκοντα, μονάδες ὀκτὼ, τῶν δὲ ἑξήκοντα, μονάδες ἕξ, τῶν τεσσαράκοντα, μονάδες τέσσαρες, τῶν δέκα, μονὰς μία. Ἐπὶ δὲ τῶν μονάδων, πυθμὴν αὗται εἰσὶν αἱ μονάδες, οἷον τοῦ ἐννέα, ὁ ἐννέα, τοῦ ὀκτὼ, ὁ ὀκτὼ, τοῦ ἑπτὰ, ὁ ἑπτά. Οὕτως οὖν καὶ ἐπὶ τῶν στοιχείων ποιεῖν δεῖ· ἕκαστον γὰρ στοιχεῖον κατά τινα τέτακται ἀριθμὸν οἷον τὸν κατὰ μονάδων η̄. Τῶν πεντήκοντα μονάδων πυθμήν ἐστιν ὁ πέντε, καὶ τοῦ ν̄ στοιχείου

23. Legendum videtur ῥίζης ἀσυστάτου καινουργίᾳ ...... μαθητὰς, ut qui recens fabricato fundamento religionis eoque contradictorio *sibi quærunt* discipulos, quod sententia fere postulat: interim pro ἀναπλέοντας scribendum propono ἀναπτεροῦντας [τοὺς] μαθητὰς, magnam exspectationem injiciunt, alas subdunt discipulis.

27. Legend. videtur τοῦ κατ' αὐτοὺς λόγου.

36. Cod. male ἑξηκοντάδες.

ib. Leg. ἓξ μον., nisi exciderunt eadem verba de τριακόσιοι.

44. Fort. ἀριθμόν· οἷον [ἐὰν] τὸ ν̄ κατὰ μονάδων ᾖ, τῶν π.

πυθμήν ἐστιν ὁ πέντε. Ἔστω ἔκ του ὀνόματος τινὰς τούτου πυθμένας λαβεῖν. Οἷον τοῦ Ἀγαμέμνων ὀνόματος γίνεται τὸ μὲν α, μονὰς μία, τοῦ δὲ γ μονάδες τρεῖς, τοῦ ἄλλου α μονὰς μία, τοῦ μ μονάδες δ, τοῦ ε μονάδες ε, τοῦ μ μονάδες δ, τοῦ ν μονάδες πέντε, τοῦ ω μονάδες η, τοῦ ν μονάδες ε, ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἔσονται α, γ, α, δ, ε, δ, ε, η, ε· ταῦτα συντεθέντα ποιεῖ μονάδας λϛ. Πάλιν τούτων πυθμένας λαμβάνουσι, καὶ γίνονται τῶν μὲν λ τρεῖς, τῶν δὲ ἓξ αὐτὰ τὰ ἕξ· συντεθέντα οὖν τὰ τρία καὶ τὰ ἓξ, ποιεῖ ἐννέα· τῶν δὲ ἐννέα πυθμὴν ὁ ἐννέα. Κατέληξεν οὖν τὸ Ἀγαμέμνων ὄνομα εἰς τὸν ἐννέα πυθμένα. Ἔστω τὸ αὐτὸ καὶ ἐπὶ ἄλλου ὀνόματος ποιῆσαι τοῦ Ἕκτωρ. Τὸ Ἕκτωρ ὄνομα ἔχει στοιχεῖα πέντε, ε καὶ κάππα καὶ ταῦ καὶ ω καὶ ρ. Τούτων πυθμένες, ε, β, γ, η, α· ταῦτα συντεθέντα ποιεῖ μονάδας ιθ. Πάλιν τῶν δέκα πυθμὴν εἷς, τῶν ἐννέα, ἐννέα· ἃ συντεθέντα ποιεῖ δέκα· τοῦ δέκα γίνεται πυθμὴν
9 r. μονάς. Ψηφισθὲν οὖν τὸ Ἕκτωρ ὄνομα ἐποίησε πυθμένα μονάδα. Εὐκολώτερον δέ ἐστι τὸ οὕτως ποιεῖν· τοὺς εὑρεθέντας ἐκ τῶν στοιχείων πυθμένας, ὡς νῦν ἐπὶ τοῦ Ἕκτορος ὀνόματος εὕρομεν μονάδας ιθ, εἰς ἐννέα μέριζε, καὶ τὸ περιλειπόμενον πυθμένας λέγε· οἷον τὰ ιθ ἐὰν εἰς ἐννέα μερίζω, περιλείπεται μονὰς, ἐννάκις γὰρ δύο, ιη, καὶ λοιπὴ μονάς. Ἐὰν γὰρ ἀφελῶ τῶν ιθ τὰ δεκαοκτὼ, λοιπὴ μονάς· ὥστε τοῦ Ἕκτωρ ὀνόματος πυθμὴν ἔσται μονάς. Πάλιν τοῦ Πάτροκλος ὀνόματος, πυθμένες εἰσὶν ἀριθμοὶ οὗτοι, η, α, γ, α, ζ, β, γ, ζ, β· συντεθέντες

46. Cod. ἐκ τοῦ.
ib. Pro τινὰς leg. τούς.
52. Cod. male δ. κε.

59. Male cod. στοιχεῖα πέντε, καὶ κάππα.

ποιοῦσι μονάδας λδ. Τούτων τὸ ἔλαττον, μονάδες ἑπτὰ, τῶν λ τρεῖς, καὶ τῶν δ αὗται αἱ δ. Πυθμὴν οὖν εἰσὶ τοῦ Πάτροκλος ὀνόματος, μονάδες ζ. Οἱ μὲν οὖν κατὰ τὸν ἐννεαδικὸν κανόνα ψηφίζοντες, [τὸ] ἔννατον λαμβάνουσι τοῦ ἀθροισθέντος ἐκ τῶν πυθμένων ἀριθμοῦ, καὶ τὸ περιλειφθὲν πλῆθος τῶν πυθμένων ὁρίζονται. Οἱ δὲ κατὰ τὸν ἑβδοματικὸν τὸ ἕβδομον, οἷον εὑρέθη ἐπὶ τοῦ Πάτροκλος ὀνόματος, τὸ ἐπὶ τῶν πυθμένων ἄθροισμα, μονάδες λδ· τοῦτο μερισθὲν εἰς ἑβδομάδας ποιεῖ δ, ὅ ἐστι κη· λοιπαὶ μονάδες ἕξ· λέγει ὅτι ὁ πυθμὴν τοῦ Πάτροκλος ὀνόματος εἰσὶν ἓξ, κατὰ τὸν ἑβδοματικόν. Εἰ δὲ ἔσται μγ, τὸ ἕβδομον λέγει μβ, ἑπτάκις γὰρ ἓξ μβ, καὶ λοιπὸν ἕν. Μονὰς οὖν γίνεται ὁ πυθμὴν ὁ ἀπὸ τῶν μγ, κατὰ τὸν ἑβδοματικόν. Δεῖ δὲ προσέχειν ἐὰν ὁ λειφθεὶς ἀριθμὸς μεριζόμενος ἀπαρτίσῃ, οἷον ἐὰν ἔκ τινος ὀνόματος συντιθεὶς τοὺς πυθμένας εὕρω, λόγου χάριν, μονάδας λϛ· ὁ δὲ λϛ μεριζόμενος εἰς τὸν ἐννέα δ ἀπαρτίζει ἐννεάδας· ἐννάκις γὰρ δ, λϛ, καὶ οὐδὲν περιλείπεται. Τὸν πυθμένα οὖν αὐτὸν τὸν θ δῆλον εἶναι. Καὶ πάλιν τὸν τεσσαράκοντα πέντε ἀριθμὸν μερίζοντες εὕρωμεν ἀπαρτίζοντα ἐννέα· καὶ γὰρ ἐννάκις πέντε με,
9 v. καὶ λείπεται οὐδέν· ἐπὶ τῶν τοιούτων αὐτὸν τὸν ἐννέα λέγουσι πυθμένα. Καὶ ἐπὶ τοὺς ἑβδοματικοὺς ὁμοίως, ἐὰν λόγου χάριν τὸν κη εἰς τὸν ἑπτὰ μερίζοντες ἀπαρτίσωμεν· ἑπτάκις γὰρ δ, κη, καὶ περιλείπεται οὐδὲν, τὸν ἑπτὰ λέγουσι πυθμένα. Ὅταν μέντοι ψηφίζῃ τὰ ὀνόματα καὶ εὑρίσκῃ δὶς τὸ αὐτὸ γράμμα, ἅπαξ αὐτὸ

76. Addidi articulum τό, qui recte legitur infra lin. 79.

83. Subaud. κανόνα ibi et infra compluries.

88. Cod. συντεθείς.

92. Fort. καὶ πάλιν ἐάν.

95. Leg. vel καὶ περὶ τοὺς vel ἐπὶ τῶν ἑβδοματικῶν. Prius probabilius.

99. Cod. εὑρίσκει.

ψηφίζει, οἷον τὸ Πάτροκλος ὄνομα καὶ τὸ π α δὶς ἔχει καὶ τὸ ο δὶς, ἅπαξ οὖν τὸ α ψηφίζουσι καὶ ἅπαξ τὸ ο. Κατὰ τοῦτο οὖν πυθμένες ἔσονται, η, α, γ, α, ζ, β, γ, β, καὶ συντεθέντες ποιοῦσι μονάδας κζ, καὶ ἔσται πυθμὴν τοῦ ὀνόματος, κατὰ μὲν τὸν ἐννεαδικὸν, ὁ αὐτὸς ἐννέα, κατὰ δὲ τὸν ἑβδοματικὸν ἕξ. Ὁμοίως Σαρπηδὼν ψηφισθεὶς ποιεῖ μονάδας κατὰ τὸν ἐννεαδικὸν δύο πυθμένα· Πάτροκλος δὲ, ποιεῖ μονάδας θ· νικᾷ Πάτροκλος. Ὅταν γὰρ ᾖ ὁ μὲν εἷς περισσὸς, ὁ δὲ ἕτερος ἄρτιος, ὁ περισσὸς νικᾷ, ἐὰν μείζων ᾖ. Πάλιν δὲ ἐὰν ᾖ ὀκτὼ ἄρτιος καὶ πέντε περισσὸς, ὁ ὀκτὼ νικᾷ, μείζων γάρ ἐστιν. Εἰ δὲ ἦσαν ἀριθμοὶ δύο οἷον ἀμφότεροι ἄρτιοι, ἢ ἀμφότεροι περισσοὶ, ὁ ἐλάσσων νικᾷ. Πῶς δὲ ὁ Σαρπηδὼν κατὰ τὸν ἐννεαδικὸν ποιεῖ μονάδας δύο; παραλείπονται γὰρ τὸ ω στοιχεῖον· ὅταν γὰρ ᾖ ἐν ὀνόματι στοιχεῖον ω καὶ η, παραλιμπάνουσι τὸ ω, ἐνὶ στοιχείῳ χρώμενοι· ἰσοδυναμεῖν γὰρ λέγουσι τὰ ἀμφότερα, δὶς δὲ τὸ αὐτὸ οὐ ψηφίζεται, ὡς ἄνωθεν εἴρηται. Πάλιν Αἴας ποιεῖ μονάδας τέσσαρας, Ἕκτωρ κατὰ τὸν ἐννεαδικὸν ποιεῖ μονάδα μίαν. Καὶ ἔστιν ἡ μὲν τετρὰς ἄρτιος, ἡ μονὰς δὲ περισσή. Ἐπὶ δὲ τῶν τοιούτων, τὸν μείζονα ἐλέγομεν νικᾷν, νικᾷ ὁ Αἴας. Πάλιν Ἀλέξανδρος καὶ Μενέλαος. Ἀλέξανδρος κύριον ἔχει ὄνομα [Πάρις]. Πάρις δὲ, ποιεῖ
10 r. μονάδας κατὰ τὸν ἐννεαδικὸν δ, Μενέλαος δὲ κατὰ τὸν

1. Hæc valde turbata sunt. Ex calculo legam: Οἷον τὸ Πάτροκλος ὄνομα τὸ ο δὶς ἔχει· ἅπαξ οὖν τὸ ο ψηφίζουσι. Κατὰ τοῦτο etc.

4. Cod. μονάδες.

6. Cod. ὅμ ἕξ. Σαρπηδὼν, quæ mutanda censui.

7. πυθμένα delendum videtur.

13. In marg. cod. Ἀπορία.

14. Cod. ἐννεατικόν.

ib. Fort. παραλείπεται.

19. Cod. ἕκτον pro Ἕκτωρ.

23. Addidi Πάρις, quod semel in codice.

24. Codex bis κατὰ τὸ ἐνν., pro τὸν ἐνν.

ἐννεαδικὸν, μονάδας $\bar{\theta}$. Νικῶσι δὲ αἱ ἐννέα τὰς τέσσαρας· εἴρηται γὰρ ὁπόταν ὁ μὲν περισσὸς ᾖ, ὁ δὲ ἄρτιος, ὁ μείζων νικᾷ· ὅταν δὲ ἀμφότεροι ἄρτιοι ἢ ἀμφότεροι περισσοὶ, ὁ ἐλάσσων. Πάλιν Ἄμυκος καὶ Πολυδεύκης. Ἄμυκος μὲν ποιεῖ μονάδας δύο κατὰ τὸν ἐννεαδικὸν, καὶ Πολυδεύκης δὲ ἑπτά· νικᾷ Πολυδεύκης. Αἴας καὶ Ὀδυσσεὺς ἐπάλαισαν ἐν τῷ ἐπιταφίῳ. Αἴας ποιεῖ κατὰ τὸν ἐννεαδικὸν μονάδας $\bar{\delta}$, Ὀδυσσεὺς ὀκτὼ κατὰ τὸν ἐννεαδικόν· ἆρα οὖν μήτι τὸ Ὀδυσσέως ἐπίθετον καὶ οὐ κύριον ἐστίν; ἐνίκησε γάρ. Κατὰ μὲν τοὺς ἀριθμοὺς νικᾷ Αἴας, ἡ δ' ἱστορία Ὀδυσσέα παραδίδωσιν. Ἀχιλλεὺς καὶ Ἕκτωρ. Ἀχιλλεὺς κατὰ τὸν ἐννεαδικὸν ποιεῖ τέσσαρας, Ἕκτωρ, μίαν· νικᾷ Ἀχιλλεύς. Πάλιν Ἀχιλλεὺς καὶ Ἀστεροπαῖος. Ἀχιλλεὺς ποιεῖ τέσσαρας, Ἀστεροπαῖος τρεῖς· νικᾷ Ἀχιλλεύς. Πάλιν Μενέλαος καὶ Εὔφορβος. Μενέλαος ἔχει μονάδας ἐννέα, Εὔφορβος, ὀκτώ· νικᾷ Μενέλαος. Τινὲς δὲ κατὰ τὸν ἑβδοματικὸν, μόνοις τοῖς φωνήεσι χρῶνται, ἄλλοι δὲ διαστέλλουσιν, ἰδίᾳ μὲν, τὰ φωνήεντα, ἰδίᾳ δὲ, τὰ ἡμίφωνα, ἰδίᾳ δὲ, τὰ ἄφωνα· καὶ τρεῖς τάξεις ποιήσαντες, λαμβάνουσι τοὺς πυθμένας· ἰδίᾳ μὲν τῶν φωνηέντων, ἰδίᾳ δὲ τῶν ἡμιφώνων, ἰδίᾳ δὲ τῶν ἀφώνων, καὶ συγκρίνουσι χωρὶς ἕκαστον. Ἄλλοι δὲ οὐδὲ τούτοις τοῖς νενομισμένοις ἀριθμοῖς χρῶνται, ἀλλ' ἄλλοις, οἷον, ὑποδείγματος ἕνεκα, τὸ $\bar{\pi}$ οὐ θέλουσι πυθμένα ἔχειν $\bar{\eta}$, ἀλλὰ $\bar{\epsilon}$, καὶ τὸ $\bar{\xi}$ στοιχεῖον πυθμένα μονάδας $\bar{\delta}$, καὶ παντοίως στρεφόμενοι, οὐδὲν ὑγιὲς εὑρίσκουσιν. Ὅταν μέντοι δεύτερόν τινες ἀγωνίζωνται ἀφ' ἑκατέρου τῶν ὀνομάτων, τὸ πρῶτον στοιχεῖον ἀφαιροῦσιν. Ὅταν δὲ

33. Cod. κατὰ τὸ ἐνν. Hic error in calculo.
36. Hic et infra leg. Ἀχιλεύς.
39. Error in calculo.
42. Cod. φωνήσεσι.
46. Cod. ἰδίᾳ τῶν ἀφ.
49. Leg. μονάδας $\bar{\eta}$.
52. Fort. ἐφ' ἑκατέρου.

τρίτον, τὰ δύο ἑκατέρωθεν, καὶ τὰ λοιπὰ ψηφίσαντες, συγκρίνουσιν.

15 Οἶμαι δὲ ἐκδήλως ἐκτεθεῖσθαι καὶ τὴν τῶν ἀριθμητι-
10 v. κῶν ἐπίνοιαν δι' ἀριθμῶν καὶ ὀνομάτων τὸ ζῆν διακρίνειν νομιζόντων. Τούτους δὲ κατανοῶ σχολὴν ἄγοντας καὶ ψήφῳ γεγυμνασμένους τεθεληκέναι διὰ τῆς παραδοθείσης αὐτοῖς ἐκ παίδων τέχνης θέλειν εὐδοκιμοῦντας μάντεις προαγορεύεσθαι· οἳ ἄνω κάτω τὰ στοιχεῖα καταμετροῦντες εἰς λῆρον ἐχώρησαν. Ἐπὰν γὰρ ἀποτύχωσι, τὸ ἄπορον προβαλόντες λέγουσι, μήτι τοῦτο ὄνομα γενικὸν οὐκ ἐγένετο ἀλλὰ ἐπίθετον; ὡς καὶ ἐπὶ τοῦ Ὀδυσσέως καὶ Αἴαντος ἐκπεσόντες ἐνεκάλουν. Τίς ἐκ ταύτης τῆς θαυμαστῆς φιλοσοφίας ἀφορμὰς λαβὼν καὶ θελήσας αἱρεσιάρχης καλεῖσθαι οὐ δοξασθήσεται; Ἀλλ' ἐπεὶ καὶ ἑτέρα τις τέχνη βαθυτέρα ἐστὶ παρὰ τοῖς πανσόφοις Ἑλλήνων μεριμνηταῖς, οἷς εὔχονται μαθητεύειν οἱ αἱρετικοί, διὰ τοῦ ταῖς αὐτῶν δόξαις χρῆσθαι πρὸς τὰ ὑπ' αὐτῶν ἐπιχειρούμενα, καθὼς ὑποδειχθήσεται μετ' οὐ πολύ· αὕτη δέ ἐστι μετωποσκοπικὴ μαντεία, μᾶλλον δὲ μανία, οὐδὲ ταύτην σιωπήσομεν. Εἰσὶν οἳ τοῖς ἄστροις ἀναφέρουσι τὰς μορφὰς τυποῦντες ἰδέας καὶ τὰς φύσεις τῶν ἀνθρώπων, ἐπὶ τὰς κατὰ ἀστέρων γενέσεις ἀναλογιζόμενοι, οὕτω λέγουσιν· Οἱ ἐν Κριῷ γεννώμενοι, τοῖοι ἔσονται· κεφαλῇ ἐπιμήκει, τριχὶ πυρρᾷ, ὀφρύσι

59. τῆς suprascripsit secunda manus.

60. θέλειν fortasse ex glossa ad τεθεληκέναι natum.

61. Legendum προσαγορεύεσθαι.

70. Fort. ὑφ' αὐτῶν.

72. Cod. μετωπισκοπικὴ ut et in marg. ubi legitur Δόξα μετωπισκοπικῶν.

74. Vocabula τυποῦντες ἰδέας suo loco mota videntur. Fort. leg. ἐπεὶ τὰς ἑκάστων (pro κατ' ἀστέρων) γενέσεις ἀναλογιζόμενοι, οὕτω λέγουσι τυποῦντες ἰδέας· οἱ ἐν. Vel potius mutandum καὶ τὰς in κατὰ τάς.

76. Prius erat λέγου; litteras rubricatas σι suprascripsit secunda manus.

ib. Cod. οἱ Κριῷ.

77. Cod. ἐπιμήκη—τριχῇ.

ib. Cod. 2494, 142 v., ὑπέρυθροι.

συνεζευγμέναις, μετώπῳ ὀξεῖ, ὀφθαλμοῖς γλαυκοῖς, ὑπὸ ἄλλοις, μήλοις καθειλκυσμένοις, ἐπίρρινοι, μυκτῆρσιν ἠνεῳγμένοις, χείλεσι λεπτοῖς, γενείῳ ὀξεῖ, στόματι ἐπιμήκει. Οὗτοι, φησὶ, μεθέξουσι φύσεως τοιαύτης· προνοητικοὶ, ποικίλοι, δῆλοι, φρόνιμοι, προσχαριώδεις, ἥσυχοι, περίεργοι, βουλαῖς ἀποκρύφοις, παντὶ πράγματι κατηρτισμένοι, πλεῖον φρονήσει ἢ ἰσχύϊ κρατοῦντες, τὸ παρὸν καταγελασταὶ, γεγραμματισμένοι,
11 r. πιστοὶ, φιλόνεικοι, ἐν μάχῃ ἐρεθισταὶ, ἐπιθυμηταὶ, παιδερασταὶ, νοοῦντες, ἀπεστραμμένοι ἀπὸ τῶν ἰδίων οἴκων, ἀπαρέσκοντες ἅπαντα, κατήγοροι, ἐν οἴνῳ μανιώδεις, ἐξουθενηταὶ, κατ' ἔτος τι ἀποβάλλοντες, εἰς φιλίαν εὔχρηστοι διὰ τὴν ἀγαθωσύνην· πλειστάκις ἐν ἀλλοτρίᾳ γῇ ἀποθνήσκουσιν.

16 Οἱ δὲ ἐν Ταύρῳ, τύπῳ ἔσονται τῷδε· κεφαλῇ στρογγύλῃ, τριχὶ παχείᾳ, μετώπῳ πλατεῖ, τετραγώνοις ὀφθαλμοῖς, καὶ ὀφρύσι μεγάλαις, μέλασιν ἐν τῷ λευκῷ, φλέβες λεπταὶ, αἱματώδεις, βλεφάροις μακροῖς, παχέσιν, ὠτίοις μεγάλοις, στόμασι στρογγύλοις, ῥώθωνι παχεῖ, μυκτῆρσι στρογγύλοις, χείλεσι παχέσι· τοῖς ὑπεράνω μέρεσιν ἰσχύουσιν, ὀρθὸς γεγεννημένος ἀπὸ σκελῶν· οἱ αὐτοὶ δὲ φύσεως ἀρέσκοντες, νοοῦντες,

78. Pro corrupto ὑπὸ ἄλλοις fort. leg. ὑποσάλοις, mobilibus.

79. Cod. ἐπίρινος.

80. Aliter in cod. 2494: μυκτῆρσι καθηλωμένοι.

ib. Cod. 2494: χείλη λεπτὰ ἔχοντες.

82. Leg. δειλοὶ ex præcedente προνοητικοί. Cod. 2494: δειλοὶ τῇ καρδίᾳ.

ib. προσχαριώδεις formatum ex πρὸς χάριν, in Gallico idiomate *pour vous plaire*. Infra p. 37: δίκαιοι, ἄγροικοι, προσχαρεῖς. Cod. 2494 χαροποιοί.

85. Constructio rarior, sed bonæ notæ; conf. p. 61, l. 85.

86. Cod. αἱρεθισταί.

88. Cod. ἀπαρέσκονται.

90. Cod. ἀγαθοσύνην.

93. Cod. 2494: πρόσωπα μεγάλα ἔχοντες.

ib. Cod. 2494: ὀφθαλμοὺς μέλανας.

95. Cod. βλέβες.

98. Cod. ὑπὲρ ἄνω.

ib. Fort. ἰσχύουσι, νωθροὶ γεγεννημένοι ἀπὸ σκελῶν. Manilius IV, 150: Corpora tarda Mole valent.

99. Cod. φύσεων.

εὐφυεῖς, εὐσεβεῖς, δίκαιοι, ἄγροικοι προσχαρεῖς, κοπιάται ἀπὸ ἐτῶν ιβ̄, ἐρεθισταὶ, νωθροί· τούτων ὁ στόμαχος μικρός ἐστι, πληροῦνται τάχα, πολλὰ βουλευόμενοι, φρόνιμοι, φειδωλοὶ εἰς ἑαυτοὺς, εἰς ἀλλήλους δαψιλεῖς, ἀγαθοποιοὶ, σώματι βραχεῖ· ἐν μέρει εἰσὶ λυπηροὶ, ἀμελεῖς εἰς φιλίαν, ὠφέλιμοι διὰ τὸν νοῦν, κακοπαθεῖς.

17 Ἐν Διδύμοις τύπος· προσώπῳ κοκκίνῳ, μεγέθει οὐ λίαν μεγάλῳ, μέρεσιν ἴσοις, ὀφθαλμοῖς μέλασιν ὡς ἠλειμμένοις, μήλοις καλῶ γεγεννημένων, στόματι παχεῖ, ὀφρύσι συντεθειμέναις· συγκρατοῦσι πάντα, ἔχουσιν ἔσχατα πλούσια, σκνιφοὶ, φειδωλοὶ ἐκ τοῦ ἰδίου, δαψιλεῖς πρὸς τὰ ἀφροδισιακὰ, ἐπιεικεῖς, μουσικοὶ, ψεῦσται· οἱ αὐτοὶ δὲ φύσεως δεδιδαγμένοι, νοοῦντες, περίεργοι, ἰδίᾳ ἀποφάσει ἐπιθυμητικοὶ, φειδωλοὶ ἐκ τοῦ ἰδίου· δαψιλεῖς, ἥσυχοι, φρόνιμοι, δόλιοι, πολλὰ βουλεύονται, ψηφισταὶ, κατήγοροι, καίριμοι, οὐκ εὐτυχεῖς, ἀπὸ γυ-
11 v. ναικῶν φιλοῦνται, ἔμποροι εἰς φιλίαν, οὐκ ἐπὶ πολὺ ὠφέλιμοι.

18 Ἐν Καρκίνῳ τύπος· μεγέθει οὐ μεγάλῳ, τριχὶ ὥσπερ κυνὶ, ἀχρώματι ὑποπύρρῳ, στόματι ὀλίγῳ, κεφαλῇ

2. Cod. *αἱρεθισταί.*

4. Pro *ἀλλήλους* leg. *ἄλλους.*

8. Cod. 2494. *εἰσὶ τὸ πρόσωπον ἐρυθροί·* vel *καλῶς γεγεννημένοις.*

10. Cod. *γεγεννημένων* (sic). Fort. *μήλοις καλοῖς ὡς ἐψιμμισμένων.*

11. Hic lacuna esse videtur. Fort. *συγκρατοῦσι πάντα* [*καὶ κατ*] *ἔχουσιν, ἔσχατα πλούσιοι.*

13. Cod. *δαψιλεῖς πραγμάτων ἀφροδισιακῶν, ἐπιεικεῖς, μουσικοὶ, πρὸς τὰ ἀφροδισιακὰ, ψεῦσται.* Scribendum *δαψιλεῖς πρὸς τὰ ἀφροδισιακὰ,* unde *πραγμάτων ἀφροδισιακῶν* (cf. p. 39. lin. 5.) ortum ob solitam structuram cum genitivo, deinde in margine correctum fuerat, correctionem autem librarius alieno loco inseruit, ubi delenda. In sequentibus eadem expositio repetitur vel librariorum culpa qui hæc turbarunt, vel ipsius Origenis *πολυγραφωτάτου* qui bis eadem dictavit.

14. Cod. male *περίεργα.*

15. Fort. add. [*ἀλλοτρίου*].

17. Quid sit *καίριμοι* ignoro. Fort. *ἀκαίριμοι.*

21. Leg. *χρώματι,* nisi potius canis species hic latet; nam *χρῶμα* potius dicendum erat, si ad crinem refertur; si ad faciem, *χρώματι* rectum est.

στρογγύλῃ, μετώπῳ ὀξεῖ, ὀφθαλμοῖς ὑπογλαύκοις, ἱκανῶς καλοῖς, μέλεσιν ὑποποικίλοις· οἱ αὐτοὶ φύσεως κακοὶ, δόλιοι, βουλαῖς ἀπηρτισμένοι, ἄπληστοι, φειδωλοὶ, ἀχάριστοι, ἀνελεύθεροι, ἀνωφελεῖς, ἀμνήμονες, οὔτε ἀποδιδόασιν ἀλλότριον, οὔτε ἀπαιτοῦσιν ἴδιον, εἰς φιλίαν ὠφέλιμοι.

19 Ἐν Λέοντι τύπος· κεφαλῇ στρογγύλῃ, τριχὶ ὑποπύρρῳ, μετώπῳ μεγάλῳ ῥυσῷ, ὠτίοις παχέσι, τραχηλιῶται, ἐπὶ μέρει ὑποφάλακροι, πυρροὶ, ὀφθαλμοῖς γλαυκοῖς, μεγάλαις γνάθοις, στόματι παχεῖ, τοῖς ἐπάνω μέρεσι παχεῖς, στήθει μεγάλῳ, τοῖς ὑποκάτω μέλεσι λεπτοῖς· οἱ αὐτοὶ φύσεως ἰδίας ἀποφάσεως ἀσυγκέραστοι, ἀρέσκοντες ἑαυτοῖς, ὀργίλοι, θυμώδεις, καταφρονηταὶ, αὐθάδεις, μηδὲν βουλευόμενοι, ἄναλοι, κακόσχολοι, συνήθεις, εἰς πράγματα ἀφροδισιακὰ ἐκκεχυμένοι, μοιχοὶ, ἀναιδεῖς, πίστει ἀναληθεῖς, αἰτηταὶ, τολμηροὶ, σκνιφοὶ, ἅρπαγες, ἀξιόλογοι, εἰς κοινωνίαν ὠφέλιμοι, εἰς ὠφέλειαν ἀνωφελεῖς.

20 Ἐν Παρθένῳ τύπος· ὁράσει καλῇ, ὀφθαλμοῖς οὐ μεγάλοις, ἐπαφροδίτοις, μέλασιν, ὀρθοῖς, συντεθειμένοις, ἱλαροῖς, κολυμβῶσιν. Εἰσὶ δὲ λεπτοὶ σώματι, ὑπὸ δὲ τοῦ ὄψει καλοῦ, τριχὶ καλῶς συντεθειμένῃ, μετώπῳ μεγάλῳ, ῥώθωνι προάλει. Οἱ αὐτοὶ φύσεως εὐμαθεῖς, μέτριοι, ἐννοηταὶ, παιγνιώδεις, λόγιοι, βραδυλαλοῦντες, πολλὰ βουλευόμενοι πρὸς χάριν, ὡς οἱ παρατηρηταὶ,

23. Cod. ὑπὸ ποικίλοις.
26. Cod. ἀποδίδωσιν.
28. Cod. κεφαλὴ στρογγύλη.
ib. Cod. ὑπόπυρρα. Cod. 2494. Γλαυκοὶ εἰσὶ καὶ πυρρότριχοι.
32. Cod. 2494. τὰ ἄνω μείζονα τῶν κάτω ἔχοντες.
35. Cod. βουλόμενοι.
ib. ἄναλοι suprascriptum litteris rubricatis, quod parum intelligo.
ib. Cod. κακέσχολοι.
38. Fort. ἀξιόψογοι, s. ἄξιοι ψόγου.
39. Leg. εἰς φιλίαν ἀνωφ.
42. In ὑπὸ adjectivum inesse puto, ut μεστοὶ vel εὔποροι δὲ τοῦ.
43. Cod. 2494. εἰσὶ τῇ ἡλικίᾳ σύμμετροι, καὶ τὸ πᾶν σῶμα τέλειον καὶ ὄρθριον (ὄρθιον ?) ἔχουσι.
ib. Cod. καλῶ.
46. Sext. p. 353. ὁ δὲ ἐν Παρθένῳ, τετανόθριξ, χαροπὸς, λευκόχρως, ἄπαις, αἰδήμων.

ἡδέως πάντα παρατηροῦντες, καὶ μαθηταὶ εὐφυεῖς, ἃ ἔμαθον κρατοῦσι, μέτριοι, ἐξουθενηταὶ, παιδεράσται, συνήθεις, ψυχῇ μεγάλῃ, καταφρονηταὶ, πραγμάτων ἀμελεῖς, διδαχῇ προσέχοντες, καλλίονες ἐν ἄλλοις ἢ τοῖς ἰδίοις, πρὸς φιλίαν ὠφέλιμοι.

21 Ἐν Ζυγῷ τύπος· τριχὶ λεπτῇ προάλει, ὑποπύρρῳ, 12 r. ὑπομήκει· μετώπῳ ὀξεῖ, ῥυσῷ, ὀφρύσι καλαῖς, συντεθειμέναις, ὀφθαλμοῖς καλοῖς, κόραις μέλασιν, ὠτίοις μακροῖς, λεπτοῖς, κεφαλῇ ἐπικεκλιμένῃ, στόματι μακρῷ. Οἱ αὐτοὶ φύσεως νοοῦντες, θεοὺς τιμῶντες, ἀλλήλοις καταλαλοῦντες, ἔμποροι, κοπιάται, πορισμὸν μὴ κατέχοντες, ψεῦσται, μὴ φιλοῦντες ἐν πράγμασι νοήσει, ἀληθεῖς, ἐλευθερόγλωσσοι, ἀγαθοποιοὶ, ἀμαθεῖς, ψεῦσται, συνήθεις, ἀμελεῖς· [τούτοις οὐκ ἐμποιεῖ ἀδίκως ποιῆσαι μέρος.] Εἰσὶ καταφρονηταὶ, καταγέλαστοι, ὀξεῖς, ἔνδοξοι, ἀκουσταὶ, καὶ τούτοις οὐδὲν προχωρεῖ, πρὸς φιλίαν ὠφέλιμοι.

22 Ἐν Σκορπίῳ τύπος· προσώπῳ παρθενικῷ, εὐμόρφῳ, ἀλυκῷ, τριχὶ ὑπομέλανι, ὀφθαλμοῖς εὐμόρφοις, μετώπῳ οὐ πλατεῖ, καὶ ῥώθωνι ὀξεῖ, ὠτίοις συντεθειμένοις μικροῖς, μετώπῳ ῥυσῷ, ὀφρύσι στεναῖς, μήλοις καθειλκυσμένοις· οἱ αὐτοὶ φύσεως δόλιοι, κατεστραμμένοι, ψεῦσται, ἴδια βουλεύματα μηδενὶ ἀνατιθέμενοι, διπλῇ ψυχῇ, κακοποιοὶ, ἐξουθενηταὶ, μοιχείας ἔνοχοι, εὐφυεῖς, εὐμαθεῖς, εἰς φιλίαν ἄχρηστοι.

50. Pro ἐν ἄλλοις leg. ἐν ἀλλοτρίοις.

54. Cod. 2494. εὐόφθαλμοι.

ib. Construendum: (ὀφθαλμοῖς) μέλασι (ταῖς) κόραις.

55. στόματι—νοοῦντες hæc in margine.

56. Leg. ἀλλήλους.

58. Pro νοήσει fort. πονῆσαι.

59. Cod. 2494. διαλαλοῦντες ψευδῆ πιστευθήσονται.

60. Quæ uncis inclusa sunt interpolata videntur. Οὐκ ἐμποιεῖ est LXX interpr. locutio.

61. Fort. καταγελασταί.

62. Fort. ὠτακουσταί.

65. Dicant alii quid sit ἀλυκῷ.

ib. Cod. 2494. ὑπομελαγχρίζοντες.

66. Cod. 2494. ὀξύρινες.

67. Cod. καθελκυσμένοις.

23 Ἐν Τοξότῃ τύπος· μήκει μεγάλῳ, μετώπῳ τετραγώνῳ, ὀφρύσι μεσταῖς, συγκρατουμέναις, τριχῶν τεθειμένη προάλει, ὑπόπυρροι. Οἱ αὐτοὶ φύσεως προσχαρεῖς, ὡς οἱ πεπαιδευμένοι, ἁπλοῖ, ἀγαθοποιοὶ, παιδεράσται, συνήθεις, κοπιάται, φιληταὶ, φιλούμενοι, ἐν οἴνῳ ἱλαροὶ, καθάριοι, ὀργίλοι, ἀμελεῖς, κακοὶ, εἰς φιλίαν ἄχρηστοι, καταφρονηταὶ, ψυχαῖς μεγάλαις, ὑβριστικοὶ, ὑπόδουλοι, εἰς κοινωνίαν εὔχρηστοι.

24 Ἐν Αἰγοκέρῳ τύπος· σώματι ὑποπύρρῳ, τριχὶ ὑποπολιᾷ προάλει, στόματι στρογγύλῳ, ὀφθαλμοῖς ὡς ἀετοῦ, ὀφρύσι συντεθειμέναις, μετώπῳ ἠνοιγμένῳ, ὑποφάλακροι, τὰ ὑποκάτω μέρη τοῦ σώματος ἰσχυρότεροι. Οἱ αὐτοὶ φύσεως φιλόσοφοι, καταφρονηταὶ, καὶ τὸ παρὸν καταγελασταὶ, ὀργίλοι, συγχωρηταὶ, καλοὶ, ἀγα-
12 v. θοποιοὶ, πράγματος μουσικοῦ φιληταὶ, ἐν οἴνῳ ὀργίλοι, γελοῖοι, συνήθεις, λάλοι, παιδεράσται, ἱλαροὶ, προσφιλεῖς, φιληταὶ, ἐρεθίζοντες, εἰς κοινωνίαν εὔχρηστοι.

25 Ἐν Ὑδροχόῳ τύπος· μεγέθει τετράγωνος, σώματι ὀλίγῳ, ὀφθαλμοῖς ὀξέσι, λεπτοῖς, γοργοῖς, ἐπιτάκτης, ἀχάριστος, ὀξὺς, εὐχερῶς εὑρίσκων, πρὸς φιλίαν εὔχρηστος καὶ πρὸς κοινωνίαν. Ἔτι ἐξ ὑγρῶν πραγμάτων πορίζουσι τοὺς πορισμοὺς καὶ ἀπολλύουσιν. Οἱ αὐτοὶ φύσεως σιγηροὶ, αἰσχυντηροὶ, συνήθεις, μοιχοὶ, σκνιφοὶ, πράγμασι ποιούμενοι, θορυβιασταὶ, καθάριοι, εὐφυεῖς, καλοὶ, ὀφρύσι μεγάλαις· [πολλάκις ἐν λεπτοῖς πράγμασι γεννῶνται, καὶ δίφρων πραγματείαν γυμνά-

72. Cod. 2494. εἰσὶ τετράγωνοι.
73. Leg. τριχὶ συντεθειμένῃ.
81. Cod. ὑπὸ πολιᾶ προάλεις.
84. Cod. ἰσχυρότερα.
93. Cod. πορισμοὺς ἀπόλλουσιν.
94. Fort. αἰσχυντηλοί.
95. Fort. πολιούμενοι.
ib. Fort. θορυβασταί.
96. Hæc valde turbata. Quæ uncis inclusa sunt interpolata videntur.

ἡδέως πάντα παρατηροῦντες, καὶ μαθηταὶ εὐφυεῖς, ἃ ἔμαθον κρατοῦσι, μέτριοι, ἐξουθενηταὶ, παιδεράσται, συνήθεις, ψυχῇ μεγάλῃ, καταφρονηταὶ, πραγμάτων ἀμελεῖς, διδαχῇ προσέχοντες, καλλίονες ἐν ἄλλοις ἢ τοῖς ἰδίοις, πρὸς φιλίαν ὠφέλιμοι.

21 Ἐν Ζυγῷ τύπος· τριχὶ λεπτῇ προάλει, ὑποπύρρῳ,
12 r. ὑπομήκει· μετώπῳ ὀξεῖ, ῥυσῷ, ὀφρύσι καλαῖς, συντεθειμέναις, ὀφθαλμοῖς καλοῖς, κόραις μέλασιν, ὠτίοις μακροῖς, λεπτοῖς, κεφαλῇ ἐπικεκλιμένῃ, στόματι μακρῷ. Οἱ αὐτοὶ φύσεως νοοῦντες, θεοὺς τιμῶντες, ἀλλήλοις καταλαλοῦντες, ἔμποροι, κοπιάται, πορισμὸν μὴ κατέχοντες, ψεῦσται, μὴ φιλοῦντες ἐν πράγμασι νοήσει, ἀληθεῖς, ἐλευθερόγλωσσοι, ἀγαθοποιοὶ, ἀμαθεῖς, ψεῦσται, συνήθεις, ἀμελεῖς· [τούτοις οὐκ ἐμποιεῖ ἀδικ[illegible] ποιῆσαι μέρος.] Εἰσὶ καταφρονηταὶ, καταγέλα[illegible] ὀξεῖς, ἔνδοξοι, ἀκουσταὶ, καὶ τούτοις οὐδὲν πρ[illegible] πρὸς φιλίαν ὠφέλιμοι.

22 Ἐν Σκορπίῳ τύπος· προσώπῳ παρθενικῷ, ἁλυκῷ, τριχὶ ὑπομέλανι, ὀφθαλμοῖς εὐμόρφοις, [illegible] οὐ πλατεῖ, καὶ ῥώθωνι ὀξεῖ, ὠτίοις συν[illegible] μικροῖς, μετώπῳ ῥυσῷ, ὀφρύσι στεναῖς [illegible] θειλκυσμένοις· οἱ αὐτοὶ φύσεως δόλιο[illegible] μένοι, ψεῦσται, ἴδια [illegible] διπλῇ ψυχῇ, κακ[illegible] εὐφυεῖς, εὐμαθεῖς [illegible]

50. Pro ἐν ἀλ[illegible] τρίοις.

54. Cod. [illegible] ib. Cons[illegible] μέλασι ([illegible]

55. [illegible] marg[illegible]

5[illegible]

5[illegible]

ψ[illegible]

23 ... ἴσας·
... οῖς γράμ-
... θύσας τὸ
... ήσας κατὰ
... πυνθανό-
... τα θεοφο-
... καὶ ἀπηχὲς
... πάντας τοὺς
24 ... ]τῃ ἐγγρα-
... θόντες παρα-
... παῖδα πολλὰ
... , τοῦτο δὲ ὡς
... δάς· ὁ δὲ ἀνέρ-
... λῃ ὕδατος πλήρης
... άρμακον, τὸ δῆθεν
... άνας, τὰ φωλεύοντα
... ς φῶς ἐλθεῖν ἀναγκά-
25 ... θόμενος ἔγραψε. Καὶ
... ψειε καὶ τῆς κηκῖδος ὑπο-
... ρὰ γένοιτ' ἂν τὰ κεκρυμμένα
... τι δὲ εἰ γράψειέ τις, εἶτα
... σσας, ἐπιπάσας τρίψει ἐπὶ τοῖς
... νοις γράμμασιν, ἔσται πρόδηλα.
... ρον καὶ τιθυμάλου ὀπὸς καὶ συκῆς
... Ἐπειδὴ ἔμαθε τὴν ἐρώτησιν οὕτως,

... δαίμονας. εἶτα
... θύσας—θυμίαμα,
... ἢ sæpissime male
... legend. καὶ τὸν φρῦν
... p. 64, l. 52) ἢ ὄντιν'
... ort. ἐπὶ [τὸν μυχὸν] βαλὼν,
... ν κοῖτον] ? propter κα-
... δα, infra lin. 61.

37. Cod. ἐνάρχεται.
38. Fort. φιάλῃ ὕδατος πλήρει ἐμβαλών.
42. Cod. male ἅπερ ὑποθέμενος.
43. Cod. δέ τισι.
46. Cod. χάρτιν.
ib. Leg. τρίψαι sive τρίψειεν.
47. Cod. τῶν pro τῷ.
48. Fort. οὖρον.

ζουσι. τινὶ ἂν καλῶς ποιήσωσιν, οὐδεὶς αὐτοῖς χάριτας ἀποδιδοῖ.]

26 Ἐν Ἰχθύσι τύπος· μήκει μέσῳ ὡς ἰχθύες, μετώπῳ ὀξεῖ, τριχὶ δασείᾳ· πολλάκις πολιοὶ ταχέως γίνονται. Οἱ αὐτοὶ φύσεως ψυχῇ μεγάλῃ, ἁπλοῖ, ὀργίλοι, φειδωλοὶ, λάλοι, πρώτῃ ἡλικίᾳ ἔσονται ὑπνωτικοὶ, δι' ἑαυτῶν πραγματείαν πρᾶξαι θέλουσιν, ἔνδοξοι, τολμηροὶ, ζηλωτικοὶ, κατήγοροι, τόπον ἀλλάσσοντες, φιληταὶ, ὀρχησταὶ, εἰς φιλίαν ὠφέλιμοι.

27 Ἐπεὶ καὶ τούτων τὴν θαυμαστὴν σοφίαν ἐξεθέμεθα, τήν τε πολυμέριμνον αὐτῶν δι' ἐπινοίας μαντικὴν οὐκ ἀπεκρύψαμεν, οὐδὲ ἐν οἷς σφαλλόμενοι ματαιάζουσι σιωπήσομαι. Ἄστρων γὰρ ὀνόμασιν εἴδη καὶ φύσεις ἀνθρώπων παραβαλόντες πῶς ἠσθένησαν! τὰ μὲν γὰρ ἄστρα ἴσμεν τοὺς ἀπ' ἀρχῆς νομίσαντας [ἰδεῖν καταινοεῖν] ὀνόμασι κεκληκέναι πρὸς τὸ εὔσημα καὶ εὐεπίγνωστα τυγχάνειν. Τίς γὰρ τούτων ὁμοιότης, πρὸς τὴν τῶν ζωδίων εἰκόνα, ἢ τίς ὁμοία φύσις πράξεώς τε καὶ ἐνεργείας, ἵνα τις τὸν ἐν Λέοντι φάσκῃ θυμικὸν, τὸν δὲ ἐν Παρθένῳ μέτριον, ἢ ἐν Καρκίνῳ κακὸν, τοὺς δὲ ἐν . . . . . . . . . . .

28 . . . . . . . . . . λαβὼν καὶ γράψαι τὸν πυνθανόμενον ἀξιοῖ, τί ἂν πυθέσθαι τῶν δαιμόνων θέλῃ, [αὐτὸν] μόνον. Εἶτα συμψήσας τὸν χάρτην τῷ παιδὶ δοὺς ἀποπέμπει καυθησόμενον ἵν' οἰχ . . . . . . . . ων ὁ καπνὸς τοῖς δαίμοσι τὰ γράμματα· τοῦ δὲ τὸ κελευσθὲν πράξαν-

8. Cod. in marg. Περὶ διαβολῆς τούτων.

12. Cod. παραβαλλόντες.

13. ἰδεῖν κατανοεῖν inclusi, ut manifestam glossam profectam ab iis qui ignorarent exquisitum usum verbi νομίζω.

14. Sext. p. 354. εὐσήμου χάριν διδασκαλίας.

20. Hæc in marg. fol. 13 r.

21. Quæ uncis inclusa sunt supplevi; quippe quæ prorsus evanida in codice.

23. Fort. ἵν' ὀχῇ [ἀναβαίν]ων.

τος, πρῶτα μὲν ἀφαιρεῖ τοῦ χάρτου μοίρας ἴσας· πλείονας δέ τινας σκήπτεται ἐγγράφειν ἑβραϊκοῖς γράμμασι δαίμονας εἰς τὰ μάγων Αἰγυπτίων, ἢ θύσας τὸ καλούμενον κῦφι θυμίαμα· ταῦτα μὲν ἐπαιωρήσας κατὰ τοῦ θυμιάματος φέρει· ὃ δ' ἔτυχε γράψας ὁ πυνθανόμενος θεὶς κατὰ τῶν ἀνθράκων ἔκαυ[εν], εἶτα θεοφορεῖσθαι δοκῶν, εἰσπεσὼν τῷ μυχῷ, μέγα καὶ ἀπηχὲς κέκραγε καὶ πᾶσιν ἀσύνετον· . . . [π]ολὺ δὲ πάντας τοὺς παρόντας . . . . . . . . . καὶ τὸν φρῦν [χάρ]τῃ ἐγγρα[φέντα] ἐπικαλοῦντες δαίμονα ἐπειδὰν εἰσελθόντες παραστῶσιν οἱ παρόντες ἐπὶ . . . . βαλὼν τὸν παῖδα πολλὰ ἐπιλέγει αὐτῷ, τοῦτο μὲν ἑλλάδι φωνῇ, τοῦτο δὲ ὡς
13 r. ἑβραΐδι, τὰς συνήθεις τοῖς μάγοις ἐπαοιδάς· ὁ δὲ ἀνέρχεται προσπευσόμενος. Καὶ ἔνδον φιάλη ὕδατος πλήρης ἐμβαλὼν χάλκανθον, καὶ τήξας τὸ φάρμακον, τὸ δῆθεν ἐξαλειφθὲν χαρτίον δι' αὐτοῦ καταρράνας, τὰ φωλεύοντα καὶ κεκρυμμένα γράμματα πάλιν εἰς φῶς ἐλθεῖν ἀναγκάζει, δι' ὧν μανθάνει ἅπερ ὁ πυθόμενος ἔγραψε. Καὶ διὰ τοῦ χαλκάνθου δέ τις εἰ γράψειε καὶ τῆς κηκῖδος ὑποθυμιάσειε λελειωμένης, φανερὰ γένοιτ' ἂν τὰ κεκρυμμένα γράμματα. Καὶ γάλακτι δὲ εἰ γράψειέ τις, εἶτα χάρτην καύσας καὶ λειώσας, ἐπιπάσας τρίψει ἐπὶ τοῖς τῷ γάλακτι γεγραμμένοις γράμμασιν, ἔσται πρόδηλα. Καὶ οὖρος δὲ καὶ γάρον καὶ τιθυμάλου ὀπὸς καὶ συκῆς ποιεῖ τὸ ὅμοιον. Ἐπειδὴ ἔμαθε τὴν ἐρώτησιν οὕτως,

27. Scribendum δαίμονας. εἶτα μάγων Αἰγυπτίων θύσας—θυμίαμα, ταῦτα μὲν, deleto ἢ sæpissime male illato post ν.

33. Fort. legend. καὶ τὸν φρῦν (vel φρῆν p. 64, l. 52) ἢ ὅντιν' ἔγρα[ψεν].

35. Fort. ἐπὶ [τὸν μυχὸν] βαλὼν, sive ἐπὶ [τὸν κοῖτον]? propter κατακλίνας τὸν παῖδα, infra lin. 61.

37. Cod. ἐνάρχεται.

38. Fort. φιάλῃ ὕδατος πλήρει ἐμβαλών.

42. Cod. male ἅπερ ὑποθέμενος.

43. Cod. δέ τισι.

46. Cod. χάρτιν.

ib. Leg. τρίψαι sive τρίψειεν.

47. Cod. τῶν pro τῷ.

48. Fort. οὖρον.

τίνα χρὴ τρόπον ἀποκρίνεσθαι προὐνόησε. Καὶ λοιπὸν εἴσω παρελθεῖν κελεύει τοὺς παρόντας, δάφνας ἔχοντας καὶ σείοντας, καὶ κεκραγότας, καὶ τὸν φρῦν ἐπικαλοῦντας δαίμονα, (καὶ γὰρ ἐπιγελᾷν τούτοις πρέπει) καὶ τοῦτο αἰτεῖν παρὰ δαιμόνων ἄξιον, ὃ δι' αὐτῶν παρέχειν οὐ θέλουσιν ἀπολέσαντες τὰς φρένας. Τὸ δὲ ἄκοσμον τῆς βοῆς καὶ ὁ ψόφος οἷς ἐν ἀπορρήτῳ πεποιηκέναι ἐνόμιζε παρακολουθεῖν ἐκώλυε. Τίνα δὲ ταῦτα ἐστὶ, καιρὸς λοιπὸν λέγειν. Πολὺ μὲν οὖν τυγχάνει τὸ σκότος. Λέγει γὰρ ἀδύνατον τὰ θεῖα ὁρᾷν θνητὴν φύσιν· ἱκανὸν γὰρ τὸ ὁμιλεῖν. Κατακλίνας δὲ τὸν παῖδα πρηνῆ, καὶ δύο τῶν γραμματιδίων ἐκείνων ἅπερ ἦν ἐγγεγραμμένα Ἑβραϊκοῖς δῆθεν γράμμασιν ὡς δαιμόνων ὀνόματα, πλευρᾷ παραθεὶς ἑκατέρᾳ, τὰ λοιπὰ τοῖς ὠσὶν ἐνθήσειν λέγει. Ἔστι δὲ τοῦτο αὐτὸ ἀναγκαῖον, ἵνα τι παραθῇ τοῖς ὠσὶ τοῦ παιδὸς ὄργανον, δι' οὗ πᾶν ἔστι σημᾶναι θέλοντα, ἠχοῦντα πρῶτον, ἵνα φοβηθῇ ὁ παῖς, καὶ δεύτερον τὶ βομβεῖ, ἔπειτα τὸ τρίτον λαλεῖ διὰ τοῦ ὀργάνου, ἃ λέγειν τὸν παῖδα βούλεται, καὶ τὴν ἔκβασιν τοῦ πράγματος ὡς
13 v. δοκεῖ, εἶτα τοὺς μὲν παρόντας ἡσυχάζειν ποιεῖ, τὸν δὲ, ἃ παρὰ τῶν δαιμόνων ἤκουσε, σημαίνειν ἀξιοῖ. Τὸ δὲ τοῖς ὠσὶ παρατεθὲν ὄργανον ἐστὶ φυσικὸν ὄργανον, τῶν μακροτραχήλων γεράνων ἢ πελαργῶν ἢ κύκνων ἀρτηρία· ὧν εἰ μηδέτερον πάρεστι, καὶ ἕτερα τέχνης ὄργανα·

52. Cod. φρῆν.
ib. Cod. ἐπικαλοῦντες.
54. Leg. ἀξιοῖ.
ib. Cod. αὑτῶν.
55. Cod. ἀπωλέσαντες.
56. Cod. ἐν ἀπορρήτως.
57. Sententia postulare videtur ἐνομίζετο.
62. Cod. ἐγκεγραμμένα.
63. Cod. ἑκάτερα.
66. Fort. σημᾶναι [ἃ] sive ὅσα θέλει· κατηχεῖ τε πρῶτον. quæ præcedunt ἔστι δὲ—θέλει pro parenthesi habenda sunt.
67. Cod. βομβῆ. Malim ἐπιβομβεῖ.
69. Leg. πράγματος δοκεύει. Nam ὡς natum ex πράγματος.
74. Leg. πάρεστιν, [ἔστι] καὶ sive potius παρῇ, ἔστιν, ut loquitur p. 65, lin. 83 et 86.

αὐλίσκοι γάρ τινες χάλκεοι τὸν ἀριθμὸν δέκα εἰς ἀλλήλους χωροῦντες, εἰς στενὸν ἀπολήγοντες, εὐάρμοστοι γίνονται, δι' ὧν πρὸς τὸ οὖς ὅσα θέλει φθέγγεται. Καὶ ταῦτα ὁ παῖς κατακούων ἐμφόβως ὡς ὑπὸ δαιμόνων λαλούμενα κελευσθεὶς ἀποφθέγγεται. Εἰ δὲ καὶ σκύτος τις ῥάβδῳ περιθεὶς ὑγρὸν, ξηράνας καὶ συναγαγὼν, προσαρμόσῃ καὶ ἀποσπάσας τὴν ῥάβδον, αὐλίσκου δίκην τὸ σκύτος ἐργάσηται, τὸ ὅμοιον ποιεῖ. Εἰ δέ τι τούτων μὴ παρῇ, βίβλον λαβὼν, ἐπισπασάμενος ἔνδοθεν ὅσον χρῄζει ἐπὶ μῆκος ἐκτείνας, τὰ ὅμοια ἐνεργεῖ. Εἰ δὲ προειδείη ὅτι πάρεστι πευσόμενος, ἑτοιμότερος πρὸς πάντα γίνεται. Εἰ δὲ καὶ τὴν πεῦσιν προμάθῃ, γράφει τῷ φαρμάκῳ, καὶ ὡς ἐμπαράσκευος ἱκανώτερος ὀνομάζεται, σαφῶς γράψας τὸ ἐρωτώμενον. Εἰ δὲ ἀγνοεῖ, ὑποπτάζεται ἀμφίβολον καὶ ποικίλον ἀποφαίνεται ἐπιδεχόμενον μετάφρασιν, ἵνα τὴν μὲν ἀρχὴν ἄσημος οὖσα ἡ χρησμοδοσία, εἰς πολλὰ ἔσται, ἐπὶ δὲ τῇ ἐκβάσει τῶν συμβησομένων πρὸς τὸ συμβὰν πρόρρησις νομίζηται. Εἶτα λεκάνην πληρώσας ὕδατος, ἀγράφου χάρτου καθίησι συνεμβαλὼν χάλκανθον. Οὕτως γὰρ ἀναπλεῖ τὴν ἀπόκρισιν φέρων ὁ γραφεὶς χάρτης. Τῷ μὲν δὴ παιδίῳ καὶ φαντασίαι φοβεραὶ γίνονται πολλάκις· καὶ γὰρ πληγὰς ἐμβάλλει εὐπόρως ἐκφοβῶν. Λίβανον γὰρ εἰς πῦρ ἐμβαλὼν, πάλιν ποιεῖ τοῦτον τὸν τρόπον. Βῶλον
14 r. τῶν λεγομένων ὀρυκτῶν ἁλῶν κηρῷ τυρρηνικῷ περισκεπάσας, καὶ αὐτὸν δὲ λιβάνου βῶλον διχοτομήσας, ἐντίθησι τοῦ ἅλατος χόνδρον, καὶ πάλιν συγκολλήσας

81. Addidi καί.

84. Pro εἰ δὲ cod. οὐδὲ, quæ sexcenties confusa.

87. Fort. ἱκανώτερος ὢν δοξάζεται γράψαι.

89. Leg. ὑποτοπάζει καὶ ἀμφίβ.

91. ἵνα ἔσται .... νομίζηται, constructio in Septuag. obvia; v. Tischendorf N. T. p. xxvi. ed. novæ.

93. Excidit aliquid. Sententia poscit ὡς ἄγραφον τὸν χάρτην.

98. Codex βώλων.

1. Fort. λιβανωτὸν pro λιβάνου βῶλον.

ἐπὶ ἀνθράκων καιομένων τιθεὶς ἐᾷ. Τοῦ δὲ συγκαέντος οἱ ἅλες ἀναπηδῶντες φαντασίαν ἀπεργάζονται ὥσπερ ξένου θεάματος γινομένου· αἱματώδη δὲ φλόγα ποιεῖ τὸ ἰνδικὸν μέλαν ἐντεθὲν τῷ λιβανωτῷ καθὼς προείπαμεν. Αἱματώδη δὲ ὑγρασίαν ποιεῖ κηρὸν ἀγχούσῃ ἀναμίξας καὶ ὡς ἔφην τῷ λιβανωτῷ κηρῷ ἐνθέμενος· ἄνθρακας δὲ κινεῖσθαι ποιεῖ, σχιστὴν ὑποθεὶς στυπτηρίαν, ἧς λυομένης καὶ δίκην πομφολύγων διοιδούσης, κινοῦνται οἱ ἄνθρακες.

29 Ὠὰ δὲ διάφορα ἐπιδεικνύντες τὸν τρόπον τόνδε· κορυφὴν τρυπήσας ἐξ ἑκατέρων καὶ τὸ λευκὸν ὑπεξαγαγὼν αὖθις βάψας ἔμβαλε τὸ μέν, τοῦ σινώπιδος, τὸ δέ, τῆς γραφικῆς μέλανος. Ἀπόφρασσε δὲ τὰς τρυμαλιὰς ξέσματι τῶν ὠῶν λείῳ μετ' ὀποῦ συκῆς ἐμπλάσας.

30 Τῶν δὲ ἀμνῶν ἀποτέμνεσθαι τὰς κεφαλὰς ἑαυτῶν ποιοῦσιν οὗτος ὁ τρόπος. Κρύβδην καυστικῷ φαρμάκῳ χρίσας τὸν φάρυγγα ἐᾷ παραδοθεὶς τὸ ξίφος οὐδὲ κνήθεσθαι θέλων προσπεσὼν τῇ μαχαίρᾳ, θλίβων σφάζεται, καὶ μικροῦ δεῖν ἀποτέμνει τὴν κεφαλήν. Ἔστι δὲ τὸ φάρμακον, βρυωνία καὶ ἀδάρκη καὶ σκίλλα, κατ' ἴσον μεμιγμένα. Ἵνα δὲ λάθῃ φέρων τὸ φάρμακον, φέρει πυξίδα διπλῆν κερατίνην, εἰς τὸ φανερὸν μέρος ἔχει λιβανωτοῦ, τὸ δὲ ἀφανὲς φάρμακον· ἀλλὰ καὶ τοῖς

6. Cod. λιβάνῳ τῷ καθώς.

8. Lege κηρὸν, melius etiam τῷ λιβανωτῷ [τὸν] κηρόν.

9. In margine: περὶ ἀνθράκων· περὶ σημείων μαγικῶν· περὶ ὠῶν.

12. Leg. videtur ἐπιδείκνυνται.

14. Transpone τῆς σινωπίδος, τὸ δὲ τοῦ γραφικοῦ μέλανος.

16. Cod. male λειῶν.

18. In marg. Περὶ σφαγῆς ἀμνῶν. Pro τῶν δὲ ἀμνῶν fort. leg. τοῖς δὲ ἀμνοὺς ἀποτέμνεσθαι, temere mutatum ab iis qui ποιοῦσιν pro tertia persona acciperant.

20. Fort. ὁ παρατιθεὶς τὸ ξίφος· ὁ δὲ κνήθεσθαι θέλων. Excidisse aliquid esse post ἐᾷ ostendit omissa mentio τοῦ ἀμνοῦ, ad quem ὁ δὲ refertur; quare παρατιθεὶς dubium; cetera certa.

ib. Cod. κνίθεσθαι.

22. Cod. ἀποτέμνειν.

25. Leg. ἧς τὸ pro εἰς τό. Deinde ἔχει [τι] λιβανωτοῦ vel λιβανωτόν (sine τι).

ὠσὶ τοῦ τεθνηξομένου ἐμβάλλει ὑδράργυρον· ἔστι δὲ θανατηφόρον φάρμακον.

31 Αἰγῶν δὲ κἂν ἐπιπάσῃ τις κηρωτῇ τὰς ἀκοὰς, φασὶ θνήσκειν μετ' ὀλίγον, ἀναπνεῖν κωλυομένας. Ὁδὸν γὰρ αὐταῖς ταύτην εἶναι λέγουσι τοῦ δι' ἀναπνοῆς ἑλκομένου
14 v. πνεύματος. Κριὸν δὲ θνήσκειν φασὶν, εἰ κατ' ἄντικρύς τις ἀνακλάσειεν ἡλίου. Οἶκον δὲ ποιοῦσι καίεσθαι τῶν θαλαττίων τινὸς ἰχῶρι χριόμενον τοῦ καλουμένου δακτύλου. Καὶ τὸ διὰ τῆς ἅλμης δὲ πάνυ χρήσιμον. Ἔστι δὲ ἀφρὸς θαλάσσης ἐν ὀστρακίνῳ στάμνῳ μετὰ γλυκέων ἡψημένος, ᾧ ζέσαντι λύχνον ἐὰν προσάγῃς καιόμενον, ἁρπάσαν τὸ πῦρ ἐξάπτεται, καὶ καταχυθὲν τῆς κεφαλῆς οὐ καίει τὸ σύνολον. Εἰ δὲ καὶ μαννῇ ἐπιπάσσεις ξέοντι, πολλῷ μᾶλλον ἐξάπτεται. Βέλτιον δὲ δρᾷ, εἰ καὶ θείου τινὸς λάβοι.

32 Βροντὴ γίνεται τρόποις πλείοσι· λίθοι τε γὰρ πλείονες καὶ μείζονες κατὰ κρημνῶν φερόμενοι διὰ σανίδων ἐπικαταπίπτουσι χαλκοῖς θλάσμασι, καὶ βροντῇ παραπλήσιον τελοῦσι ψόφον. Καὶ σανίδα δὲ λεπτὴν ᾗπερ οἱ γναφεῖς τὴν ἐσθῆτα πιέζουσι σχοινίῳ λεπτῷ περιειλήσαντες, εἶτα ῥοίζῳ τὴν σχοῖνον ἐπισπώμενοι, ῥομβοῦσι τὴν σανίδα, ἡ δὲ δονουμένη, ἦχον βροντῆς ἀπεργάζεται. Ταῦτα μὲν οὕτως παίζεται. Ἕτερα δὲ ἃ καὶ οἱ αὐτὰ οἱ

27. Cod. ὑδάργυρον.
29. In marg. θάνατος αἰγός.
32. Cod. in marg. θάνατος κριοῦ. Idem ex Alcmæone tradit Aristot. lib. I, 11 Hist. Anim., at Varro lib. 11 De re rust. cap. 3. et Plin. VIII, 5. ex Archelao. Cf. quoque Ælian. Hist. An. I, 53.
34. Cod. in marg. χρειόμενον.
37. Cod. ἡψημένος.
39. Quid μαννῇ sibi velit ignoro. Fortasse resinacea quædam substantia intelligitur, quum *manna* apud Plinium proprium vocabulum sit quo appellantur grana thuris et aliarum resinarum. Deinde haud dubie ζέοντι pro ξέοντι.
42. Cod. in marg. περὶ βροντῆς.
44. Scribendum sine dubio χαλκοῖς ἐλάσμασι.
45. Fort. ἀποτελοῦσι.
49. Fort. ἃ καὶ αὐτοὶ οἱ παιζόμενοι, "ii ipsi qui ludibrio habentur." Cui significationi nullum exemplum apposuit Dindorf. in Thes. p. 50 A.

παιζόμενοι ὡς μεγάλα νομίζουσιν ἐκθήσομαι. Πίσσης λέβητα μεστὸν ἐπ' ἀνθράκων καιομένων τιθέντες, ἐπὰν βράσῃ, καθιέντες τὰς χεῖρας οὐ καίονται· ἀλλὰ καὶ ἐπὶ ἀνθράκων πυρὸς περιπατοῦντες γυμνοῖς ποσὶν οὐ καίονται· ἀλλὰ καὶ πυραμίδα λιθίνην θεὶς ἐπὶ πυρὰν, καίεσθαι ποιεῖ· ἔκ τε τοῦ στόματος πολὺν καπνὸν προφέρει καὶ πυρώδη. Εἶτα καὶ σινδόνα ἐπιθεὶς ἐπὶ λεκάνῃ ὕδατος, πολλοὺς ἐπιβαλὼν ἄνθρακας καιομένους ἄκαυστον φυλάττει τὴν σινδόνα. Σκότος δὲ ἐν οἴκῳ ποιήσας, ἐπεισάγειν φάσκει θεοὺς ἢ δαίμονας καὶ εἰπεῖν ἀπαίτης Ἀσκληπιὸν δεικνύ-
15 r. ναι, ἐπικαλεῖται οὕτως λέγων·

Ζῆνα πάλαι φθίμενον πάλιν ἄμβροτον Ἀπόλλωνος
κικλήσκω Θήβαισι μολεῖν ἐπίκουρον ἐμαῖσιν·
ὅς ποτε καὶ νεκύων ἀμενηνῶν μυρία φῦλα,
Ταρτάρου εὐρώεντος ἀεικαυστοῖσι μελάθροις
δύσνοστον ἀπλόεντα ῥόον, κελαδόν τε δίαυλον
πᾶσιν ἴσον τελέσαντ' ἄνδρεσσι [κατα]θνήτοισι,
λίμνῃ πὰρ γοόωντα καὶ ἄλλυτα κωκύοντα
αὐτὸς ἀμειδήτοιο ἐρύσσαο Φερσεφονείης·
εἴτ' ἐφέπεις Θρῄκης ἱερῆς ἕδος, εἴτ' ἐρατεινὴν
Πέργαμον, εἴτ' ἐπὶ τοῖσιν Ἰαονίαν Ἐπίδαυρον,
δεῦρο, μάκαρ, καλέει σε μάγων ὧδε . . . . . . . .

33 Ἐπὰν δὲ χλευάζων λήξῃ, φαίνεται κατὰ τοῦ ἐδάφους

52. Ἀλλὰ καὶ—οὐ καίονται in marg. literis rubricatis.
54. Pro ἀλλὰ καὶ leg. ἄλλος καί.
ib. Cod. πυρράν.
56. πολλοὺς bis in codice.
59. Leg. καὶ εἴ τις ἀπαιτῇ, vel καὶ εἰπεῖν ἀπαίτησιν.
61. Ζῆνα intelligi non potest: erat haud dubie Υἷα.
ib. Cod. μ' ἄβροτον.
ib. Cod. Ἀπόλλωνος supra rubr.
62. Cod. κικλήσκοιο βαισιμολεῖν.
ib. Cod. ἐμαίσινος.
63. Cod. φύλλα.
64. Cod. εὐρόεντος.
65. Fort. διελῶντα ῥόον κελάδοντα, solitum epitheton fluviorum ap. Hom.
66. Cod. ἅπασιν ἶσον τελέσ' ἀνδράσι θνητοῖσι.
67. Cod. παργοόωντα καὶ ἄλλιτα.
68. Cod. ἀμειδὴ τίς ἐρύσαο, φερσεφονίης ἴτ'.
69. Cod. ἕδος, εἰς ἐρατ.
70. Cod. ἴτ' ἐπί.
ib. Cod. Ἀονίαν. Cf. Pausan. Corinth. 26.
71. Fort. ὅδε.
72. Cod. ἐπ' ἄν.

πυρώδης Ἀσκληπιός. Εἶτα θεὶς ἐν μέσῳ λεκάνην πλήρη ὕδατος, πάντας καλεῖ τοὺς θεοὺς, καὶ παραγίνονται. Ἐγκύψας γὰρ ὁ παρὼν ἐν τῇ λεκάνῃ ὄψεται πάντας καὶ τὴν Ἄρτεμιν ἅμα σκύλακας ὑλακτοῦντας ἄγουσαν. Οὐκ ὀκνήσομεν δὲ καὶ τούτων τὴν ἱστορίαν ὡς ἐπιχειροῦσι διηγήσασθαι. Τῷ γὰρ λέβητι τῆς πίσσης ὡς ἐμβράσοντι καθίησι τὰς χεῖρας, ὄξος καὶ νίτρον ἐμβαλὼν καὶ πίσσαν ὑγρὰν, ὑποκαίει τὸν λέβητα· τὸ δὲ ὄξος ἅμα τῷ νίτρῳ μιγὲν ἀντιλαμβανόμενον θέρμης μικρᾶς κινεῖ τὴν πίσσαν ὡς μέχρι τῆς ἐπιφανείας κινεῖν πομφόλυγας καὶ φαντασίαν μόνην παρέχειν ζέοντος. Φθάνει δὲ καὶ τὰς χεῖρας πολλάκις ἅλμῃ νιψάμενος, διὸ οὐ πάνυ τι καίει, κἂν ἀληθῶς ζέῃ· εἰ δὲ μυρσίνῃ καὶ νίτρῳ καὶ σμύρνῃ μετ' ὄξους μίξας, ἐπιχρίσας ἀπονίψει τὰς χεῖρας ἅλμῃ πλειστάκις, οὐ καίεται· τοὺς δὲ πόδας οὐ καίεται ἰχθυοκόλλᾳ καὶ σαλαμάνδρᾳ χρησάμενος. Τὸ δὲ τὴν πυραμίδα καίεσθαι δᾳδίου δίκην, οὖσαν λίθον, αὕτη αἰτία. Γῆ μέν ἐστι κρητικὴ τὸ μὲν σχῆμα πε-
15 v. πλασμένη πυραμὶς, τὸ δὲ χρῶμα ὡς λίθος γαλακτικὸς, κατασκευάζεται δὲ τοῦτον τὸν τρόπον· βρέξας ἐλαίῳ πλείονι, τὴν βῶλον θεὶς ἐπ' ἀνθράκων ὀπτήσας, καὶ πάλιν βρέξας καὶ καύσας δεύτερον καὶ τρίτον καὶ πολλάκις, καίεσθαι δύνασθαι παρασκευάζει, κἂν ὕδατι βραχῇ· ἔχει γὰρ ἐν ἑαυτῷ πολὺ τὸ ἔλαιον· ἀνάπτεται δὲ δι' αὐτοῦ τοῦ μάγου σπεύδοντος ἢ πυρὰ τίτανον ὑποκαιο-

73. Cod. πυρρώδης.
74. Cod. πλήρην.
ib. In marg. Περὶ Ἀσκληπιοῦ καὶ Ἀρτέμιδος.
77. Cod. ἄγουσιν.
78. Leg. πίσσης, ᾧ ὡς ἐμβράσσοντι.
83. Cod. πομφόλυγγας.
ib. Cod. ξέοντος.
85. Cod. μυρσήνη.
88. Cod. ἰχθυοκόλας.
91. ὡς λίθος bis in cod. fin. 15 r. et init. 15 v.
ib. Fort. γαλακτίτης.
93. Leg. [καὶ] ὀπτήσας.
ib. Cod. πυρρά.
97. Fort. μάγου συσκευάζοντος.

μένην ἔχουσα ἀντὶ σποδιᾶς, καὶ λιβανωτὸν λεπτὸν καὶ πολὺν καὶ δᾳδίων κεχρισμένων αὐτορρύτων κηκίδων τε κενῶν ἔνδον πῦρ ἐχουσῶν· καπνὸν δὲ ἐκ τοῦ στόματος ἀνίει ἐγχρονίσας καὶ πῦρ κηκῖδι ἐμβαλὼν καὶ τῷ στυπείῳ συμπεριβαλὼν καὶ φυσῶν ἐν τῷ στόματι. Τόγε μὴν περικείμενον τῇ λεκάνῃ σινδόνιον, ἐφ' ὃ τίθησι τοὺς ἄνθρακας, διὰ τὴν ὑποκειμένην ἅλμην οὐκ ἐκαίετο, καὶ αὐτὸ δὲ ἦν ἅλμῃ προβεβρεγμένον, εἶτα κεχρισμένον ᾠοῦ τὸ λευκὸν μεθ' ὑγρᾶς στυπτηρίας. Εἰ δὲ καὶ χυλὸν ἀειζώου τις τούτοις μετ' ὄξους ἐπιμίξειε καὶ πρὸ πολλοῦ σφόδρα καταχρίσαι χρόνου, βαφὲν τῷ φαρμάκῳ μένει παντελῶς ἄκαυστον.

34 Ἐπεὶ μὲν οὖν περὶ τῶν παρ' αὐτοῖς ἀπορρήτων μαθημάτων συντόμως τὰς δυνάμεις ἐξεθέμεθα, εὔκολόν τε τὴν μετ' αὐτοῖς κατάγνωσιν ἐδείξαμεν, οὐδὲ τοῦτο σιωπᾶν βουλόμεθα ὂν ἀναγκαῖον ὡς σφραγῖδας λύοντες, ἐσφραγισμένα τὰ γράμματα αὐταῖς ταῖς σφραγῖσιν ἀποδιδόασι· πίσσαν καὶ ῥητίνην καὶ θεῖον, ἔτι δὲ ἄσφαλτον ἶσα τήξαντες κολλύριον σχήματι πλάσαντες, φυ-
16 r. λάττουσι· καιρὸς δὲ ὅταν ᾖ λύειν γραμματίδιον, τὴν γλῶσσαν ἐλαίῳ δεύσαντες, εἶτα ἐξ αὐτῆς τὴν σφραγῖδα χρίσαντες, πυρὶ συμμέτρῳ τὸ φάρμακον θερμάναντες ἐπιφέρουσι τῇ σφραγῖδι καὶ μέχρι ἂν παγῇ παντελῶς ἐῶσι, καὶ τούτῳ δίκην σημάντρου χρῶνται. Φασὶ δὲ καὶ αὐτὸν κηρὸν μετὰ πευκίνης ῥητίνης τὸ παραπλήσιον

98. Fort. lacuna post καὶ πολὺν, nisi legend. λεπτὸν καὶ πολὺν, καὶ δᾳδίων κεχρισμένων φορυτὸν κηκίδων τε.

99. Cod. αὐτορύτων κικίδων.

2. Cod. κικίδι.

ib. Articul. τῷ ante στυπείῳ probabiliorem reddit lacunam de qua supra.

8. Cod. ἀεὶ ζώου.

11. Codex παρὰ τῶν.

13. Fort. τὴν μετ' αἰτίας κατάγνωσιν.

14. Cod. in marg. περὶ τοῦ διαλύειν σφραγίδα.

16. Codex ἔστι δέ.

17. Cod. κολλήριον.

22. Cod. τοῦτο.

ποιεῖν, καὶ μαστίχης μέρη δύο μετὰ ξηρᾶς ἀσφάλτου μέρους. Καὶ θεῖον δὲ μόνον ἐπιεικῶς ποιεῖ, καὶ γύψου δὲ ἄνθος μεθ' ὕδατος διειμένον καὶ κόμμεως, ὡς τοῦτο μὲν δὴ καὶ πρὸς τὸ σφραγίσαι μόλιβδον τετηκότα ποιεῖ κάλλιστα. Καὶ διὰ τοῦ τυρρηνικοῦ δὲ κηροῦ καὶ ῥητίνης φρυκτῆς καὶ πίσσης καὶ ἀσφάλτου [καὶ] μαστίχης καὶ λείας μαρμάρου, ἴσων ἁπάντων ἑψομένων, τῶν μὲν ἄλλων ὧν ἔφην ἐστὶ μὲν βέλτιον, τὸ δὲ διὰ τῆς γύψου οὐκ ἔλαττον. Οὕτως μὲν οὖν καὶ τὰς σφραγῖδας λύειν ἐπιχειροῦσι, τὰ ἔνδον γεγραμμένα μανθάνειν πειρώμενοι. Ταύτας δὲ ὤκνουν τὰς μηχανὰς κατατάξαι ἐν τῇ βίβλῳ, ἐνορῶν μή ποτέ τις κακοῦργος ἀφορμὰς λαβὼν ἐπιχειρήσει· νῦν δὲ ἡ πολλῶν δυναμένων σωθῆναι νέων φροντὶς ἔπεισε διδάξαι καὶ προειπεῖν φυλακῆς ἕνεκεν· ὡς γὰρ χρήσεταί τις αὐταῖς πρὸς κακοῦ μάθησιν, οὕτω τις ἕτερος μαθὼν φυλάξεται. Καὶ αὐτοὶ δὲ οἱ τοῦ βίου λυμεῶνες μάγοι αἰσχυνθήσονται τῇ τέχνῃ χρώμενοι. Μαθόντες δὲ ἀφ' ἡμῶν ταῦτα προ . . . . . . . ἐμποδισθήσονται τυχὸν τῆς ἀπονοίας. Ἵνα δὲ μὴ λύηται αὕτη ἡ σφραγὶς, στέαρ ὕειον καὶ τρίχας τῷ κηρῷ τις μίξας σφραγιζέτω.

35 Ἀλλ' οὐδὲ τὴν λεκανομαντείαν αὐτῶν οὖσαν πανούργημα σιωπήσομαι. Οἴκημα γάρ τι κεκλεισμένον σκευάσαντες καὶ κυανῷ τὸν ὄροφον χρίσαντες, εἰς δὲ τὸ
16 v. παρὸν ἐπάγονται σκεύη τινὰ κυάνεα καὶ ἀνατείνουσι, μέση δὲ λεκάνη κατὰ τῆς γῆς ὕδατος μεστὴ τίθεται, ἣ

26. Codex διειμένου.
29. Cod. φρικτῆς.
ib. Addidi καί.
34. Cod. ταύτας δ' οὐκ ἂν τὰς μηχανὰς κατατάξαιεν τῇ βίβλῳ.
41. Supple -δοθέντα, -ενεχθέντα, -δηλωθέντα vel simile quid.
42. In marg. Περὶ τοῦ ἀδιάλυτον τὴν σφραγῖδα μένειν.
45. Cod. in marg. Περὶ λεκανομαντείας.
47. Cod. κυανωτὸν ὄροφον.
49. Cod. ὕδατος μέση.

τὴν ἀντανάκλασιν τῆς κυανοῦ προσπεσοῦσαν δίκην οὐρανοῦ ἐνδείκνυσιν. Ἔχει δὲ καὶ στόμιόν τι τὸ ἔδαφος λεληθὸς ᾧ ἐπικειμένη ἡ λεκάνη τὸν μὲν πυθμένα ἔχει ὑάλου, αὐτὴ δὲ ἐστὶ πετρίνη, ὑπέστη δὲ οἶκος λεληθὼς εἰς ὃν συμπορευόμενοι οἱ συμπαῖκται σχήματα ὧν ἂν βούληται δεικνύναι ὁ μάγος θεῶν καὶ δαιμόνων ἐνδυσάμενοι ἐμφαίνουσιν, οὓς καθορῶν ὁ πλανώμενος τὸ πανούργημα καταπέπληγε τῶν μάγων, καὶ λοιπὸν πάντα πιστεύει τὰ ὑπ᾽ αὐτοῦ ῥηθησόμενα. Δαίμονα δὲ ποιεῖ καίεσθαι, ἐν τοίχῳ διατυπώσας σχῆμα ὃ βούλεται, εἶτα λαθραίως ἐπιχρίει φαρμάκῳ μεμιγμένῳ τῷδε τῷ τρόπῳ· λακωνικῷ καὶ ἀσφάλτῳ ζακυνθίᾳ, εἶτα ὡς ἀποφοιβάζων τὴν λαμπάδα προσφέρει τῷ τοίχῳ. Τὸ δὲ φάρμακον ἐκλάμψαν, καίεται. Ἑκάτην δὲ δοκεῖν ἔμπυρον διατρέχειν ἐν ἀέρι οὕτω τεχνάζεται· συμπαίκτην τινὰ κρύψας ἐν τόπῳ ᾧ βούλεται, παραλαβὼν τοὺς πλανωμένους πείθει λέγων δείξειν διϊππεύουσαν δι᾽ ἀέρος ἔμπυρον τὴν δαίμονα, οἷς παραγγέλλει τὰς ὄψεις ταχὺ φυλάσσεσθαι ἡνίκα ἴδωσιν ἐν ἀέρι τὴν φλόγα, καλυψαμένους τε ἐπὶ πρόσωπον πίπτειν, ἕως αὐτὸς καλῇ, καὶ ταῦτα διδάξας ἐν ἀσελήνῳ νυκτὶ δι᾽ ἐπῶν οὕτως φθέγγεται·

Νερτερίη, χθονίη τε καὶ οὐρανίη μολὲ Βομβώ,
Εἰνοδίη, τριοδῖτι, φαεσφόρε, νυκτεροφοίτη·
ἐχθρὴ μὲν φωτός, νυκτὸς δὲ φίλη καὶ ἑταίρη,
17 r. χαίρουσα σκυλάκων ὑλακῇ τε καὶ αἵματι φοινῷ

53. Cod. αὔτη δὲ ἐστὶ πρηνής.
58. In marg. Περὶ φαντασίας δαιμόνων.
61. Ante λακωνικῷ aliquot vocabula omissa.
63. Cod. in marg. Περὶ Ἑκάτης.
66. Cod. διϊσπεύουσαν.
69. Cod. καλεῖ.
72. Videtur legendum Βαυβώ.
73. Cod. τριοδείη.
74. In cod. erat ἐχρή, adjecta littera θ rubra.
ib. Erat ἑτέρη· litt. αι rubr.

ἐν νέκυσι στείχουσα κατ' ἠρία τεθνηώτων,
αἵματος ἱμείρουσα, φόβον θνητοῖσι φέρουσα,
γοργὼ, καὶ μορμὼ, καὶ μνήμη καὶ πολύμορφε,
ἔλθοις εὐάντητος ἐφ' ἡμετέρῃσι θυηλαῖς.

36 Ταῦτ' εἰπόντος αὐτοῦ, πῦρ δι' ἀέρος βλέπεται φερόμενον, οἱ δὲ φρίξαντες τὸ παράδοξον τῆς θέας, καλύψαντες τοὺς ὀφθαλμοὺς, ἐπὶ γῆς ῥιπτοῦνται ἄναυδοι. Τὸ δὲ τῆς τέχνης μέγεθος τοῦτον ἔχει τὸν τρόπον· ὁ συμπαίκτης ὃν ἔφην κεκρυμμένον, ἡνίκα ἀκούσῃ παυσαμένης τῆς ἐπαοιδῆς, ἔχων ἰκτῖν' ἢ γῦπα περιειλημένον στυπείῳ ἀνάψας ἀπολύει. Ὁ δὲ, ὑπὸ τῆς φλογὸς ταρασσόμενος εἰς ὕψος ἐπαίρεται, καὶ ὀξυτέραν τὴν πτῆσιν ποιεῖται· ὃ ἰδόντες οἱ μάταιοι ὥς τι θεῖον ἑωρακότες κρύπτονται. Τὸ δὲ πτηνὸν περιδινούμενον ὑπὸ τοῦ πυρὸς οὗ ἂν φθάσῃ καταφέρεται· καὶ ποτὲ μὲν, οἰκίας καταφλέγει, ποτὲ δὲ, καὶ αὐλάς. Τοιαύτη ἡ μάγων πρόγνωσις.

37 Σελήνην δὲ ἐν ὀρόφῳ φαίνεσθαι δεικνύναι καὶ ἀστέρας, τοῦτον τὸν τρόπον· ἐν μέσῳ τῆς ὀροφῆς μέρει προσαρμόσας κάτοπτρον, τιθεὶς λεκάνην ὕδατος μεστὴν ἐν τῷ μέσῳ τῆς γῆς κτίσον, λύχνον δὲ μέσον φαίνοντα ἀμαυρὸν μετεωρότερον τῆς λεκάνης θεὶς, οὕτως ἐκ τῆς ἀντανακλάσεως ἀποτελεῖ σελήνην φαίνεσθαι διὰ τοῦ κατόπτρου· ἀλλὰ καὶ τύμπανον πολλάκις ὑφ' ὑψηλοῦ πόρρωθεν ὄρθιον περιβαλὼν ἐσθῆτι τινί, σκεπόμενον ὑπὸ τοῦ συμπαίκτου ἵνα μὴ πρὸ καιροῦ φανῇ, κατόπιν
17 v. θεὶς λύχνον, ἐπὰν τὸ σύνθημα παράσχῃ τῷ συμπαίκτῃ,

76. Cod. ἀνέλκυσι (sup. υ) et sup. ἐννέκυσι στοίχουσα.
78. Leg. Μήνη pro μνήμη.
85. Cod. ἰκτὶν ἤ.
93. Cod. in marg. Περὶ τῆς ἐν οἴκῳ φαντασίας.
ib. Fort. δεικνύασι.
96. Fort. κατ' ἴσον "æqualiter" (atque speculum in medio).
ib. φαίνων cod. male. Vid. infra p. 74, l. 16.
99. Hæc non capio. Fort. πολλάκις [θεὶς] ἐφ' ὑψηλοῦ τορνωθὲν ὄρθιον...vel potius πόρρω τεθὲν ὄρθιον.

τοσοῦτον ἀφαιρεῖ τοῦ σκεπάσματος, ὅσον ἂν συνεργῆσαι τὸ προσμίμημα κατὰ τὸν καιρὸν τῆς σελήνης τὸ σχῆμα, χρίει δὲ τὰ διαφαίνοντα τοῦ τυμπάνου μέρη κινναβάρει καὶ κόμμι, καὶ τῆς ἐτυμολογικῆς δὲ λαγύνου περικόψας τὸν τράχηλον καὶ τὸν πυθμένα, ἐνθεὶς λύχνον, καὶ περιθείς τι τῶν ἐπιτηδείων πρὸς τὸ διαυγεῖν σχῆμα, τὰς ἐφ᾽ ὑψηλοῦ κρύβδην ὑπό τινος σκέπην τίς τῶν συμπαικτῶν, μετὰ τὸ λαβεῖν τὸ σύνθημα ἐκ μετεώρου καταχεῖ τὰ μηχανήματα ὥστε δοκεῖν ἐξ οὐρανοῦ κατιέναι τὴν σελήνην. Τὸ δὲ ὅμοιον καὶ διὰ χύτρας γίνεται ἐν ὑλώδεσι τόποις. Διὰ δὲ τῆς χύτρας καὶ τὰ κατ᾽ οἶκον παίζεται. Βωμοῦ γὰρ κειμένου, κατόπιν κεῖται ἡ χύτρα ἔχουσα λύχνον φαίνοντα. Ὄντων δὲ πλειόνων λύχνων, οὐδὲν τοιοῦτον δείκνυται. Ἐπὰν οὖν ἐπικαλέσηται ὁ ἐπαοιδὸς τὴν σελήνην, πάντας κελεύει τοὺς λύχνους σβέννυσθαι, ἕνα δὲ ἀμαυρὸν καταλιπεῖν, καὶ τότε ἀντανακλᾷ τὸ φῶς τὸ ἐκ τῆς χύτρας εἰς τὸν ὄροφον καὶ παρέχει φαντασίαν σελήνης, καὶ τοῖς παροῦσιν ἐπισκεπασθέντος τοῦ στόματος τῆς χύτρας πρὸς ὃ ἀπαιτεῖν ὁ καιρὸς δοκεῖ ὡς μηνοειδῆ δείκνυσθαι ἐν τῷ ὀρόφῳ τὴν φαντασίαν.

38 Ἀστέρας δὲ εἶναι δοκεῖν ποιοῦσι θρισσῶν ἱππούρου φολίδες ὕδατι μετὰ κόμμεως δεδευμέναι καὶ προσπεπλασμέναι τῷ ὀρόφῳ κατὰ διαλείμματα.

39 Σεισμοῦ δὲ φαντασίαν ποιοῦσιν ὡς δοκεῖν πάντα

4. Fort. συνεργῇ αὐτῷ πρὸς μίμημα [οἷον] κατά.

6. Cod. διαφαίροντα. Pro quo διαφαίνοντα malui quam διαφέροντα.

7. Cod. κιναβαρ καὶ κόμι. Fortasse κόμμει scribendum, quia κόμμεως supra p. 71, l. 26 et infra l. 26.

ib. Cod. λαγήνου. Hoc ἐτυμολογ. quid sibi velit ignoro. Fort. τῆς ἔτι ὁλοκλήρου λαγήνου.

9. Fort. leg. σχήματα ἃ ἐφ᾽ ὑψ.—σκέπηται vel σκέπεται.

12. Cod. ῷ ἐδόκειν.

21. Cod. παρέχειν. Fort del. καί.

ib. καὶ delendum videtur.

25. Leg. θρισσῶν ἢ ἱππούρου.

26. Cod. κόμεως.

28. Cod. in marg. σεισμοῦ φαντασία.

κινεῖσθαι κόπρον ἰχνεύμονος ἅμα τῇ σιδηραγωγούσῃ λίθῳ ἐπ' ἀνθράκων πυρουμένην. . . . . . . .

40 Ἧπαρ δὲ δοκεῖν ἐγγεγραμμένον δεικνύουσι· τῇ μὲν ἀριστερᾷ χειρὶ ἐπιγράφει ὃ βούλεται πρὸς τὴν πύστιν
18 r. ἁρμοσάμενος, τὰ δὲ γράμματα κηκῖδι καὶ ὄξει δριμεῖ γράφεται. Ἔπειτα ἀνελόμενος τὸ ἧπαρ ἐπαναπαύσας τῇ ἀριστερᾷ ἐγχρονίζει, τὸ δὲ σπᾷ τὸν τύπον καὶ ὡς γεγράφθαι νομίζεται.

41 Κρανίον δὲ λαλοῦν ἐπὶ γῆς θέντες ἐπιτελοῦσι τούτῳ τῷ τρόπῳ· αὐτὸ μὲν πεποίηται ἐπιπλόου βοείου, πεπλασμένον [δὲ] κηρῷ τυρρηνικῷ καὶ γύψῳ ἀναπεποιημένη περιτεθέντος τοῦ ὑμένος ἔμφασιν κρανίου ἐνδείκνυται ὃ, φασὶ, λαλεῖν δοκεῖ ἐνεργοῦντος τοῦ ὀργάνου· καθ' ὃν τρόπον καὶ ἐπὶ τοῖς παισὶ διηγησάμεθα, γεράνου ἤ τινος τοιούτου μακροτραχήλου ζώου φάρυγγα σκευάσας, προσθεὶς τῷ κρανίῳ λεληθότως ὁ συμπαίκτης ἃ θέλει φθέγγεται. Ὃ ἐπὰν ἀφανὲς γενέσθαι θέλῃ, ἀνθράκων πλῆθος κύκλῳ περιθεὶς ὡς θυμιῶν ἐμφαίνεται, ὧν τῆς θέρμης ὁ κηρὸς ἀντιλαμβανόμενος, λύεται, καὶ οὕτως ἀφανὲς τὸ κρανίον γεγονέναι νομίζεται.

42 Ταῦτα μάγων ἔργα καὶ τοιάδε μυρία, ἃ τῇ τῶν ἐπῶν συμμετρίᾳ καὶ τῶν ἀξιοπίστων δρωμένων ἔργων φαντασίᾳ πείθει τοὺς ἄφρονας· ὧν τὴν τέχνην καταπλαγέντες οἱ αἱρεσιάρχαι ἐμιμήσαντο, τὸ μὲν ἐν ἀποκρύφῳ καὶ σκότῳ παραδιδόντες τὰ δοκούμενα, τὰ δὲ καὶ παρα-

29. Vox addenda lexicis.
30. Post πυρουμένην nonnulla exciderunt.
31. Cod. in marg. ἥπατος δεῖξις.
32. Cod. πύστην.
33. Cod. κικίδι.
ib. Cod. δριμεῖ ex corr. rubr.
37. In marg. Κρανίου λαλοῦντος.
ib. Leg. videtur ἐπὶ γῆς τεθέν.
38. τρόπῳ αὐτὸ μὲν adj. rubr.
ib. Cod. ἐπίπλοος.
41. Haud dubie leg. πᾶσι pro φασί.
45. Ὃ ἐπὰν usque ad νομίζεται in margine codicis.
ib. θέλει.
50. Leg. ἀξιοπίστως.
53. Fort. leg. τὸ δέ· quanquam τὰ δὲ aliquatenus defendi potest.

φράζοντες ὡς ἴδια· τούτου χάριν ὑπομνῆσαι θέλοντες τοὺς πολλοὺς περιεργότεροι ἐγενήθημεν πρὸς τὸ μὴ καταλιπεῖν τινὰ τρόπον τοῖς ἐθέλουσι πλανᾶσθαι· ἀπηνέχθημεν δὲ οὐκ ἀλόγως εἴς τινα τῶν μάγων ἀπόρρητα, ἃ πρὸς μὲν τὸ προκείμενον οὐ πάνυ ἀναγκαῖα ἦν, πρὸς δὲ τὸ φυλάσσεσθαι τὴν τῶν μάγων πανοῦργον καὶ ἀσύστατον τέχνην, εὔχρηστα νομίζει. Ἐπεὶ τοίνυν ὡς εἰκάσαι ἔστι τὰς πάντων δόξας ἐξεθέμεθα, πολλὴν φροντίδα ποιήσαντες πρὸς τὸ φανερῶσαι τὰ ὡς ξένα ἐπὶ τῶν αἱρεσιαρχῶν ἐπεισαγόμενα, πρὸς θεοσέ-
18 v. βειαν ὄντα μάταια καὶ νόθα, οὐδὲ ἐν αὐτοῖς οἴσεις ἄξια λόγου τυγχάνοντα, δοκεῖ διὰ συντόμου λόγου ὑπομνησθῆναι κεφαλαιωδῶς τὰ προειρημένα.

43 Πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην φιλοσόφοις καὶ θεολόγοις ζητήσασιν οὐ συνεφώνησε περὶ τοῦ Θεοῦ τί ἐστιν ἢ ποδαπός. Οἱ μὲν γὰρ αὐτὸν λέγουσιν εἶναι πῦρ, οἱ δὲ πνεῦμα, οἱ δὲ ὕδωρ, ἕτεροι δὲ γῆν. Ἕκαστον δὲ τῶν στοιχείων ἔλαττόν τι ἔχει, καὶ ἕτερον ὑπὸ τοῦ ἑτέρου ἡττᾶται. Τοῦτο δὲ συνέβη τοῖς τοῦ κόσμου σοφοῖς, ὅπερ ἐστὶ τοῖς νοῦν ἔχουσι πρόδηλον, οἳ ἰδόντες τῆς κτίσεως τὰ μεγέθη ἐπὶ τῇ τῶν ὄντων οὐσίᾳ ἐταράχθησαν, μείζονα ταῦτα νομίσαντες τοῦ ὑφ' ἑτέρου γένεσιν ἐπιδέξασθαι δύνασθαι, καὶ οὐδὲ ὁμοῦ τὸ σύμπαν, αὐτὸ εἶναι τὸν θεὸν ἀπεφήναντο, αἴτιον πρὸς θεολογίαν ἓν τῶν βλεπομένων νομίσας ὅπερ ἔκρινε, καὶ οὕτως ἐπὶ τοῖς ὑπὸ θεοῦ γενομένοις καὶ κατὰ τὴν ἐκείνου ὑπερβάλλουσαν μεγαλειότητα ἐλαχίστοις ὑπάρχουσιν ἐνιδόντες,

55. Cod. ἐγεννήθημεν.
59. Cod. καὶ τὴν τῶν μάγων. Delevi καί.
60. Cod. νομίζει. Scripsi νομίζω, quod etiam alibi post pluralem ἡμᾶς ponitur.
63. Leg. ὑπὸ τῶν.
64. Pro οἴσεις fort. leg. ἴσως.
69. In margine: ὅρα τὴν διάφορον δόξαν τῶν θεολόγων περὶ θεοῦ.
71. Cod. ἐλάττω τι.
78. Putem omissum esse ἕκαστος post vel ante νομίσας.

*μὴ δυνηθέντες δὲ εἰς τὸ μέγεθος τοῦ ὄντως Θεοῦ ἐκτεῖναι τὸν νοῦν, ταῦτα ἐθεολόγησαν. Οἱ δὲ ἐνδοτέρω τῆς ἀληθείας νομίσαντες γεγονέναι Πέρσαι, ἔφασαν τὸν θεὸν εἶναι φωτεινὸν φῶς ἐν ἀέρι συνεχόμενον. Οἱ δὲ Βαβυλώνιοι ἔφασαν τὸν θεὸν σκοτεινὸν εἶναι, ὅπερ καὶ ταῦτα ἑτέρου ἐπακολούθημα φαίνεται, νυκτὶ γὰρ ἐπακολουθεῖ ἡμέρα, τῇ δὲ ἡμέρᾳ νύξ. Αἰγύπτιοι δὲ πάντων ἀρχαιότεροι εἶναι νομίζοντες τὴν τοῦ θεοῦ δύναμιν; ψηφίσαντες τάδε διαστήματα τῶν μοιρῶν ἐξ ἐπινοίας* 19 r. *θειοτάτης ἔφασαν τὸν θεὸν εἶναι μονάδα ἀδιαίρετον, καὶ αὐτὴν ἑαυτὴν γεννῶσαν, καὶ ἐξ αὐτῆς τὰ πάντα κατεσκευάσθαι· αὕτη γάρ, φησιν, ἀγέννητος οὖσα τοὺς ἑξῆς ἀριθμοὺς γεννᾷ, οἷον ἐφ᾽ ἑαυτὴν ἡ μονὰς ἐπιπροστεθεῖσα, γεννᾷ τὴν δυάδα, καὶ ὁμοίως ἐπιπροστιθεμένη, γεννᾷ τὴν τριάδα καὶ τετράδα μέχρι τῆς δεκάδος, ἥτις ἡ ἀρχὴ καὶ τὸ τέλος τῶν ἀριθμῶν, ἵνα γένηται πρώτη καὶ δεκάτη ἡ μονάς, διὰ τὸ καὶ τὴν δεκάδα ἰσοδυναμεῖν καὶ ἀριθμεῖσθαι εἰς μονάδα, καὶ αὕτη δεκαπλασιασθεῖσα γένηται ἑκατοντὰς καὶ πάλιν γίνεται μονάς, κἂν ἡ ἑκατοντὰς δεκαπλασιασθεῖσα ποιήσῃ χιλιάδα, καὶ αὕτη ἔσται μονάς. Οὕτως καὶ τὰ χίλια δεκαπλασιασθέντα ἂν ἀπαρτίσωσι τὴν μυριάδα, ὁμοίως ἔσται μονάς, τῆς δὲ μονάδος κατὰ τὴν ἀδιαίρετον σύγκρισιν συγγενεῖς ἀριθμοὶ παραλαμβάνονται γ̄ ε̄ ζ̄ θ̄. Ἔστι δὲ καὶ ἑτέρου ἀριθμοῦ συγγένεια πρὸς τὴν μονάδα φυσικωτέρα κατὰ*

81. Cod. ὄντος (with ω above).
86. Leg. αὐτὸ pro ταῦτα.
89. Leg. τά τε διαστ.
ib. Cod. μυρῶν.
92. Fort. leg. φασιν, nisi loquitur auctor quem excerpsit.
93. Cod. ἐπιπροσθεῖσα.
95. In marg. Περὶ δεκάδος. Ante ἀρχὴ addidi ἡ.
99. Pro καὶ leg. videtur ἥ, quod malim præ γένηται pro γίνεται.
1. Cod. ποιήσει.
2. Spatium vacuum relictum est in codice, sed nihil deest. De meo addidi ἂν, quo omisso constructionem turbatam videns librarius spatium vacuum reliquerit.

τὴν τοῦ ἑξακύκλου ἕλικος πραγματείαν, τῆς δυάδος κατὰ τὴν ἄρτιον θέσιν τῶν ἀριθμῶν καὶ διαίρεσιν. Συγγενὴς δὲ ὁ ἀριθμός ἐστι τοῦ δ̄ καὶ η̄. Ταῦτα δὲ ἐκ τῆς μονάδος ἀριθμὸν λαβόντα πρόνοιαν ἀρετῆς, ἐχώρησε μέχρι τῶν δ̄ στοιχείων, λέγω δὴ τοῦ πνεύματος καὶ πυρὸς, ὕδατός τε καὶ γῆς· καὶ ἐκ τούτων ποιήσας τὸν κόσμον ἀρρενόθηλυν αὐτὸν κατεσκεύασε, καὶ δύο μὲν στοιχεῖα εἰς τὸ ἄνω ἡμισφαίριον προσέταξε τό, τε πνεῦμα καὶ τὸ πῦρ, καὶ καλεῖται τοῦτο τὸ ἡμισφαίριον τῆς μονάδος ἀγαθοποιόν τε καὶ ἀνωφερὲς καὶ ἀρσενικόν·
19 v. λεπτομερὴς γὰρ οὖσα ἡ μονὰς πεταται εἰς τὸ λεπτότατον μέρος καὶ καθαρώτατον τοῦ αἰθέρος· τά τε ἄλλα δύο στοιχεῖα ὄντα παχύτερα ἀπένειμεν τῇ δυάδι, γῆν τε καὶ ὕδωρ, καὶ καλεῖται τοῦτο τὸ ἡμισφαίριον κατωφερὲς θηλυκόν τε καὶ κακοποιόν· καὶ αὐτὰ δὲ πάλιν τὰ ἄνω δύο στοιχεῖα ἑαυτοῖς συγκρινόμενα ἔχουσιν ἐν ἑαυτοῖς τὸ ἄρρεν καὶ τὸ θῆλυ πρὸς εὐκαρπίαν καὶ αὔξησιν τῶν ὅλων. Καὶ τὸ μὲν πῦρ, ἄρρεν ἐστὶ, τὸ δὲ πνεῦμα θῆλυ. Καὶ πάλιν τὸ ὕδωρ ἄρρεν ἐστὶν, ἡ δὲ γῆ, θῆλυ. Καὶ οὕτως ἀπ᾿ ἀρχῆς συνεβίωσε τὸ πῦρ τῷ πνεύματι, τῇ δὲ γῇ τὸ ὕδωρ. Ὥσπερ γὰρ δύναμις τοῦ πνεύματος ἐστὶ τὸ πῦρ, οὕτως καὶ τῆς γῆς τὸ ὕδωρ . . . . καὶ αὐτὰ δὲ τὰ στοιχεῖα ψηφιζόμενα καὶ ἀποδυόμενα καθ᾿ ὑφαίρεσιν ἐννάδων, λέγει οἰκειῶσαι ἃ μὲν εἰς τὸν ἀρρενικὸν

7. Leg. τῆς ἑξ., nam ἕλιξ est feminini generis. Ex Tzetza citatur ἑξάκυκλος de sex dierum spatio. An igitur ad Hexaëmeron creationis respicitur? quod et vox φυσικωτέρα et sequentia innuere videntur.

10. Pro ἀριθμὸν fort. leg. ἀριθμοῦ vel ἀρχήν. Sed sequentia etiam valde dubia.

12. Leg. videtur ἐκ τούτων [ὁ] ποιήσας.

15. Cod. τοῦτο ἡμισφαίριον.

17. Cod. ποτᾶται.

28. Inter ὕδωρ et καθ᾿ ὑφαίρεσιν ἐννάδων lacuna esse videtur, quia in superioribus nihil de enneadis ratione dictum est.

30. Cod. ἐνάδων.

ib. Cod. οἰκειωσαμένη εἰς, quod recte mutavisse opinamur: sed quo referatur λέγει, si sanum est, ob superiora ignoratur.

ἀριθμὸν, ἃ δὲ εἰς τὸν θῆλυν, ὑφαιρεῖται δὲ πάλιν ἡ ἐννὰς διὰ ταύτην τὴν αἰτίαν, διὰ τὸ τὰς τριακοσίας ἑξήκοντα τοῦ ὅλου μοίρας ἐξ ἐννεάδων συνίστασθαι, καὶ διὰ τοῦτο τὰ ἕτερα πλινθία τοῦ κόσμου ἐνενήκοντα μοιρῶν περιγεγράφθαι τελείων· προσῳκείωται δὲ τῇ μονάδι τὸ φῶς, τῇ δὲ δυάδι τὸ σκότος, καὶ τῷ μὲν φωτὶ κατὰ φύσιν ἡ ζωὴ, τῇ δὲ δυάδι, ὁ θάνατος. Καὶ τῇ μὲν ζωῇ, δικαιοσύνη, τῷ δὲ θανάτῳ, ἡ ἀδικία. Διὸ πᾶν γεννώμενον ἐν τοῖς ἀρσενικοῖς ἀριθμοῖς, ἀγαθοποιόν ἐστι, τὸ δὲ ἐν τοῖς θηλυκοῖς, κακοποιόν ἐστιν, οἷον ψηφίζουσι· μονὰς, ἵνα ἀπ' αὐτῆς ἀρξώμεθα, γίνεται τξα, ἃ λήγει εἰς μονάδα τῆς ἐννεάδος ὑφαιρεθείσης. Ὁμοίως ψήφισον· δυὰς γίνεται χε, ὕφελε τὰς ἐννεάδας, λήγει εἰς δυάδα καὶ ἀποκαθίσταται ἕκαστον εἰς τὸ

20 r. ἴδιον.

44 Τῇ οὖν μονάδι ἀγαθοποιῷ οὔσῃ εἰς τὸν ἀπερίζυγον ἀριθμὸν λήγοντα ὀνόματα ἀνωφερῆ ἀγαθοποιὰ εἶναι παρατηρούμενοι λέγουσι· τὰ δὲ εἰς τὸν ἄρτιον ἀριθμὸν λήγοντα, κατωφερῆ τε καὶ θηλυκὰ καὶ κακοποιὰ εἶναι νενόμισται. Τὴν γὰρ φύσιν ἐξ ἐναντίου συνισταμένην λέγουσιν ἔκ τε καλοῦ καὶ κακοῦ, ὥσπερ δεξιὸν καὶ ἀριστερὸν, φῶς καὶ σκότος, νὺξ καὶ ἡμέρα, ζωὴ καὶ θάνατος. Ἔτι δὲ καὶ τοῦτο λέγουσιν ὡσεὶ τὸ θεὸς ψηφίσας . . . καὶ μὴν εἰς πεντάδα, εἰς ἐννάδα καταντᾷ

31. Cod. θῆλυ.

35. Cod. προσοικείωται.

39. In marg. ὅτι τὰ μὲν γεννώμενα ἐν τοῖς ἀρσενικοῖς ἀριθμοῖς ἀγαθοποιὰ, τὰ δὲ ἐν τοῖς θηλυκοῖς κακοποιά.

41. Cod. ἀρξάμεθα.

46. Post οὔσῃ fort. inserendum [ἀκολούθως τά].

ib. ἀπερίζυγος ἀριθμὸς singulari modo dictum, sed fortasse non mutandum. ἡ δυὰς enim περίζυξ ἀριθμὸς appellari potest, unde ἡ μονὰς erit ἀπερίζυγος exspectes εἰς τὸν περιττὸν ἀρ.

47. Cod. ἀριθμοῦ.

ib. Leg. ἀνωφερῆ [καὶ ἀρσενικὰ καὶ] ἀγαθοποιά. et παρατηρούμενα, nisi plura turbata.

50. Malim ἐξ ἐναντίων.

53. In marg. ψῆφος θεοῦ ὀνόματος. Ex calculo θεὸς valet 284, id est 30 × 9, numero 14 superaddito, πεντάδι et ἐννάδι.

54. Fort. leg. ὡς εἰ: lacunam notavi post ψηφίσας.

ὅ ἐστιν ἄρτιον, ὃ ἐπιγραφὲν περιάψαντες θεραπεύουσιν. Οὑτωσὶ καὶ βοτάνη τις εἰς τοῦτο λήγουσα τοῦ ἀριθμοῦ ὁμοίως περιαφθεῖσα ἐνεργεῖ διὰ τὴν ὁμοίαν τοῦ ἀριθμοῦ ψῆφον. Ἀλλὰ καὶ ἰατρὸς ὁμοίᾳ ψήφῳ ἀρρώστους θεραπεύει. Εἰ δὲ ἐναντία ἡ ψῆφος, οὐ θεραπεύει ῥᾳδίως. Τούτοις τοῖς ἀριθμοῖς προσέχοντες ὅσα ὅμοια ᾗ λογίζονται κατὰ τόνδε τὸν νοῦν· ὁ μὲν κατὰ φωνήεντα μόνα, οἱ δὲ, κατὰ πάντα τὸν ἀριθμόν· τοιαύτη καὶ ἡ Αἰγυπτίων σοφία, δι' ἧς τὸ θεῖον δοξάζειν γινώσκειν νομίζουσιν.

45 Ἱκανῶς οὖν δοκεῖ ἡμᾶς καὶ ταῦτα ἐκτεθεῖσθαι. Ἀλλ' ἐπεὶ νομίζω μηδεμίαν δόξαν τῆς ἐπιγείου καὶ χαμαιπετοῦς σοφίας παραλελοιπέναι, οὐκ ἄχρηστον δὲ τὴν εἰς αὐτὰ φροντίδα ὁρῶ ἡμῖν γεγενημένην (οὐδὲ γὰρ μόνον πρὸς ἔλεγχον τῶν αἱρέσεων εὔχρηστον ὁρῶμεν γεγονέναι τὸν λόγον, ἀλλὰ καὶ πρὸς αὐτοὺς τοὺς τὰ αὐτὰ δοξάζοντας), οἱ ἐντυχόντες τῇ γεγενημένῃ ἡμῶν πολυμεριμνίᾳ καὶ τὸ σπουδαῖον θαυμάσουσι καὶ τὸ φιλόπονον οὐκ ἐξουθενήσουσι, καὶ μωροὺς οὐκ ἀποφα-
20 v. νοῦνται Χριστιανοὺς ἐνιδόντες οἷς αὐτοὶ μωρῶς πιστεύουσιν. Ἔτι δὲ καὶ τοὺς τῇ ἀληθείᾳ προσέχοντας φιλομαθεῖς προβιβάσει ὁ λόγος φρονιμωτέρους πρὸς τὸ μὴ μόνον τὰς τῶν αἱρέσεων μαθόντας ἀρχὰς εὐκόλως ἀνατρέπειν τοὺς πλανᾷν τετολμηκότας, ἀλλὰ καὶ τὰς τῶν σοφῶν λεγομένας δόξας, ὧν οὐκ ἄπειροι γενόμενοι, οὐδ' ὑπ' αὐτῶν ταραχθήσονται ὡς ἀμαθεῖς, οὐδ' ὑπό τινων πλανηθήσονται ὡς δυνάμει τινὶ δρώντων, ἀλλ' ἔτι καὶ τοὺς πλανωμένους ἐπιτηρήσουσιν.

46 Ἱκανῶς οὖν τὰ δόξαντα ἐκθέμενοι, λοιπὸν ἐπὶ τὴν τοῦ προκειμένου πραγματείαν χωρήσωμεν, ὅπως ὃ τε-

58. Cod. ὁμοίῳ.
61. Haud dubie leg. οἱ μέν.
65. Leg. ἡμῖν.
77. Pro τὰς fort. τούς.

τάγμεθα περὶ τῶν αἱρέσεων ἐπιδείξαντες ἑκάστοις τε τὰ ἴδια ἀποδοῦναι ἀναγκάσαντες, γυμνοὺς τοὺς αἱρεσιάρχας φανερώσομεν· καὶ ἀφροσύνην τῶν πειθομένων κατηγορήσαντες, πείσομεν παλινδρομεῖν ἐπὶ τὸν τῆς ἀληθείας εὔδιον λιμένα. Ἵνα δὲ σαφέστερα τοῖς ἐντυγχάνουσι τὰ ῥηθησόμενα φανῇ, δοκεῖ καὶ [τὰ] τῷ Ἀράτῳ πεφροντισμένα περὶ τῆς κατὰ τῶν οὐρανίων ἄστρων διαθέσεως ἐξειπεῖν, ὥς τινες εἰς τὰ ὑπὸ τῶν Γραφῶν εἰρημένα ἀπεικονίζοντες αὐτὰ, ἀλληγοροῦσι μετὰ τὸν νοῦν τῶν προσεχόντων πειρώμενοι, πιθανοῖς λόγοις προσάγοντες αὐτοὺς πρὸς ἃ βούλονται, ξένον θαῦμα ἐνδεικνύμενοι ὡς κατηστερισμένων τῶν ὑπ' αὐτῶν λεγομένων. Οἱ
21 r. τῷ παραξένῳ θαύματι ἐνορῶντες μικροθαύμαστοι ἁλίσκονται δίκην ὀρνέου τοῦ λεγομένου ὤτου, οὗ τὸ παράδειγμα καλὸν ἐξειπεῖν διὰ τὰ μέλλοντα. Ἔστι δὲ τὸ ζῷον οὐ πολὺ ἀπεμφαῖνον ἀετοῦ οὔτε μεγέθει οὔτε μορφῇ· ἁλίσκεται δὲ τοῦτον τὸν τρόπον. Ὁ ἀγρευτὴς τῶν ὀρνίθων ἐπὰν ἴδῃ ἀγέλην που καταπτᾶσαν, πόρρωθεν ἀνακρουόμενος τὰς χεῖρας ὀρχεῖσθαι σκήπτεται, καὶ οὕτω πρὸς ὀλίγον ἐγγίζει τοῖς ὄρνισιν· οἱ δὲ τὴν παράξενον θέαν καταπεπληγότες, ἀπερίβλεπτοι πάντων γίνονται. Ἕτεροι δὲ τῶν ἐπὶ τὴν ἄγραν παρεσκευασμένων ὄπισθεν ἐπελθόντες τοὺς ὄρνεις εὐκόλως συλλαμβάνονται θεωμένους τὸν ὀρχηστήν. Διὸ ἀξιῶ μή τις τοῖς ὁμοίοις θαύμασι καταπλαγεὶς ἐξηγούμενον τὸν οὐρανὸν δίκην ὤτου συλληφθῇ· ὄρχησις γὰρ καὶ λῆρος ἡ τῶν τοιούτων πανουργία καὶ οὐκ ἀληθής. Φησὶν οὖν ὁ Ἄρατος οὕτως·

90. Addidi τά.

93. Sub μετὰ latet ἀπατᾶν sive πλανᾶν, vel simile quid.

2. De hac captura cf. Athen. IX, p. 390, D.

3. Prius erat κατὰ πᾶσαν.

10. Leg. ἐξηγουμένων: quanquam defendi potest ἐξηγούμενον.

11. Cod. ὀρχησία.

13. Arat. Phænom. vs. 19.

Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἐόντες
οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί (τουτέστιν οἱ πάντες ἀστέρες).
Αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αὔτως
ἄξων αἰὲν ἄρηρεν, ἔχει δ' ἀτάλαντον ἁπάντῃ
μεσσηγὺς γαῖαν, περὶ δ' οὐρανὸν αὐτὸν ἀγινεῖ.

47 Πολέας φησὶν εἶναι τοὺς κατὰ τὸν οὐρανὸν ἀστέρας, τουτέστι στρεπτοὺς, διὰ τὸ περιέρχεσθαι ἀπὸ ἀνατολῆς εἰς δύσιν καὶ δύσεως εἰς ἀνατολὴν ἀπαύστως σφαιροειδεῖ σχήματι. Εἰλεῖσθαι δὲ κατὰ τὰς ἄρκτους αὐτὰς λέγει, οἷόν τι ποταμοῦ ῥεῦμα, μέγα θαῦμα Δράκοντος πελώρου καὶ τοῦτ' εἶναι ὅ φησιν ἐν τῷ Ἰὼβ πρὸς τὸν διάβολον ὡς ἔφη "ἐμπεριπατήσας τὴν ὑπ' οὐρανὸν καὶ περιελθὼν," τουτέστι περιστραφεὶς καὶ περισκοπήσας
21 v. τὰ γινόμενα· τετάχθαι γὰρ νομίζουσι κατὰ τὸν ἀρκτικὸν πόλον τὸν Δράκοντα, τὸν ὄφιν ἀπὸ τοῦ ὑψηλοτάτου πόλου πάντα ἐπιβλέποντα καὶ πάντα ἐφορῶντα, ἵνα μηδὲν τῶν πραττομένων αὐτὸν λάθῃ· πάντων γὰρ δυνόντων τῶν κατὰ τὸν οὐρανὸν ἀστέρων, μόνος οὗτος ὁ πόλος οὐδέποτε δύνει, ἀλλὰ ἄνω ὑπὲρ τὸν ὁρίζοντα ἐρχόμενος, πάντα περισκοπεῖ καὶ ἐπιβλέπει, καὶ λαθεῖν αὐτὸν τῶν πραττομένων, φησὶ, δύναται οὐδέν.

Ἧχι μάλιστα
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσι,

τετάχθαι δέ φησιν αὐτοῦ τὴν κεφαλήν. Κατὰ γὰρ τὴν δύσιν καὶ ἀνατολὴν τῶν δύο ἡμισφαιρίων κεῖται τὸ

14. Cod. ἄλυδις.
ib. Arat. ed. Bekk. ex uno cod. ἰόντες.
16. Cod. μετανείσσεται.
17. Cod. αἱ ἐνάρηρεν.
19. Cod. φασίν.
21. Leg. ἀπὸ δύσεως.
23. Cf. Arat. Phænom. vs. 46.
ib. Post φησιν subaudi ἡ Γραφή, ut sæpe ap. S. Jo. Chrysost.
25. Job I, 7.
31. Cod. τῶν οὐρανῶν.
35. Cod. ἧχι—σμίγονται. Aratus vs. 61: ἧχί περ ἄκραι.
36. Cod. δύσεις τε καὶ ἀντολαὶ ἀλλήλοισι.
37. δὲ delendum, nisi forte in τῇδε mutandum.

κεφάλαιον τοῦ Δράκοντος, ἵνα, φησὶ, μηδὲν αὐτὸν λάθη κατὰ τὸ αὐτὸ μήτε τῶν ἐν τῇ δύσει, μήτε τῶν ἐν τῇ ἀνατολῇ, ἀλλὰ πάντα γινώσκει τὸ θηρίον ὁμοῦ. Ἔστι δὲ κατ' αὐτῆς τῆς κεφαλῆς τοῦ Δράκοντος, ἰδέα ἀνθρώπου διὰ ἄστρων θεωρουμένη· ὃ καλεῖ κεκμηκὸς εἴδωλον ὁ Ἄρατος καὶ "μογέοντι ἐοικός·" καλεῖται δὲ, ὁ Ἐν γόνασιν. Ὁ μὲν οὖν Ἄρατος οὐκ εἰδέναι φησὶν οὗτος τίς ἐστιν ὁ πόνος καὶ τὸ θαῦμα τοῦτο στρεφόμενον ἐν οὐρανῷ· οἱ δὲ διὰ τῆς τῶν ἄστρων ἱστορίας αἱρετικοὶ θέλοντες τὰ ἑαυτῶν δόγματα συνιστᾶν περιεργότερον, τούτοις ἐπισχόντες, τὸν Ἐν γόνασι φασὶν εἶναι τὸν Ἀδὰμ κατὰ πρόσταγμα, φησὶν, τοῦ Θεοῦ, καθὼς εἶπε Μωσῆς, φυλάσσοντα τὴν κεφαλὴν τοῦ Δράκοντος καὶ τὸν Δράκοντα τὴν πτέρναν αὐτοῦ. Οὕτως γάρ φησιν ὁ Ἄρατος

Δεξιτεροῦ ποδὸς ἴχνος ἔχων σκολιοῖο Δράκοντος.

48 Παρατετάχθαι δέ φησιν αὐτῷ ἑκατέρωθεν (λέγω δὲ τῷ Ἐν γόνασι) Λύραν καὶ Στέφανον, αὐτὸν δὲ γόνυ
22 r. κλίνειν καὶ ἐκτετακότα ἀμφοτέρας τὰς χεῖρας οἱονεὶ περὶ ἁμαρτίας ἐξομολογούμενον. Εἶναι δὲ τὴν λύραν μουσικὸν ὄργανον ὑπὸ νηπίου ἔτι παντελῶς κατεσκευασμένον τοῦ λόγου· λόγῳ δὲ εἶναι παρὰ τοῖς Ἕλλησιν ἀκουόμενον τὸν Ἑρμῆν. Φησὶ δὲ ὁ Ἄρατος περὶ τῆς κατασκευῆς τῆς Λύρας·

τὴν δ' ἄρ' ἔτι καὶ παρὰ λίκνῳ
Ἑρμείης ἐτόρησε, Λύρην δ' εἶπεν καλέεσθαι.

41. Fort. γινώσκῃ.
42. Cod. εἰ δὲ pro ἰδέα.
43. Aratus v. 66 κάμνον pro κεκμηκός.
44. Arat. Phænom. vs. 63.
51. Genes. III, 15.
52. Prima manus οὗτος.
53. Phænom. vs. 70, ubi ποδὸς ἄκρον ἔχει.
55. Cod. παρὰ τὸ τετάχθαι.
56. Cod. τὸ ἐν γόνασι.
58. Cod. εἰδέναι.
61. Arat. vs. 268.
63. Cod. τὴν δ' ἀρε (τ superscr.) καὶ παραλίκνω.
64. Cod. ἐτέρησε λύρην δ' εἶπε. Arat. δέ μιν εἶπε λέγεσθαι.

Ἑπτάχορδος ἐστὶ διὰ τῶν ἑπτὰ χορδῶν τὴν πᾶσαν ἁρμονίαν καὶ κατασκευὴν ἐμμελῶς ἔχουσαν τοῦ κόσμου· ἐν ἓξ ἡμέραις γὰρ ἐγένετο ὁ κόσμος, καὶ τῇ ἑβδόμῃ καταπέπαυται. Εἰ οὖν, φησὶν, ἐξομολογούμενος ὁ Ἀδὰμ καὶ τὴν κεφαλὴν φυλάσσων τοῦ θηρίου κατὰ τὸ πρόσταγμα τοῦ Θεοῦ, ἐκμιμήσεται τὴν Λύραν, τουτέστι κατακολουθήσει τοῖς τοῦ Θεοῦ, τουτέστι πειθόμενος τῷ νόμῳ, παρακείμενον αὐτῷ τὸν στέφανον λήψεται. Ἐὰν δὲ ἀμελήσῃ, συγκατενεχθήσεται τῷ ὑποκειμένῳ θηρίῳ, καὶ τὸ μέρος ἕξει, φησὶ, μετὰ τοῦ θηρίου. Ἔοικε δὲ ὁ Ἐν γόνασιν, ἑκατέρωθεν ἐπιβάλλειν τὰς χεῖρας, καὶ τοῦτο μὲν τῆς Λύρας, τοῦτο δὲ στεφάνου ἐφάπτεσθαι, τοῦτο δὲ ἐξομολογεῖσθαι, ὡς ἔστιν ἰδεῖν δι' αὐτοῦ τοῦ σχήματος· ἐπιβουλεύεται δὲ ὅμως καὶ ἀποσπᾶται ὁ στέφανος αὐτοῦ ὑπ' ἄλλου θηρίου μικροτέρου δράκοντος, ὅ ἐστι γέννημα τοῦ φυλασσομένου ὑπὸ τοῦ Ἐν γόνασι τῷ ποδί. Ἄνθρωπος δὲ ἕστηκεν ἑκατέραις ταῖς χερσὶ καρτερῶς κατασφίγγων καὶ εἰς τὰ ὀπίσω ἕλκων ἀπὸ τοῦ στεφάνου τὸν ὄφιν καὶ οὐκ ἐᾷ ἐφάπτε-
22 v. σθαι βιαζόμενον τοῦ στεφάνου τὸ θηρίον· Ὀφιοῦχον δὲ αὐτὸν ὁ Ἄρατος καλεῖ, ὅτι κατέχει τὴν ὁρμὴν τοῦ ὄφεως ἐπὶ τὸν στέφανον ἐλθεῖν πειρωμένου. Λόγος δὲ, φησὶν, ἐστὶ σχήματι ἀνθρώπου ὁ κωλύων ἐπὶ τὸν στέφανον ἐλθεῖν τὸ θηρίον, οἰκτείρων τὸν ἐπιβουλευόμενον ὑπὸ τοῦ δράκοντος ὁμοῦ καὶ τοῦ γεννήματος ἐκείνου. Αὗται δὲ αἱ Ἄρκτοι, φασὶν, ἑβδομάδες εἰσὶ δύο ἐξ ἑπτὰ ἀριθμῶν συγκείμεναι, δισσῶν κτίσεων εἰκόνες. Πρώτη γὰρ, φησὶν, κτίσις ἡ κατὰ τὸν Ἀδὰμ ἐν πόνοις ὁ Ἐν γόνασιν ὁρώμενος. Δευτέρα δὲ ἡ κτίσις ἡ κατὰ

65. Sententia postulare videtur ἑπτάχορδος [δ'] ἐστὶ διὰ τὸ ἐν ἑπτὰ [ἡμέραις συνεστάναι] τὴν κ. τ. λ.

71. Fort. τοῖς [λόγοις] τοῦ Θεοῦ.

75. Cod. ἐπιβάλειν.

81. Cod. τῷ παιδί. Correxi ex scholiaste Arati v. 70.

90. Fort. φησίν.

92. Excidit aliquid ante ἐν πόνοις, tali sensu ἣν ἐμφαίνει.

Χριστὸν δι' ἧς ἀναγεννώμεθα, ὅ ἐστιν ὁ ὀφιοῦχος ἀνταγωνιζόμενος τῷ θηρίῳ, καὶ κωλύων ἐπὶ τὸν στέφανον ἐλθεῖν τὸν ἡτοιμασμένον τῷ ἀνθρώπῳ. Μεγάλη δὲ ἐστὶν Ἄρκτος ἡ Ἑλίκη, φησὶν, μεγάλης κτίσεως σύμβολον πρὸς ἣν πλέουσιν Ἕλληνες, τουτέστι πρὸς ἣν παιδεύονται, καὶ διὰ τῶν τοῦ βίου φερόμενοι κυμάτων ἐπακολουθοῦσιν ἑλίκην τινὰ οὖσαν τὴν τοιαύτην κτίσιν, ἢ διδασκαλίαν ἢ σοφίαν, εἰς τὰ ὀπίσω ἄγουσαν τοὺς ἑπομένους τῇ τοιαύτῃ κτίσει. Στροφὴ γάρ τις τῆς Ἑλίκης προσηγορία καὶ ἀνακύκλωσις ἐπὶ τὰ αὐτὰ εἶναι δοκεῖ. Μικρὰ δέ τις ἡ ἑτέρα Ἄρκτος οἱονεί τις εἰκὼν τῆς δευτέρας κτίσεως τῆς κατὰ Θεὸν κτισθείσης· ὀλίγοι γὰρ, φησὶν, εἰσὶν οἱ διὰ τῆς στενῆς ὁδοῦ πορευόμενοι· στενὴν δὲ λέγουσιν εἶναι τὴν Κυνοσουρίδα πρὸς ἣν ὁ Ἀρατός φησιν ὅτι οἱ Σιδόνιοι ναυτίλλονται. Σιδονίους δὲ ἀπὸ μέρους εἴρηκεν ὁ Ἄρατος Φοίνικας διὰ τὸ εἶναι τὴν Φοινίκων σοφίαν θαυμαστὴν, Φοίνικας δὲ εἶναι
23 r. Ἕλληνες λέγουσι τοὺς ἀπὸ τῆς Ἐρυθρᾶς θαλάσσης κατοικήσαντας εἰς τοῦτον τὸν χῶρον οὗ καὶ νῦν οἰκοῦσι, τοῦτο γὰρ Ἡροδότῳ δοκεῖ. Κυνόσουρα δὲ, φησὶν, αὕτη ἡ Ἄρκτος ἡ κτίσις ἡ δευτέρα, ἡ μικρὰ, ἡ στενὴ ὁδὸς, καὶ οὐχὶ ἡ Ἑλίκη. Οὐ γὰρ εἰς τὰ ὀπίσω ἄγει, ἀλλ' εἰς τὰ ἔμπροσθεν ἐπ' εὐθείας τοὺς ἑπομένους ὁδηγεῖ, κτίσις οὖσα. Κύων γὰρ ὁ λόγος, τοῦτο μὲν φρουρῶν καὶ φυλάσσων τὸ ἐπιβουλευόμενον ὑπὸ τῶν λύκων ποίμνιον· τοῦτο δὲ, ἀπὸ τῆς κτίσεως τὰ θηρία κυνηγῶν καὶ διαφθείρων· τοῦτο δὲ, γεννῶν τὰ πάντα, καὶ ὅ δὴ φασὶ Κύων, τουτέστι γεννῶν. Ἐντεῦθεν, φασὶν, ὁ Ἄρατος περὶ τῆς τοῦ Κυνὸς ἀνατολῆς λέγων εἴρηκεν οὕτως·

4. Cod. ἐπεὶ τά.
8. Cod. στενοί.
9. Cf. Schol. in Arat. v. 43.
12. Cod. ἕλληνας.
14. Cod. Ἡροδότῳ. Cf. Herodot. Hist. I. 1.

Κυνὸς δὲ ἀνατείλαντος, οὐκέτι φυταλιαὶ ἐψεύσαντο· τοῦτο ἐστὶν ὃ λέγει τὰ φυτευόμενα φυτὰ εἰς τὴν γῆν μέχρι τῆς τοῦ Κυνὸς ἀνατολῆς πολλάκις μὴ ῥιζοβολήσαντα, ὅμως τέθηλε φύλλοις, καὶ ἐνδείκνυται τοῖς βλέπουσιν ὅτι ἔσται τελεσφόρα καὶ φαίνεται ζῶντα, οὐκ ἔχοντα ζωὴν ἀπὸ τῆς ῥίζης ἐν αὐτοῖς. Ἐπειδὰν δὲ τοῦ Κυνὸς ἀνατολὴ γένηται, ὑπὸ τοῦ Κυνὸς τὰ ζῶντα ἀπὸ τῶν νεκρῶν διακρίνεται· μαραίνεται γὰρ ὄντως ὅσα οὐκ ἐρριζοβόλησεν. Οὗτος οὖν, φησὶν, ὁ Κύων λόγος τις ὢν θεῖος ζώντων καὶ νεκρῶν κριτὴς καθέστηκε [καὶ] καθάπερ τὸ φυτὸν ὁ Κύων τὸ ἄστρον ἐπὶ τῆς κτίσεως θεωρεῖται, οὕτως ἐπὶ τῶν οὐρανίων φυτῶν, φησὶ, τῶν ἀνθρώπων ὁ λόγος. Διὰ τὴν τοιαύτην οὖν αἰτίαν ἡ δευτέρα κτίσις Κυνόσουρα λογικῆς κτίσεως εἰκὼν ἕστηκεν ἐν οὐρανῷ·
23 v. μέσος δὲ ὁ Δράκων τῶν δύο κτίσεων ὑποτείνεται, τὰ ἀπὸ τῆς μεγάλης κτίσεως κωλύων ἐπὶ τὴν μικρὰν κτίσιν μετελθεῖν, τά τε ἐν τῇ κτίσει καθεστηκότα καθάπερ τὸν Ἐν γόνασι παραφυλάσσειν, τηρῶν πῶς καὶ τίνα τρόπον ἕκαστον ἐν τῇ μικρᾷ κτίσει καθέστηκε. Τηρεῖται δὲ καὶ αὐτὸς κατὰ τὴν κεφαλὴν, φησὶν, ὑπὸ τοῦ Ὀφιούχου. Αὕτη, φησὶν, εἰκὼν ἕστηκεν ἐν οὐρανῷ σοφία τις οὖσα τοῦ ἰδεῖν δυναμένοις. Εἰ δὲ ἐστὶν ἀσαφὲς κατὰ τοῦτο, δι' ἄλλης εἰκόνος, φησὶν, ἡ κτίσις διδάσκει φιλοσοφεῖν, περὶ ἧς ὁ Ἄρατος εἴρηκεν οὕτως·

Οὐδ' ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο.

49 Ὁ Κηφεὺς, φησὶν, αὐτοῦ ἐστὶ πλησίον καὶ ἡ Κασσιέπεια, καὶ Ἀνδρομέδα, καὶ ὁ Περσεὺς, μεγάλα τῆς

24. Cod. φιλαίτιαι, quod mutavi ex Arato vs. 333.
29. Leg. Ἐπειδὰν δ' ἡ τοῦ.
34. Vox θεωρεῖται corrupta videtur.
41. Leg. παραφυλάσσει.
44. In cod. vox εἰκὼν videtur erasa.
45. Leg. τοῖς pro τοῦ, uti mox lin. 51.
47. Arat. vs. 179.
48. Cod. εἰς ἄϊδαο.
49. Cod. Κασιέπεια.

κτίσεως γράμματα τοῖς ἰδεῖν δυναμένοις. Κηφέα γάρ φησιν εἶναι τὸν Ἀδὰμ, τὴν Κασσιέπειαν Εὔαν, τὴν Ἀνδρομέδαν τῶν ἀμφοτέρων τούτων ψυχὴν, τὸν Περσέα Λόγον, πτερωτὸν Διὸς ἔγγονον, τὸ κῆτος, τὸ ἐπίβουλον θηρίον. Οὐκ ἐπ' ἄλλον τινὰ τούτων, ἀλλ' ἐπὶ μόνην τὴν Ἀνδρομέδαν ἔρχεται ὁ ἀποκτείνας τὸ θηρίον, οὗ καὶ τὴν Ἀνδρομέδαν πρὸς ἑαυτὸν λαβὼν ἔκδοτον δεδεμένην τῷ θηρίῳ ὁ Λόγος, φησὶν, ὁ Περσεὺς ῥύεται. Περσεὺς δὲ ἐστὶν ὁ ὑπόπτερος ἄξων ὁ περαίνων ἑκατέρους τοὺς πόλους διὰ μέσης τῆς γῆς καὶ στρέφων τὸν κόσμον. Ἔστι δὲ καὶ τὸ πνεῦμα τὸ ἐν τῷ κόσμῳ ὁ ὄρνις ὁ κύκνος παρὰ τὰς ἄρκτους [μουσι]κὸν ζῷον, τοῦ θείου
24 r. σύμβολον πνεύματος· ὅτι πρὸς αὐτοῖς ἤδη τοῖς τέρμασι γενόμενον τοῦ βίου μόνον ᾄδειν πέφυκε, μετὰ ἀγαθῆς ἐλπίδος τῆς κτίσεως τῆς πονηρᾶς ἀπαλλασσόμενον ὕμνους ἀναπέμπον τῷ Θεῷ. Καρκίνοι δὲ καὶ ταῦροι καὶ λέοντες καὶ κριοὶ καὶ αἶγες καὶ ἔριφοι καὶ ὅσα ἄλλα θηρία διὰ τῶν ἄστρων ὀνομάζεται κατὰ τὸν οὐρανὸν, εἰκόνες δὲ, φησὶν, εἰσὶ καὶ παραδείγματα, ἀφ' ὧν ἡ μεταβλητὴ κτίσις λαμβάνουσα τὰς ἰδέας, τοιούτων ζῴων γίνεται πλήρης.

50 Τούτοις χρώμενοι τοῖς λόγοις, ἀπατᾶν νομίζουσι πολλοὺς ὅσοι περιεργότερον τοῖς ἀστρολόγοις προσέχουσιν, ἐντεῦθεν τὴν θεοσέβειαν συνιστᾶν πειρώμενοι, μακρὰν ἀπεμφαίνουσαν τῆς τούτων ὑπολήψεως. Διὸ ἀγαπητοὶ, φύγωμεν τὸ μικροθαύμαστον τοῦ ὄρνιθος τοῦ ὤτου· ταῦτα γὰρ καὶ τὰ τοιάδε ὄρχησις ἐστὶ καὶ οὐκ ἀλήθεια. Οὐδὲ γὰρ τὰ ἄστρα ταῦτα δηλοῖ, ἀλλὰ ἰδίως

52. Cod. Κασιέπειαν.
54. Cf. Schol. in Arat. 84.
55. Cod. τούτον.
62. Schol. in Arat. 275.
63. Cod. τοῖς σπέρμασι.
66. Cod. ἀναπέμπων.
69. Fort. delendum δέ.
73. Cod. περιεργότεροι.

οἱ ἄνθρωποι πρὸς ἐπισημείωσίν τινων ἄστρων, ὀνόματα οὕτως ἐπεκάλεσαν, ἵνα αὐτοῖς ἐπίσημα ᾖ. Τί γὰρ ἄρκτου ἢ λέοντος, ἢ ἐρίφων, ἢ ὑδροχόου, ἢ Κηφέως, ἢ Ἀνδρομέδας, ἢ τῶν ἐν Ἅιδου ὀνομαζομένων εἰδώλων ὅμοιον ἔχουσιν ἀστέρες διεσπαρμένοι κατὰ τὸν οὐρανὸν, πολὺ μεταγενεστέρων γεγενημένων τούτων τῶν ἀνθρώπων καὶ τῶν ὀνομάτων ἢ τῶν ἀνθρώπων συνέστηκε γέννησις; ἵνα καὶ οἱ αἱρετικοὶ καταπλαγέντες τὸ θαῦμα οὕτως ἐξεργάσωνται διὰ τῶν τοιῶνδε λόγων τὰ ἴδια δόγματα συνιστᾶν.

51 Ἀλλ' ἐπεὶ σχεδὸν πᾶσα αἵρεσις διὰ τῆς ἀριθμητικῆς
24 v. τέχνης ἐφεῦρεν ἑβδομάδων μέτρα καὶ αἰώνων τινὰς προβολὰς, ἄλλων ἄλλως τὴν τέχνην διασπώντων καὶ τοῖς ὀνόμασι μόνον διαλλασσόντων, τούτων δὲ αὐτοῖς διδάσκαλος γίνεται Πυθαγόρας, πρῶτος εἰς Ἕλληνας ἀπ' Αἰγύπτου τοὺς τοιούτους ἀριθμοὺς παραδοὺς, δοκεῖ μηδὲ τοῦτο παραλιπεῖν, ἀλλὰ διὰ συντόμου δείξαντας ἐπὶ τὴν τῶν ζητουμένων ἀπόδειξιν χωρῆσαι. Γεγόνασιν ἀριθμητικαὶ γεωμετρίαι, οἷς μάλιστα τὰς ἀρχὰς παρεσχηκέναι δοκεῖ πρῶτος Πυθαγόρας· καὶ τούτων τῶν ἀριθμῶν εἰς ἄπειρον ἀεὶ προχωρεῖν δυναμένων τῷ πολυπλασιασμῷ καὶ τοῖς σχήμασι, τὰς πρώτας ἔλαβον ἀρχὰς οἱονεὶ θεωρητὰς μόνῳ τῷ λόγῳ· γεωμετρίας γὰρ, ὡς ἔστιν ἐνιδεῖν, σημεῖον ἐστὶν ἀρχὴ ἀμερές. Ἀπ' ἐκείνου δὲ τοῦ σημείου τῇ τέχνῃ ἡ τῶν ἀπείρων σχημάτων ἀπὸ τοῦ σημείου γένεσις εὑρίσκεται· ῥυὲν γὰρ τὸ σημεῖον

80. Cod. ἐπισημανῇ.
84. Cod. γεγεννημένων.
85. Cod. ἡ.
87. Fortasse οὕτω μωρῶς ἐξεργ.
91. Cod. ἀλληνάλλως.
92. Cod. διαλασσόντων.
96. Fort. leg. ἀριθμητικοὶ καὶ γεωμέτραι οἷς.
98. Cf. Sext. Emp. p. 314.
ib. Leg. videtur καὶ οὗτοι τῶν ἀριθμῶν.
3. Hæc pluribus ap. Sextum Emp. Adv. geometras §. 29 et sqq.

ἐπὶ μῆκος, γίνεται γραμμὴ μετὰ τὴν ῥύσιν, πέρας ἔχουσα σημεῖον. Γραμμὴ δὲ ἐπὶ πλάτος ῥυεῖσα ἐπίπεδον γεννᾷ, πέρατα δὲ τοῦ ἐπιπέδου γραμμαὶ, ἐπίπεδον δὲ ῥυὲν εἰς βάθος, γίνεται σῶμα· στερεοῦ δὲ ὑπάρξαντος, οὕτως ἐξ ἐλαχίστου σημείου παντελῶς, ἡ τοῦ μεγάλου σώματος ὑπέστη φύσις, καὶ τοῦτο ἐστὶν ὃ λέγει Σίμων οὕτως· Τὸ μικρὸν μέγα ἔσται, οἱονεὶ
25 r. σημεῖον ὂν, τὸ δὲ μέγα ἀπέραντον, κατακολουθοῦν τῷ γεωμετρουμένῳ σημείῳ. Τῆς δὲ ἀριθμητικῆς κατὰ σύνθεσιν ἐχούσης τὴν φιλοσοφίαν ἀριθμὸς γέγονεν ἀρχὴ, ὅπερ ἐστὶν ἀόριστον ἀκατάληπτον, ἔχων ἐν ἑαυτῷ πάντας τοὺς ἐπ' ἄπειρον ἐλθεῖν δυναμένους ἀριθμοὺς κατὰ τὸ πλῆθος. Τῶν δὲ ἀριθμῶν ἀρχὴ γέγονε καθ' ὑπόστασιν ἡ πρώτη μονὰς, ἥτις ἐστὶ μονὰς ἄρσην, γεννῶσα πατρικῶς τοὺς ἄλλους πάντας ἀριθμούς. Δεύτερον ἡ δυὰς θῆλυς ἀριθμὸς, ὁ δὲ αὐτὸς καὶ ἄρτιος ὑπὸ τῶν ἀριθμητικῶν καλεῖται. Τρίτον ἡ τριὰς ἀριθμὸς ἄρσην· οὗτος καὶ περισσὸς ὑπὸ τῶν ἀριθμητικῶν νενομοθέτηται καλεῖσθαι. Ἐφ' ἅπασι δὲ τούτοις, ἡ τετρὰς θῆλυς ἀριθμὸς, ὁ δὲ αὐτὸς οὗτος καὶ ἄρτιος καλεῖται, ὅτι θῆλυς ἐστί. Γεγόνασιν οὖν οἱ πάντες ἀριθμοὶ ληφθέντες ἀπὸ τοῦ γένους τέσσαρες. Ἀριθμὸς δὲ ἦν τὸ γένος ἀόριστος, ἀφ' ὧν ὁ τέλειος αὐτοῖς ἀριθμὸς συνέστηκεν ἡ δεκάς. Τὸ γὰρ ἓν, δύο, τρία, τέσσαρα, γίνεται δέκα, ὡς προαποδέδεικται, ἐὰν ἑκάστῳ τῶν

14. Hæc in libro primo cap. 2. p. 879 ed. Delar.

15. Edit. γέγονε πρῶτος ἀρχὴ, ὅπερ ἔστιν ἓν, ἀόριστος, ἀκατάληπτος.

17. Ed. δυναμένους ἐλθεῖν.

18. Ed. καθ' ὑπόθεσιν, ad q. l. cf. Wolfii notam.

19. Cod. ἄρσις.

20. Ed. πάντας τοὺς ἄλλους.

21. ἡ δυὰς bis in codice.

23. Cod. ἄρσις.

24. Ed. ἐπὶ πᾶσι.

25. Ed. om. οὗτος.

27. Ed. ἀπὸ γένους sine articulo.

28. Ed. δ' ἦν—ἀόριστον.

ib. Ed. συνέστηκεν ἀριθμός.

30. Ed. ὡς προαποδέδεικται om.

ἀριθμῶν φυλάττηται κατ' οὐσίαν ὄνομα τὸ οἰκεῖον. Αὕτη ἐστὶν ἡ κατὰ Πυθαγόραν ἱερὰ τετρακτὺς ἀενάου φύσεως ῥιζώματ' ἔχουσα ἐν ἑαυτῇ, τουτέστι τοὺς ἄλλους πάντας ἀριθμούς· τὸ γὰρ ἕνδεκα καὶ δώδεκα καὶ οἱ λοιποὶ τὴν ἀρχὴν τῆς γενέσεως ἀπὸ τῶν δέκα λαμβάνουσι. Ταύτης τῆς δεκάδος, τοῦ τελείου ἀριθμοῦ, τὰ τέσσαρα καλεῖται μέρη, ἀριθμὸς, μονὰς, δύναμις, κύβος, οἷς ἐπιπλοκαὶ καὶ μίξεις πρὸς ἕνωσιν ..ήσεως γίνονται κατὰ φύσιν τὸν γόνιμον ἀριθμὸν ἐπιτελοῦσαι·
25 v. ὅταν γὰρ δύναμις αὕτη ἐφ' ἑαυτὴν κυβισθήσεται, γέγονε δυναμοδύναμις, ὅταν δὲ δύναμις ἐπὶ κύβον, γέγονε δυναμόκυβος· ὅταν δὲ κύβος ἐπὶ κύβον, γέγονε δυναμόκυβος, ὡς γίνεσθαι τοὺς πάντας ἀριθμοὺς ἑπτὰ, ἵνα ἡ τῶν γενομένων γένεσις γένηται ἐξ ἑβδομάδος, ἥτις ἐστὶν ἀριθμὸς, μονὰς, δύναμις, κύβος, δυναμοδύναμις, δυναμόκυβος, κυβόκυβος. Ταύτην τὴν ἑβδομάδα Σίμων καὶ Οὐαλεντῖνος ὀνόμασιν ἐνδιαλλάξαντες ἐτερατολόγησαν, ὑπόθεσιν ἑαυτοῖς ἐντεῦθεν σχεδιάσαντες. Ὁ μὲν γὰρ Σίμων οὕτως καλεῖ· νοῦς, ἐπίνοια, ὄνομα, φωνὴ, λογισμὸς, ἐνθύμησις, ὁ ἑστὼς, στὰς, στησόμενος. Καὶ Οὐαλεντῖνος· νοῦς, ἀλήθεια, λόγος, ζωὴ, ἄνθρωπος, ἐκκλησία, καὶ ὁ πατὴρ συναριθμούμενος, κατ' αὐτὰ τοῖς τὴν ἀριθμητικὴν ἠσκηκόσι φιλοσοφίαν· [ἣν] ὡς ἄγνωστον [τοῖς] πολλοῖς θαυμάσαντες, κατακολουθήσαντες τὰς ὑπ' αὐτῶν ἐπινοηθείσας αἱρέσεις συνεστήσαντο. Τινὲς μὲν οὖν καὶ ἀπὸ ἰατρικῆς συνιστᾶν τὰς ἑβδομάδας πειρῶνται, ἐκπλαγέντες ἐπὶ τῇ τοῦ ἐγκεφάλου ἀνατομῇ, λέγοντες τὴν τοῦ παντὸς οὐσίαν καὶ δύναμιν

31. Ed. φυλάσσηται.
ib. Cod. ὀνόματος οἰκεῖον.
32. Cod. ἀεννάου.
40. Leg. αὐτή.
42–43. Leg. κυβόκυβος.
54. Addidi ἣν et τοῖς.

καὶ πατρικὴν θειότητα ἀπὸ τῆς τοῦ ἐγκεφάλου διαθέσεως διδάσκεσθαι. Ὁ γὰρ ἐγκέφαλος κύριον μέρος ὢν τοῦ παντὸς σώματος, ἐπίκειται ἀτρεμὴς καὶ ἀκίνητος, ἐντὸς ἑαυτοῦ ἔχων τὸ πνεῦμα. Ἔστι μὲν οὖν ἡ τοιαύτη ἱστορία οὐκ ἀπίθανος, μακρὰν δὲ τῆς τούτων ἐπιχειρήσεως. Ὁ μὲν γὰρ ἐγκέφαλος ἀνατμηθεὶς ἔνδον ἔχει 26 r. τὸ καλούμενον καμάριον, οὗ ἑκατέρωθεν ὑμένες εἰσὶ λεπτοὶ, οὓς πτερύγια προσαγορεύουσιν, ἠρέμα ὑπὸ τοῦ πνεύματος κινούμενα καὶ πάλιν ἀπελαύνοντα τὸ πνεῦμα ἐπὶ τὴν παρεγκεφαλίδα· ὃ διατρέχον διά τινος ἀγγείου καλάμῳ ἐοικότος ἐπὶ τὸ κωνάριον χωρεῖ, ᾧ πρόσκειται τὸ στόμιον τῆς παρεγκεφαλίδος ἐκδεχόμενον τὸ διατρέχον πνεῦμα, καὶ ἀναδίδον ἐπὶ τὸν νωτιαῖον λεγόμενον μυελὸν, ὅθεν πᾶν τὸ σῶμα μεταλαμβάνει τὸ πνευματικὸν πασῶν τῶν ἀρτηριῶν δίκην κλάδου ἐκ τούτου τοῦ ἀγγείου ἠρτημένων, οὗ τὸ πέρας ἐπὶ τὰ γεννητικὰ ἀγγεῖα τερματίζεται· ὅθεν καὶ τὰ σπέρματα ἐξ ἐγκεφάλου διὰ τῆς ὀσφύος χωροῦντα ἐκκρίνεται. Ἔστι δὲ τὸ σχῆμα τῆς παρεγκεφαλίδος ἐοικὸς κεφαλῇ δράκοντος, περὶ οὗ πολὺς ὁ λόγος τοῖς τῆς ψευδωνύμου γνώσεως γίνεται, καθὼς ἐπιδείξομεν. Ἕτεραι δὲ ἐκ τοῦ ἐγκεφάλου φύονται ἓξ συζυγίαι, αἳ περὶ τὴν κεφαλὴν διϊκνούμεναι συνέχουσι τὰ σώματα ἐν αὐτῇ περατούμεναι· ἡ δὲ ἑβδόμη ἐκ τῆς παρεγκεφαλίδος εἰς τὰ κάτω τοῦ λοιποῦ σώματος, καθὼς εἴπομεν. Καὶ περὶ τούτου δὲ πολὺς ὁ λόγος, ὅθεν καὶ Σίμων καὶ Οὐαλεντῖνος εὑρεθήσονται καὶ ἐντεῦθεν ἀφορμὰς εἰληφότες, καὶ

65. Cod. τὸν καλούμενον καμάριον.
68. Cod. παρακεφαλίδα.
ib. Cod. ὁ διατρέχων.
69. Cod. ἐοικότι.
79. Cod. ἐπιδείξωμεν.
80. Cod. αἵ περί.
82. Fort. παρεγκεφαλίδος [εἶσιν] εἰς τά.

εἰ μὴ ὁμολογοῖεν, ὄντες πρῶτον ψεῦσται, εἶτα αἱρετικοί. Ἐπεὶ οὖν καὶ ταῦτα δοκεῖ ἱκανῶς ἡμᾶς ἐκτεθεῖσθαι, πάντα δὲ τὰ δοκοῦντα εἶναι τῆς ἐπιγείου φιλοσοφίας δόγματα περιείληπται ἐν τέσσαρσι βιβλίοις, δοκεῖ ἐπὶ τοὺς τούτων χωρεῖν μαθητὰς, μᾶλλον δὲ κλεψιλόγους.

87. Infra p. 94, 26. ἐκτεθείμεθα.
91. Ad calcem hujus libri: φιλοσοφουμένων δ̄ βιβλίον.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Ε΄.

26 v. ΤΑΔΕ ἔνεστιν ἐν τῇ πέμπτῃ τοῦ κατὰ πασῶν αἱρέσεων ἐλέγχου.

2 Τίνα οἱ Νασσηνοὶ λέγουσιν οἱ ἑαυτοὺς Γνωστικοὺς ἀποκαλοῦντες, καὶ ὅτι ἐκεῖνα δογματίζουσιν ἃ πρότερον οἱ Ἑλλήνων φιλόσοφοι ἐδογμάτισαν, καὶ ὅτι τὰ μυστικὰ παραδόντες ἀφ᾽ ὧν τὰς ἀφορμὰς λαβόντες, αἱρέσεις συνεστήσαντο.

3 Καὶ τίνα τὰ τοῖς Περάταις δοκοῦντα, καὶ ὅτι μὴ ἀπὸ τῶν ἁγίων Γραφῶν τὸ δόγμα αὐτοῖς συνίσταται, ἀλλὰ ἀπὸ ἀστρολογικῆς.

4 Τίς ὁ κατὰ τοὺς Σηθειανοὺς λόγος, καὶ ὅτι ἀπὸ τῶν καθ᾽ Ἕλληνας σοφῶν κλεψιλογήσαντες, Μουσαίου καὶ Λίνου καὶ Ὀρφέως τὸ δόγμα ἑαυτῶν συνεκάττυσαν.

5 Τίνα τὰ Ἰουστίνῳ δοκοῦντα, καὶ ὅτι μὴ ἀπὸ τῶν ἁγίων Γραφῶν τὸ δόγμα αὐτῷ συνίσταται, ἀλλ᾽ ἐκ τῶν Ἡροδότου τοῦ ἱστοριογράφου τερατολογιῶν.

3. Infra dicuntur Νaασσηνοί.

12. Cod. κατ᾽ Ἕλληνας.

ib. Cod. κλεψολογήσαντες: supra dixit auctor κλεψιλόγους. Id. in libro primo p. 877 edit. Delar. Τούτων γὰρ μάλιστα γεγένηνται κλεψιλόγοι οἱ τῶν αἱρέσεων πρωτοστατήσαντες. quæ voces addendæ lexicis.

ib. Cod. Μουσέου.

15. Cod. αὐτῶν.

16. Cod. Ἡρωδότου.

## Ε΄.

6 Πάνυ νομίζω πεπονημένως τὰ δόξαντα πᾶσι τοῖς καθ᾽ Ἕλληνάς τε καὶ βαρβάρους περί τε τοῦ θείου καὶ τῆς τοῦ κόσμου δημιουργίας ἐκτεθεῖσθαι ἐν τοῖς πρὸ ταύτης τέσσαρσι βίβλοις, ὧν οὐδὲ τὰ περίεργα ἀποκαλύψας οὐ τὸν τυχόντα πόνον ἀναδέδεγμαι τοῖς ἐντυγχάνουσι, προτρεπόμενος πολλοὺς πρὸς φιλομάθειαν καὶ ἀσφάλειαν τῆς περὶ τὴν ἀλήθειαν γνώσεως. Περιλείπεται τοίνυν ἐπὶ τὸν τῶν αἱρέσεων ἔλεγχον ὁρμᾷν· τούτου χάριν καὶ τὰ προειρημένα ἡμῖν ἐκτεθείμεθα, ἀφ᾽ ὧν τὰς ἀφορμὰς μετασχόντες οἱ αἱρεσιάρχαι, δίκην παλαιορράφων συγκαττύσαντες πρὸς τὸν ἴδιον νοῦν τὰ τῶν παλαιῶν σφάλματα ὡς καινὰ παρέθεσαν τοῖς
27 r. πλανᾶσθαι δυναμένοις, ὡς ἐν τοῖς ἀκολούθοις δείξομεν. Τὸ λοιπὸν προκαλεῖται ἡμᾶς ὁ χρόνος ἐπὶ τὴν τῶν προκειμένων πραγματείαν χωρεῖν, ἄρξασθαι δὲ ἀπὸ τῶν τετολμηκότων τὸν αἴτιον τῆς πλάνης γενόμενον ὄφιν ὑμνεῖν διά τινων ἐφηυρημένων κατ᾽ αὐτοῦ ἐνέργειαν λόγων. Οἱ οὖν ἱερεῖς καὶ προστάται τοῦ δόγματος γεγένηνται πρῶτοι [οἱ] ἐπικληθέντες Νaασσηνοί, τῇ Ἑβραΐδι φωνῇ οὕτως ὠνομασμένοι· νάας δὲ ὁ ὄφις καλεῖται. Μετὰ δὲ ταῦτα ἐπεκάλεσαν ἑαυτοὺς Γνωστικούς, φάσκοντες μόνοι τὰ βάθη γινώσκειν, ἐξ ὧν ἀπομερισθέντες πολλοὶ πολυσχιδῆ τὴν αἵρεσιν ἐποίησαν μίαν, διαφό-

17. Littera Ε΄ librum quintum indicat. Titulus rubricatus Νaασσηνοί.

19. Cod. κατ᾽ Ἕλληνας.

21. Fort. ὧν οὐδὲ τὰ περίεργα [παραλιπὼν vel παραβὰς] ἀποκαλύψαι.

22. Prima manus ἀναδέδειγμαι.

27. Pro μετασχόντες malim μεταλαβόντες.

28. In nova editione Thesauri Παλαιοράφος, sed sine exemplo.

ib. Cod. συγκαταττύσαντες.

29. Cod. κενά.

36. Addidi οἱ.

37. נָחָשׁ et inde verbum נִחֵשׁ. Part. מְנַחֵשׁ.

40. οὖσαν inserendum et legendum : τὴν αἵρεσιν ἐποίησαν οὖσαν μίαν.

ροις δόγμασι τὰ αὐτὰ διηγούμενοι, ὡς διελέγξει προβαίνων ὁ λόγος. Οὗτοι τῶν ἄλλων ἁπάντων παρὰ τὸν αὐτῶν λόγον τιμῶσιν ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου. Ἔστι δὲ ἄνθρωπος οὗτος ἀρσενόθηλυς, καλεῖται δὲ Ἀδάμας παρ' αὐτοῖς· ὕμνοι δὲ εἰς αὐτὸν γεγόνασι πολλοὶ καὶ ποικίλοι· οἱ δὲ ὕμνοι, ὡς δι' ὀλίγων εἰπεῖν, λέγονται παρ' αὐτοῖς τοιοῦτόν τινα τρόπον· "Ἀπὸ σοῦ πάτερ, καὶ διὰ σὲ μήτηρ τὰ δύο ἀθάνατα ὀνόματα, αἰώνων γονεῖς, πολῖτα οὐρανοῦ, μεγαλώνυμε ἄνθρωπε." Διαιροῦσι δὲ αὐτὸν, ὡς Γηρυόνην, τριχῆ. Ἔστι γὰρ τούτου, φασὶ, τὸ μὲν, νοερὸν, τὸ δὲ, ψυχικὸν, τὸ δὲ, χοϊκόν· καὶ νομίζουσιν εἶναι τὴν γνῶσιν αὐτοῦ, ἀρχὴν τοῦ δύνασθαι γνῶναι τὸν θεὸν, λέγοντες οὕτως· "Ἀρχὴ τελειώσεως γνῶσις ἀ . . . . . . . γνῶσις ἀπηρτισμένη τελείωσις." Ταῦτα δὲ πάντα, φησὶ, τὰ νοερὰ καὶ ψυχικὰ καὶ χοϊκὰ, κατεχώρησε καὶ κατ[ῆλθεν εἰς] ἕνα ἄνθρωπον ὁμοῦ Ἰησοῦν τὸν ἐκ τῆς Μαρίας γεγενη-
27 v. μένον· καὶ ἐλάλουν, φησὶν, ὁμοῦ κατὰ τὸ αὐτὸ οἱ τρεῖς οὗτοι ἄνθρωποι, ἀπὸ τῶν ἰδίων οὐσιῶν τοῖς ἰδίοις ἕκαστος. Ἔστι γὰρ τῶν ὅλων τρία γένη κατ' αὐτοὺς, ἀγγελικὸν, ψυχικὸν, χοϊκόν· καὶ τρεῖς ἐκκλησίαι, ἀγγελικὴ, ψυχικὴ, χοϊκή· ὀνόματα δὲ αὐταῖς, ἐκλεκτὴ, κλητικὴ, αἰχμάλωτος.

7 Ταῦτα ἐστὶν ἀπὸ πολλῶν πάνυ λόγων τὰ κεφάλαια ἃ φησὶ παραδεδωκέναι Μαριάμμῃ τὸν Ἰάκωβον τοῦ Κυρίου τὸν ἀδελφόν. Ἵν' οὖν μήτε Μαριάμμης ἔτι καταψεύδωνται οἱ ἀσεβεῖς, μήτε Ἰακώβου, μήτε τοῦ

42. Leg. vel οὗτοι πρὸ τῶν ἄλλων, vel infra προτιμῶσιν.
43. Fort. αὐτῶν.
46. Cod. ὀλίγον.
48. Leg. πατήρ.
54. Leg. γνῶσις ἀνθρώπου· θεοῦ δὲ γνῶσις ἀπηρτισμένη τελ. Cf. infra p. 132: Ἀρχὴ γὰρ, φησὶν, τελειώσεως γνῶσις ἀνθρώπου, θεοῦ δὲ γνῶσις.
56. Cod. καὶ ἐχώρησε.
66. Cod. Μαριάμμη.

Σωτῆρος αὐτοῦ, ἔλθωμεν ἐπὶ τὰς τελετὰς (ὅθεν αὐτοῖς οὗτος ὁ μῦθος), εἰ δοκεῖ, ἐπὶ τὰς βαρβαρικάς τε καὶ Ἑλληνικὰς, καὶ ἴδωμεν ὡς τὰ κρυπτὰ καὶ ἀπόρρητα πάντων ὁμοῦ συνάγοντες οὗτοι μυστήρια τῶν ἐθνῶν καταψευδόμενοι τοῦ Χριστοῦ ἐξαπατῶσι τοὺς ταῦτα οὐκ εἰδότας τὰ τῶν ἐθνῶν ὄργια. Ἐπεὶ γὰρ ὑπόθεσις αὐτοῖς ὁ ἄνθρωπος ἐστὶν Ἀδάμας, καὶ λέγουσι γεγράφθαι περὶ αὐτοῦ, "Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται," μάθετε πῶς κατὰ μέρος παρὰ τῶν ἐθνῶν τὴν ἀνεξεύρητον καὶ ἀδιάφορον τοῦ ἀνθρώπου γενεὰν λαβόντες, ἐπιπλάσσουσι τῷ Χριστῷ. "Γῆ δὲ, φασὶν οἱ Ἕλληνες, ἄνθρωπον ἀνέδωκε πρώτη καλὸν ἐνεγκαμένη γέρας· μὴ φυτῶν ἀναισθήτων, μηδὲ θηρίων ἀλόγων, ἀλλὰ ἡμέρου

69. Manifeste transpositio quam indicat repetitum ἐπί. Leg. ἔλθωμεν, εἰ δοκεῖ, ἐπὶ τὰς τελετὰς (ὅθεν —μῦθος) τὰς βαρβ., omisso altero ἐπί.

75. Isai. cap. 53, 8.

76. Fort. ἀνεξεύρετον.

78. Hoc splendidissimum Pindari fragmentum tali modo restituerunt viri docti:

(Στροφή.)

. . . . . . . . . . .

Πρώτα δὲ γαῖ' ἄνδωκεν ἄνθρωπον τότ' ἐνεγκαμένα καλὸν γέρας,
ἁμέρου καὶ θευφιλοῦς μάτηρ ἐθέλοισα γενέ-
σθαι γενεᾶς. Χαλεπὸν δ' ἐστὶν εὑρεῖν,

(Ἀντιστροφή.)

εἴτε Βοιωτοῖσιν Ἀλαλκομενεὺς λίμνας ὑπὲρ Καφισσίδος
πρῶτος ἀνθρώπων ἀνέσχεν,
εἴτε καὶ Κουρῆτες Ἰδαῖοι ἔσαν, θεῖον γένος,
ἢ Φρύγιοι Κορύβαντες,
οὓς τότε πρώτους ἴδε δενδροφυεῖς ἀμβλαστάνοντας Ἅλιος,
εἴτ' ἄρα καὶ προσελαναῖον Πελασγὸν Ἀρκαδία,
ἢ Ῥαρίας οἰκήτορ' Ἐλευσὶς Δίαυλον,
ἢ καλλίπαιδα Λᾶμνος ἀρρήτων ἐτέκνωσε Κάβειρον ὀργίων,
εἴτε Παλλάνα Φλεγραῖον Ἀλκυονῆ,
πρεσβύτατον θρασυγυίων Γιγάντων.

(Ἐπῳδός.)

Πρωτόγονον Λίβυες δ' αὖτ' Ἰάρβαντα κρατερὸν
φασὶν αὐχμηρῶν πεδίων ἀναδύντα γλυκεί-
ας ἀπάρξασθαι βαλάνου Διός· Αἰγύ-
πτῳ δὲ καὶ νῦν Νεῖλος, ἰλὺν ἐπιλιπαί-
νων ὑγρᾷ σαρκουμέναν θερμότατι,
σώματα ζῶντ' ἀνδιδοῖ.

ζῴου καὶ θεοφιλοῦς ἐθέλουσα μήτηρ γενέσθαι· χαλεπὸν δὲ, φησὶν, ἐξευρεῖν εἴτε Βοιωτοῖς Ἀλαλκομενεὺς ὑπὲρ λίμνης Κηφισίδος ἀνέσχε πρῶτος ἀνθρώπων, εἴτε Κουρῆτες ἢ σανίδαι οἱ θεῖον γένος, ἢ Φρύγιοι Κορύβαντες, οὓς πρῶτος ἥλιος ἔπιδε δενδροφυεῖς ἀναβλαστάνοντας,
28 r. εἴτε πρὸς σεληναῖον Ἀρκάδα διὰ Πελασγὸν ἠραρυίας οἰκήτορα, δίαυλον Ἐλευσὶν ἡ Λῆμνος καλλίπαιδα, Κάβϊρον, ἀρρήτων ἐτέκνωσεν ὀργιασμῷ. Εἴτε Φελλήνη Φλεγραῖον Ἀλκυονέα πρεσβύτατον γιγάντων. Λίβες δὲ Τάρβαντα φασὶ πρωτόγονον αὐχμηρῶν ἀναδύντα πεδίω, γλυκείας ἀπάρξασθαι Διὸς βαλάνου. Αἰγυπτίων δὲ Νεῖλος ὕλην ἐπιλιπαίνων μέχρι σήμερον ζωογονῶν φησὶν ὑγρᾶς ἀρκούμενα θερμότητι ζῷα, καὶ σῶμα ἀναδίδωσιν. Ἀσσύριοι δὲ Ἰαννὴν ἰχθυοφάγον γενέσθαι παρ᾽ αὐτοῖς. Χαλδαῖοι δὲ τὸν Ἀδὰμ καὶ τοῦτον εἶναι φάσκουσι τὸν ἄνθρωπον ὃν ἀνέδωκεν ἡ γῆ μόνον. Κεῖσθαι δὲ αὐτὸν ἄπνουν, ἀκίνητον, ἀσάλευτον, ὡς ἀνδριάντα, εἰκόνα ὑπάρχοντα ἐκείνου τοῦ ἄνω τοῦ ὑμνουμένου Ἀδάμαντος ἀνθρώπου, γενόμενον ὑπὸ δυνάμεων τῶν πολλῶν περὶ ὧν ὁ κατὰ μέρος λόγος ἐστὶ πολύς. Ἵν᾽ οὖν τελέως ᾖ κεκρατημένος ὁ μέγας ἄνθρωπος ἄνωθεν "ἀφ᾽ οὗ, καθὼς λέγουσι, πᾶσα πατριὰ ὀνομαζομένη ἐπὶ γῆς καὶ ἐν τοῖς οὐρανοῖς" συνέστηκεν, ἐδόθη αὐτῷ καὶ ψυχὴ, ἵνα διὰ τῆς ψυχῆς πάσχῃ καὶ κολάζηται καταδουλούμενον τὸ πλάσμα τοῦ μεγάλου καὶ καλλίστου καὶ τελείου ἀνθρώπου· καὶ γὰρ οὕτως αὐτὸν καλοῦσι. Ζητοῦσιν οὖν αὐτὸν πάλιν τίς ἐστιν ἡ ψυχὴ καὶ πόθεν καὶ ποταπὴ τὴν φύσιν, ἵν᾽ ἐλθοῦσα εἰς τὸν ἄνθρωπον καὶ κινήσασα καταδουλώσῃ καὶ κο-

82. Cod. Ἀλκομενεύς.
85. Cod. ἔφιδε (π superscr.) sic.
98. Cod. ἀνδριάντος. Correxit Schneidew. Philolog. vol. 1, p. 437.
3. Paulus ad Ephes. 3, 15.
8. Pro altero αὐτὸν fort. leg. αὐτοί.

λάσῃ τὸ πλάσμα τοῦ τελείου ἀνθρώπου· ζητοῦσι δὲ οὐκ ἀπὸ τῶν Γραφῶν, ἀλλὰ καὶ τοῦτο ἀπὸ τῶν μυστικῶν. Εἶναι δὲ φασὶ τὴν ψυχὴν δυσεύρετον πάνυ καὶ δυσκατανόητον· οὐ γὰρ μένει ἐπὶ σχήματος οὐδὲ μορφῆς τῆς αὐτῆς πάντοτε, οὐδὲ πάθους ἑνὸς, ἵνα τις αὐτὴν
28 v. ἢ τύπῳ εἴπῃ, ἢ οὐσίᾳ καταλήψεται. Τὰς δὲ ἐξαλλαγὰς ταύτας τὰς ποικίλας ἐν τῷ ἐπιγραφομένῳ κατ' Αἰγυπτίους Εὐαγγελίῳ κειμένας ἔχουσιν. Ἀποροῦσιν οὖν, καθάπερ οἱ ἄλλοι πάντες τῶν ἐθνῶν ἄνθρωποι, πότερόν ποτε ἐκ τοῦ προόντος ἐστὶν, [ἢ] ἐκ τοῦ αὐτοῦ γένους, ἢ ἐκ τοῦ ἐκκεχυμένου χάους. Καὶ πρῶτον ἐπὶ τὰς Ἀσσυρίων καταφεύγουσι τελετὰς, τὴν τριχῆ διαίρεσιν τοῦ ἀνθρώπου κατανοοῦντες· πρῶτοι γὰρ Ἀσσύριοι τὴν ψυχὴν τριμερῆ νομίζουσιν εἶναι καὶ μίαν. Ψυχῆ γὰρ, φασὶ, πᾶσα φύσις, ἄλλη δὲ ἄλλως ὀρέγεται. Ἔστι γὰρ ψυχὴ πάντων τῶν γινομένων αἰτία· πάντα ὅσα τρέφεται, φησὶ, καὶ αὔξει, ψυχῆς δεῖται. Οὐδὲν γὰρ οὔτε τροφῆς, φησὶν, οὔτε αὐξήσεως οἷόν ἐστιν ἐπιτυχεῖν, ψυχῆς μὴ παρούσης. Καὶ γὰρ οἱ λίθοι, φησὶν, εἰσὶν ἔμψυχοι· ἔχουσι γὰρ τὸ αὐξητικὸν, αὔξησις δὲ οὐκ ἄν ποτε γένοιτο χωρὶς τροφῆς· κατὰ προσθήκην γὰρ αὔξει τὰ αὐξανόμενα· ἡ δὲ προσθήκη, τροφὴ τοῦ τρεφομένου. Πᾶσα οὖν φύσις ἐπουρανίων, φησὶ, καὶ ἐπιγείων καὶ καταχθονίων, ψυχῆς ὀρέγεται. Καλοῦσι δὲ Ἀσσύριοι τὸ τοιοῦτον Ἄδωνιν ἢ Ἐνδυμίωνα, καὶ ὅταν μὲν Ἄδωνις καλῆται, Ἀφροδίτη, φησὶν, ἐρᾷ καὶ ἐπιθυμεῖ τῆς ψυχῆς τοῦ τοιούτου ὀνόματος. Ἀφροδίτη δὲ, ἡ γένεσις ἐστὶ κατ' αὐτούς. Ὅταν δὲ ἡ Περσεφόνη καὶ ἡ Κόρη

16. Non muto καταλήψεται ob simillima exempla ex Septuag. futuri post ἵνα in altero membro.
20. Addidi ἤ.
25. Cod. πᾶσι pro φασί.
28. Fort. οἷόν τ' ἐστίν.
35. Cod. ἐνδημίωνα.
36. Cod. καλεῖται.
ib. Cod. Ἀφροδίτης.

ἐρᾷ τοῦ Ἀδώνιδος, θνητὴ, φησὶ, τὶς τῆς Ἀφροδίτης
29 r. κεχωρισμένη (τῶν γενέσεως) ἐστὶν ἡ ψυχή. Ἐὰν δὲ ἡ Σελήνη Ἐνδυμίωνος εἰς ἐπιθυμίαν ἔλθῃ καὶ ἔρωτα μορφῆς, ἡ τῶν ὑψηλοτέρων, φησὶ, κτίσις προσδεῖται καὶ ψυχῆς. Ἐὰν δὲ, φησὶν, ἡ μήτηρ τῶν θεῶν ἀποκόψῃ τὸν Ἄττιν καὶ αὐτὴ τοῦτον ἔχουσα ἐρώμενον, ἡ τῶν ὑπερκοσμίων, φησὶ, καὶ αἰωνίων ἄνω μακαρία φύσις τὴν ἀρρενικὴν δύναμιν τῆς ψυχῆς ἀνακαλεῖται πρὸς αὑτήν. Ἔστι γὰρ, φησὶν, ἀρρενόθηλυς ὁ ἄνθρωπος. Κατὰ τοῦτον οὖν αὐτοῖς τὸν λόγον πάνυ πονηρὸν καὶ κεκωλυμένον κατὰ τὴν διδασκαλίαν ἡ γυναικὸς πρὸς ἄνδρα δεδειγμένη καθέστηκεν ὁμιλία. Ἀπεκόπη γὰρ, φησὶν, ὁ Ἄττις, τουτέστιν ἀπὸ τῶν χοϊκῶν τῆς κτίσεως κάτωθεν μερῶν καὶ ἐπὶ τὴν αἰωνίαν ἄνω μετελήλυθεν οὐσίαν, ὅπου, φησὶν, οὐκ ἔστιν οὐδὲ θῆλυ οὐδὲ ἄρσεν, ἀλλὰ καινὴ κτίσις, καινὸς ἄνθρωπος, ὅ ἐστιν ἀρσενόθηλυς. Ποῦ δὲ ἄνω λέγουσι, κατὰ τὸν οἰκεῖον ἐλθὼν δείξω τόπον, μαρτυρεῖν δέ φασιν αὐτῶν τῷ λόγῳ οὐχ ἁπλῶς μόνην τὴν Ῥέαν, ἀλλὰ γὰρ ὡς ἔπος εἰπεῖν ὅλην τὴν κτίσιν· καὶ τοῦτο εἶναι τὸ λεγόμενον ὑπὸ τοῦ λόγου διασαφοῦσι· "Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ τῆς κτίσεως

40. Fort. leg. κεχωρισμένη [ἤγουν γενέσεως] ἐστὶν— Vocabula duo de glossa marginali videntur illata, ad vocem Ἀφροδίτης pertinentia.

43. Fort. καὶ [αὐτὴ] ψυχῆς.

44. Cod. Ἄπιν Diodor. Sicul. 3, 58 et 59 ubi aliter de fatis Attidis. Pausan. VII, 20, 3 scribit Ἄττης. Eadem narrat Minuc. Fel. Octav. cap. 21: "Cybele Dindymena, pudet dicere, adulterum suum infeliciter placitum, quoniam et ipsa deformis, et vetula, ut multorum deorum mater, ad stuprum inlicere non poterat, exsecuit, ut deum scilicet faceret eunuchum."

46. Cod. πρὸς αὐτήν.

47. Cod. ἀρενόθηλυς (ρ suprascr.). Infra ἀρσενόθηλυς.

48. In cod. οὖν suprascriptum.

49. Pro κεκωλυμένον legendum videtur μεμολυσμένον κακίστῃ διδασκαλίᾳ.

51. Cod. ὁ Ἄπις.

52. καὶ fort. delendum.

53. Gal. 3, 28; 6, 15, et alibi.

56. Cod. φησὶν αὐτὸν τῷ λόγῳ. Quare in hujusmodi duntaxat locis φησίν mutemus, in aliis quanquam aliquoties suspectum minime tangamus, sciunt periti.

59. S. Paul. Rom. c. 1, 20–23, 26, 27.

τοῦ κόσμου τοῖς ποιήμασιν αὐτοῦ νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, πρὸς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. Διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες γὰρ εἶναι σοφοὶ ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώμασιν εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδω-
29 v. κεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν." Τί δέ ἐστιν ἡ φυσικὴ κατ' αὐτοὺς χρῆσις, ὕστερον ἐροῦμεν. "Ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι (ἀσχημοσύνη δέ ἐστιν ἡ πρώτη καὶ μακαρία κατ' αὐτοὺς ἀσχημάτιστος οὐσία, ἡ πάντων σχημάτων τοῖς σχηματιζομένοις αἰτία) καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες." Ἐν γὰρ τούτοις τοῖς λόγοις οἷς εἴρηκεν ὁ Παῦλος ὅλον φασὶ συνέχεσθαι τὸ κρύφιον αὐτῶν καὶ ἄρρητον τῆς μακαρίας μυστήριον ἡδονῆς. Ἡ γὰρ ἐπαγγελία τοῦ λουτροῦ, οὐκ ἄλλη τίς ἐστι κατ' αὐτοὺς, ἢ τὸ εἰσαγαγεῖν εἰς τὴν ἀμάραντον ἡδονὴν τὸν λουόμενον κατ' αὐτοὺς ζῶντι ὕδατι, καὶ χριόμενον ἀλάλῳ χρίσματι. Οὐ μόνον δ' αὐτῶν ἐπιμαρτυρεῖν φασὶ τῷ λόγῳ τὰ Ἀσσυρίων μυστήρια καὶ Φρυγῶν περὶ τὴν τῶν γεγονότων καὶ γινομένων καὶ ἐσομένων ἔτι μακαρίαν κρυβομένην ὁμοῦ καὶ φανερουμένην φύσιν, ἥν περ φησὶν

79. Altera manus συνέχεσθε.

83. Cod. ἄλλῳ. Infra p. 122, 69. Καὶ χριόμενοι ἐκεῖ ἀλάλῳ χρίσματι. Deinde cod. Οὐ μόνον αὐτῶν.

84. Cod. ἐπιμαρτύρει^ν.

87. Leg. ἥνπερ φησὶ (id est S. Matth. 6, 33; Luc. 12, 31) τὴν ἐντός.

ἐντὸς ἀνθρώπου βασιλείαν οὐρανῶν ζητουμένην, περὶ ἧς διαρρήδην ἐν τῷ κατὰ Θωμᾶν ἐπιγραφομένῳ Εὐαγγελίῳ παραδιδόασι λέγοντες οὕτως· "ἐμὲ ὁ ζητῶν, εὑρήσει ἐν παιδίοις ἀπὸ ἐτῶν ἑπτά· ἐκεῖ γὰρ ἐν τῷ τεσσαρεσκαιδεκάτῳ αἰῶνι κρυβόμενος φανεροῦμαι." Τοῦτο δὲ οὐκ ἔστι Χριστοῦ, ἀλλὰ Ἱπποκράτους λέγοντος,
30 r. "ἑπτὰ ἐτῶν παῖς πατρὸς ἥμισυ·" ὅθεν οὗτοι τὴν ἀρχέγονον φύσιν τῶν ὅλων ἐν ἀρχεγόνῳ τιθέμενοι σπέρματι, τὸ ἱπποκράτειον ἀκηκοότες, ὅτι ἔστιν ἥμισυ πατρὸς παιδίον ἑπτὰ ἐτῶν, ἐν τοῖς τέσσαρσι [καὶ δέκα] φασὶν ἔτεσι, κατὰ τὸν Θωμᾶν, εἶναι φανερούμενον. Οὗτος ἐστὶν ὁ ἀπόρρητος αὐτοῖς λόγος καὶ μυστικός. Λέγουσι γοῦν ὅτι Αἰγύπτιοι πάντων ἀνθρώπων μετὰ τοὺς Φρύγας ἀρχαιότεροι καθεστῶτες, καὶ πᾶσι τοῖς ἄλλοις ἀνθρώποις ὁμολογουμένως τελετὰς καὶ ὄργια θεῶν πάντων ὁμοῦ μετὰ τὸν πρῶτον κατηγγελκότες [καὶ] ἰδέας καὶ ἐνεργείας, ἱερὰ καὶ σεβάσμια καὶ ἀνεξαγόρευτα τοῖς μὴ τετελεσμένοις τὰ Ἴσιδος ἔχουσι μυστήρια, τὰ δ' εἰσὶν οὐκ ἄλλο τι ἢ ἡρπασμένον καὶ ζητούμενον ὑπὸ τῆς ἑπταστόλου καὶ μελανείμονος αἰσχύνη Ὀσίριδος. Ὄσιριν δὲ λέγουσιν ὕδωρ. Ἡ δὲ φύσις ἑπτάστολος, περὶ αὐτὴν ἔχουσα καὶ ἐστολισμένη ἑπτὰ στολὰς αἰ-

89. Hæc non invenio in Evangelio Thomæ de Infantia Servatoris. Cf. Fabric. Cod. apocr. part. I, p. 159 sqq.

91. Cod. τεσσαρισκαιδ.

94. Vid. Littré, *Trad. des Œuvres d'Hippocrate*, t. I, p. 396.

97. Cod. φησὶν—Θωμᾶν εἰ μὲν φανερούμενον. Ante φασὶν add. τέσσαρσι [καὶ δέκα] φ. ob superiora.

2. Cod. καθεστῶτες (ὁ superscr.). Leg. videtur ἀρχαιότατοι.

3. Cod. ὁμολογουμένων.

4. Addidi καί.

8. Cod. μελανήμονος.

ib. Quæ præcedunt neutrum αἰδοῖον postulant, non αἰσχύνη, quod p. 103, l. 54 iterum legitur cum participio neutro ἔχον. Credibile est scriptorem per verecundiam honestius vocabulum alteri substituisse, sed alia exempla miræ hujus et grammaticam violantis consuetudinis nobis nunc non sunt in promptu.

9. Περὶ Ὀσίριδος in marg.

ib. Vox ἑπτάστολος addenda lexicis.

θρίους. Τοὺς πλανήτας γὰρ ἀστέρας οὕτω προσαγορεύουσιν ἀλληγοροῦντες καὶ αἰθρίους καλοῦντες, καθὼς ἡ μεταβλητὴ γένεσις ὑπὸ τοῦ ἀρρήτου καὶ ἀνεξεικονίστου καὶ ἀνεννοήτου καὶ ἀμόρφου μεταμορφουμένη κτίσις ἀναδείκνυται· καὶ τοῦτο ἐστὶ τὸ εἰρημένον, φησὶν, ἐν τῇ Γραφῇ "ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσεται." Αὗται γὰρ αἱ πτώσεις, φησὶν, αἱ τῶν ἄστρων μεταβολαὶ, ὑπὸ τοῦ πάντα κινοῦντος κινούμεναι. Λέγουσιν οὖν περὶ τῆς τοῦ πνεύματος οὐσίας ἥτις ἐστὶ πάντων τῶν γινομένων αἰτία, ὅτι τούτων ἐστὶν οὐδὲν, γεννᾷ δὲ καὶ ποιεῖ πάντα τὰ γινόμενα, λέγοντες οὕτως· "γίνομαι ὃ θέλω καὶ εἰμὶ ὃ εἰμὶ, διὰ τοῦτο φημὶ, ἀκίνητον εἶναι τὸ πάντα κινοῦν. Μένει γὰρ ὅ ἐστι ποιοῦν
30 v. τὰ πάντα καὶ οὐδὲν τῶν γινομένων γίνεται." Τοῦτον εἶναι φησὶν ἀγαθὸν μόνον. Καὶ περὶ τούτου λελέχθαι τὸ ὑπὸ τοῦ Σωτῆρος λεγόμενον, "Τί με λέγεις ἀγαθόν; εἷς ἐστὶν ἀγαθὸς ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατελεῖ τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχει ἐπὶ ὁσίους καὶ ἁμαρτωλούς." Τίνες δέ εἰσιν οἱ ὅσιοι οἷς βρέχει καὶ οἱ ἁμαρτωλοὶ οἷς ὁ αὐτὸς βρέχει, καὶ τοῦτο μετὰ τῶν ἄλλων ὕστερον ἐροῦμεν. Καὶ τοῦτ' εἶναι τὸ μέγα καὶ κρύφιον τῶν ὅλων ἄγνωστον μυστήριον, παρὰ τοῖς Αἰγυπτίοις κεκαλυμμένον καὶ ἀνακεκαλυμμένον. Οὐδεὶς γὰρ, φησὶν, ἐστὶν ἐν ναῷ πρὸ τῆς εἰσόδου· οὐχ ἕστηκε γυμνὸν τὸ κεκρυμμένον, κάτωθεν ἄνω βλέπον καὶ πάντας αὐτοῦ τοὺς καρποὺς τῶν γινομένων στεφανούμενον· ἑστάναι δὲ οὐ μόνον ἐν

13. Cod. ἀνεξιχνιάστου et ex corr. ἀνεξεικονίστου.
16. S. Luc. 17, 4.
22. Exod. 3, 14. Sed vocubula γίνομαι ὃ θέλω gnostici cujusdam additamentum esse videntur.
26. S. Matth. 19, 17 et 5, 45. ubi recte ἀνατέλλει, ut hic quoque legendum.
32. Fort. καὶ ἄγνωστον.
35. Fort. leg. οὗ quod male librarii pro οὐ acceperunt et in οὐχ ob vocem sequentem mutaverunt.

τοῖς ἁγιωτάτοις πρὸ τῶν ἀγαλμάτων ναοῖς λέγουσι τὸ τοιοῦτον, ἀλλὰ γὰρ καὶ εἰς τὴν ἁπάντων ἐπίγνωσιν, οἱονεὶ φῶς [οὐχ] ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν ἐπικείμενον, κήρυγμα κηρυσσόμενον ἐπὶ τῶν δωμάτων ἐν πάσαις ὁδοῖς καὶ πάσαις ἀγυιαῖς, καὶ παρ' αὐταῖς ταῖς οἰκίαις, ὅρον τινὰ καὶ τέρμα τῆς οἰκίας προτεταγμένον, καὶ τοῦτο εἶναι τὸ ἀγαθὸν ὑπὸ πάντων λεγόμενον· ἀγαθηφόρον γὰρ αὐτὸ καλοῦσιν, ὃ λέγουσιν οὐκ εἰδότες, καὶ τοῦτο Ἕλληνες μυστικὸν ἀπὸ Αἰγυπτίων παραλαβόντες, φυλάσσουσι μέχρι σήμερον. Τοὺς γοῦν Ἑρμεῖς, φησὶ, παρ' αὐτοῖς τοιούτῳ τετιμημένους σχήματι θεωροῦμεν. Κυλλήνιοι δὲ διαφερόντως τιμῶντες λόγον (φησὶ γάρ· Ἑρμῆς ἐστι λόγος ἑρμηνεὺς ὢν καὶ δημιουργὸς τῶν γεγονότων ὁμοῦ καὶ γινομένων καὶ
31 r. ἐσομένων)· παρ' αὐτοῖς τιμώμενος ἕστηκε τοιούτῳ τινὶ κεχαρακτηρισμένος σχήματι, ὅπερ ἐστὶν αἰσχύνη ἀνθρώπου ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ὁρμὴν ἔχων. Καὶ ὅτι οὗτος, τουτέστιν ὁ τοιοῦτος Ἑρμῆς, ψυχαγωγὸς, φησὶν, ἐστὶ καὶ ψυχοπομπὸς καὶ ψυχῶν αἴτιος, οὐδὲ τοὺς ποιητὰς τῶν ἐθνῶν λανθάνει λέγοντας οὕτως·

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων,

οὐ τῶν Πηνελόπης, φασὶν οἱ κακοδαίμονες, μνηστήρων, ἀλλὰ τῶν ἐξυπνισμένων καὶ ἀνεμνησμένων,

ἐξ οἵης τιμῆς [τε] καὶ ὅσσου μήκεος ὄλβου,

40. Addidi οὐχ ex Luca 11, 33.
48. Cod. παρ' αὐτούς.
52. Malim παρὰ τούτοις. Talis quidem ἀνακολουθία post parenthesin sermoni illatam non sine exemplo est; sed hoc loco quædam exciderunt; saltem οὗτος οὖν requirebatur.
54. Corrige ἔχον? quod confirmare videtur quæ dixi p. 101, 8.
58. Hom. Odyss. Ω, 1.
60. Cod. φησὶν οἱ.
61. Malam formationem ad μνηστήρων referre voluit; quod docet p. 104, l. 79.
62. Cod. ἐξ οἵης τιμῆς καὶ μὴ καὶ ὡς ὄλβου.

*τουτέστιν ἀπὸ τοῦ μακαρίου ἄνωθεν ἀνθρώπου, ἢ ἀρχανθρώπου, ἢ Ἀδάμαντος ὡς ἐκείνοις δοκεῖ, κατενεχθεισῶν ὧδε εἰς πλάσμα τὸ πήλινον, ἵνα δουλεύσωσι τῷ ταύτης τῆς κτίσεως δημιουργῷ ἠσαλδαίῳ θεῷ πυρίνῳ ἀριθμῷ τετάρτῳ· οὕτως γὰρ τὸν δημιουργὸν καὶ πατέρα τοῦ ἰδικοῦ κόσμου καλοῦσιν.*

*Ἔχε δὲ ῥάβδον μετὰ χερσὶ*
*καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει*
*ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.*

Οὗτος, φησὶν, ἐστὶν ὁ τῆς ζωῆς καὶ τοῦ θανάτου μόνος ἔχων ἐξουσίαν. Περὶ τούτου, φησὶ, γέγραπται, "Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ." Ὁ δὲ ποιητὴς, φησὶ, κοσμῆσαι βουλόμενος τὸ ἀπερινόητον τῆς μακαρίας φύσεως τοῦ λόγου, οὐ σιδηρᾶν ἀλλὰ χρυσῆν περιέθηκε τὴν ῥάβδον αὐτῷ. Θέλγει δὲ τὰ ὄμματα τῶν νεκρῶν, ὥς φησι, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει, τοὺς ἐξυπνισμένους καὶ γεγονότας μνηστῆρας. Περὶ τούτων, φησὶν, ἡ Γραφὴ λέγει, "ἔγειραι ὁ καθεύδων καὶ ἐξεγέρθητι, καὶ ἐπιφαύσει σοι ὁ Χριστός." Οὗτός ἐστιν ὁ Χριστὸς ὁ ἐν πᾶσι, φησὶ, τοῖς γενητοῖς υἱὸς ἀνθρώπου
31 v. κεχαρακτηρισμένος ἀπὸ τοῦ ἀχαρακτηρίστου λόγος. Τοῦτο, φησὶν, ἐστὶ τὸ μέγα καὶ ἄρρητον Ἐλευσινίων μυστήριον ὕε, κύε, καὶ ὅτι, φησὶν, αὐτῷ πάντα ὑποτέτακται, καὶ τοῦτ' ἐστὶ τὸ εἰρημένον "Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν·" ὡς τὸ τὴν ῥάβδον "κινήσας ὁ Ἑρμῆς, αἱ δὲ, τρίζουσαι ἕπονται" αἱ ψυχαὶ συνεχῶς οὕτως, ὡς διὰ τῆς εἰκόνος ὁ ποιητὴς ἐπιδέδειχε λέγων,

66. Fort. ἢ Χαλδαίῳ? ut in πυρίνῳ θεῷ de astris cogitetur.
69. Cod. ἔχει. Homer. Od. Ω, 2. et E, 47. Ibique Schol. ed. Buttmann. p. 178.
71. Cod. male οὗς.
73. Apocalyps. 2, 27.
78. Delendum ὡς, ex νεκρῶν ut videtur ortum.
80. S. Paul. Ephes. 5, 14.
83. Fort. λόγου.
86. S. Paul. Rom. 10, 18.

ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται.

Πέτρης, φησὶ, τοῦ ἀδάμαντος λέγει. Οὗτος, φησὶν, ἐστὶν ὁ ἀδάμας "ὁ λίθος ὁ ἀκρογωνιαῖος εἰς κεφαλὴν γεγενημένος γωνίας." Ἐν κεφαλῇ γὰρ εἶναι τὸν χαρακτηριστικὸν ἐγκέφαλον τὴν οὐσίαν, ἐξ οὗ πᾶσα πατριὰ χαρακτηρίζεται ὃν, φησὶν, "ἐντάσσω ἀδάμαντα εἰς τὰ θεμέλια Σιὼν," ἀλληγορῶν, φησὶ, τὸ πλάσμα τοῦ ἀνθρώπου λέγει. Ὁ δὲ ἐντασσόμενος ἀδάμας ἐστὶν ὀδόντες, ὡς Ὅμηρος λέγει, "ἕρκος ὀδόντων," τουτέστι τεῖχος καὶ χαράκωμα, ἐν ᾧ ἐστὶν ὁ ἔσω ἄνθρωπος, ἐκεῖθεν ἀποπεπτωκὼς ἀπὸ τοῦ ἀρχανθρώπου ἄνωθεν Ἀδάμαντος, ὁ τμηθεὶς ἄνευ χειρῶν τεμνουσῶν, καὶ κατενηνεγμένος εἰς τὸ πλάσμα τῆς λήθης, τὸ χοϊκὸν, τὸ ὀστράκινον, καὶ φησὶν ὅτι τετριγυῖαι αὐτῷ ἠκολούθουν αἱ ψυχαὶ τῷ λόγῳ,

ὡς αὗται τετριγυῖαι ἅμ' ἦσαν, ἦρχε δ' ἄρα σφιν,

τουτέστιν ἡγεῖτο,

Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα,

τουτέστι, φησὶν, εἰς τὰ πάσης κακίας ἀπηλλαγμένα αἰώνια χωρία. Ποῦ γὰρ, φησὶν, ἦλθον;

Πὰρ δ' ἴσαν ὠκεανοῦ τε ῥοὰς καὶ λευκάδα πέτρην,
32 r. ἠδὲ παρ' ἠελίοιο πύλας καὶ δῆμον ὀνείρων.

Οὗτος, φησὶν, ἐστὶν ὠκεανὸς, "γένεσις θεῶν, γένεσίς τ'

91. Homer. Od. Ω, 6.
92. Cod. τρίζουσι.
ib. Cod. ἐπεὶ καί τις.
93. Cod. ἀλλήλοισιν.
95. S. Petr. 1, 2, 6 et 7.
98. Isaias 28, 16.
2. Homer. Il. Δ, 350. Ξ, 83 et alibi. Cf. Lexic. Duncan. s. v. Ἕρκος.
9. Homer. Od. Ω, 9 et sq. Leg. ὡς αἱ et ᾔισαν.
14. Cod. παρὰ δ' ἔσαν.
15. Cod. ἢ παρ'.
16. Homer. Iliad. Ξ, 201.

ἀνθρώπων·" ἐκ παλιρροίας στρεφόμενος αἰεὶ, ποτὲ ἄνω ποτὲ κάτω. Ἀλλ' ὅταν, φησὶ, κάτω ῥέῃ ὁ ὠκεανὸς, γένεσις ἐστὶν ἀνθρώπων· ὅταν δὲ ἄνω ἐπὶ τὸ τεῖχος καὶ τὸ χαράκωμα καὶ τὴν Λευκάδα πέτρην, γένεσίς τε θεῶν. Τοῦτό ἐστι, φησὶ, τὸ γεγραμμένον, "ἐγὼ εἶπα θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες." "Ἐὰν ἀπὸ τῆς Αἰγύπτου φυγεῖν σπεύδητε καὶ γένησθε πέραν τῆς Ἐρυθρᾶς θαλάσσης εἰς τὴν ἔρημον," τουτέστιν ἀπὸ τῆς κάτω μίξεως ἐπὶ τὴν ἄνω Ἱερουσαλὴμ, ἥτις ἐστὶ μήτηρ ζώντων· "ἐὰν δὲ πάλιν ἐπιστραφῆτε ἐπὶ τὴν Αἴγυπτον," τουτέστιν ἐπὶ τὴν κάτω μίξιν, ὡς ἄνθρωποι ἀποθνήσκετε· θνητὴ γὰρ, φησὶ, πᾶσα ἡ κάτω γένεσις, ἀθάνατος δὲ, ἡ ἄνω γεννωμένη· γεννᾶται γὰρ ἐξ ὕδατος μόνου καὶ πνεύματος, πνευματικὸς, οὐ σαρκικός. Ὁ δὲ κάτω, σαρκικὸς, τουτέστι, φησὶ, τὸ γεγραμμένον "Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα ἐστίν." Αὕτη ἐστὶν ἡ κατ' αὐτοὺς πνευματικὴ γένεσις. Οὗτος, φησὶν, ἐστὶν ὁ μέγας Ἰορδάνης, ὃν κάτω ῥέοντα καὶ κωλύοντα ἐξελθεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου (ἤγουν ἐκ τῆς κάτω μίξεως· Αἴγυπτος γάρ ἐστι τὸ σῶμα κατ' αὐτοὺς) ἀνέστειλεν Ἰησοῦς καὶ ἐποίησεν ἄνω ῥέειν.

8 Τούτοις καὶ τοῖς τοιούτοις ἑπόμενοι οἱ θαυμασιώτατοι Γνωστικοὶ, ἐφευρεταὶ κενῆς τέχνης γραμματικῆς, τὸν ἑαυτῶν προφήτην Ὅμηρον ταῦτα προφαίνοντα ἀρρήτως δοξάζουσι καὶ τοὺς ἀμυήτους τὰς ἁγίας γραφὰς εἰς
32 v. τοιαύτας ἐννοίας συνάγοντες ἐνυβρίζουσι. Λέγουσι δέ· ὁ λέγων τὰ πάντα ἐξ ἑνὸς συνεστάναι, πλανᾶται. Ὁ

20. Fort. γένεσις ἐστὶ θεῶν.
21. S. Jo. Ev. 10, 34, addito S. Luca 6, 35.
22. Fortasse respicit ad quædam ex Stephani Protomartyris oratione, Actor. VII.
31. S. Jo. Ev. 3, 6.
35. Cod. κωλύοντας.

λέγων ἐκ τριῶν, ἀληθεύει, καὶ περὶ τῶν ὅλων τὴν ἀπόδειξιν δώσει. Μία γάρ ἐστι, φησὶν, ἡ μακαρία φύσις τοῦ μακαρίου ἀνθρώπου τοῦ ἄνω τοῦ Ἀδάμαντος· μία δὲ, ἡ θνητὴ κάτω· μία δὲ, ἡ ἀβασίλευτος γενεὰ ἡ ἄνω γενομένη, ὅπου, φησὶν, ἐστὶ Μαριὰμ ἡ ζητουμένη, καὶ Ἰοθὼρ ὁ μέγας σοφὸς, καὶ Σεπφώρα ἡ βλέπουσα, καὶ Μωσῆς, οὗ γένεσις οὐκ ἔστιν ἐν Αἰγύπτῳ· γεγόνασι γὰρ αὐτῷ παῖδες ἐν Μαδιὰμ, καὶ τοῦτο, φησὶν, οὐδὲ τοὺς ποιητὰς λέληθε·

τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.

Δεῖ γὰρ, φησὶ, λαλεῖσθαι τὰ μεγέθη, λαλεῖσθαι δὲ οὕτως ὑπὸ πάντων πανταχῇ, "ἵνα ἀκούοντες μὴ ἀκούωσι, καὶ βλέποντες μὴ βλέπωσιν." Εἰ μὴ γὰρ ἐλαλεῖτο, φησὶ, τὰ μεγέθη, ὁ κόσμος συνεστάναι οὐκ ἠδύνατο. Οὗτοί εἰσιν οἱ τρεῖς ὑπέρογκοι λόγοι, καυλακαῦ, σαυλασαῦ, ζεησάρ. Καυλακαῦ, τοῦ ἀνωτάτω Ἀδάμαντος· σαυλασαῦ, τοῦ κάτω θνητοῦ· ζεησὰρ, τοῦ ἐπὶ τὰ ἄνω ῥεύσαντος Ἰορδάνου. Οὗτος ἐστὶ, φησὶν, ὁ ἐν πᾶσιν ἀρσενόθηλυς ἄνθρωπος· ὃν οἱ ἀγνοοῦντες, Γηρυόνην καλοῦσι τρισώματον, ὡς ἐκ γῆς ῥέοντα Γηρυόνην· κοινῇ δὲ Ἕλληνες ἀπουράνιον μηνὸς κέρας, ὅτι καταμέμιχε καὶ κεκέρακε πάντα πᾶσι. "Πάντα γὰρ, φησὶ, δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ὃ δὲ γέγονεν ἐν αὐτῷ, ζωή ἐστιν." Αὕτη, φησὶν, ἐστὶν ἡ ζωὴ, ἡ ἄρρητος γενεὰ τῶν τελείων ἀνθρώπων, ἣ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνώσθη. Τὸ δὲ "οὐδέν ἐστιν ὃ χωρὶς
33 r. αὐτοῦ γέγονεν," ὁ κόσμος ἰδικός· γέγονε μὲν γὰρ χωρὶς αὐτοῦ ὑπὸ τρίτου καὶ τετάρτου. Τοῦτο, φησὶν, ἐστὶ τὸ ποτήριον τὸ κόνδυ ἐν ᾧ βασιλεὺς πίνων οἰωνίζεται.

54. Homer. Il. O, 189.
56. S. Matth. 13, 13.
63. Cod. γηριόνην.
66. Cod. παντάπασι.
ib. S. Jo. Ev. 1, 3 et 4.
71. Cod. γέγονε, ἓν γάρ.
73. Genes. 44, 2 et 5.

Τοῦτο, φησὶ, κεκρυμμένον εὑρέθη ἐν τοῖς καλοῖς τοῦ Βενιαμὶν σπέρμασι. Λέγουσι δὲ αὐτὸ καὶ Ἕλληνες, φησὶν, οὕτως·

μαινομένῳ στόματι
φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ·
μέθυσόν με καὶ κάρωσον.
Τὸ ποτήριον λέγει μου,
ποδαπόν με δεῖ γενέσθαι.

Τοῦτο, φησὶν, ἤρκει μόνον νοηθὲν ἀνθρώποις, τὸ τοῦ Ἀνακρέοντος ποτήριον ἀλάλως λαλοῦν μυστήριον ἄρρητον. Ἄλαλον γὰρ, φησὶ, τὸ Ἀνακρέοντος φησὶ ποτήριον, ὅπερ αὐτῷ φησὶν Ἀνακρέων λαλεῖ ἀλάλῳ φθέγματι, ποδαπὸν αὐτὸν δεῖ γενέσθαι, τουτέστι πνευματικὸν, οὐ σαρκικὸν, ἐὰν ἀκούσῃ τὸ κεκρυμμένον μυστήριον ἐν σιωπῇ· καὶ τοῦτο ἐστὶ τὸ ὕδωρ τὸ ἐν τοῖς καλοῖς ἐκείνοις γάμοις, ὃ στρέψας ὁ Ἰησοῦς ἐποίησεν οἶνον. Αὕτη, φησὶν, ἐστὶν ἡ μεγάλη καὶ ἀληθινὴ ἀρχὴ τῶν σημείων ἣν ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν βασιλείαν τῶν οὐρανῶν. Αὕτη, φησὶν, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν κατακειμένη ὡς θησαυρὸς, ὡς ζύμη, ὡς ἀλεύρου τρία σάτα κεκρυμμένη. Τουτέστι, φησὶ, τὸ μέγα καὶ ἄρρητον Σαμοθρᾳκῶν μυστήριον, ὃ μόνοις ἔξεστιν εἰδέναι τοῖς τελείοις, φησὶν, ἡμῖν. Διαρρήδην γὰρ οἱ Σαμοθρᾷκες τὸν Ἀδὰμ ἐκεῖνον παραδιδόασιν ἐν τοῖς μυστηρίοις τοῖς ἐπιτελουμένοις παρ' αὐτοῖς ἀρχάνθρωπον. Ἕστηκε δὲ ἀγάλματα δύο ἐν τῷ Σαμοθρᾳκῶν ἀνακτόρῳ ἀνθρώπων γυμνῶν, ἄνω τεταμένας ἐχόντων τὰς χεῖρας ἀμφοτέρας

77. Ex his versibus duos tantum 2 et 3 invenio in edit. Brunck. n. 36 et n. 61.

78. Cod. φέρε ὕδωρ, φέρε οἶνον.

84. Fort. leg. ἄλαλον γάρ, φησιν (id est auctor), Ἀνακρέων φησὶ ποτήριον ὅπερ αὐτῷ λαλεῖ κ. τ. λ.

2. Cod. ἄνω τεμένας.

33 v. εἰς οὐρανὸν, καὶ τὰς αἰσχύνας ἄνω ἐστραμμένας, καθάπερ ἐν Κυλλήνῃ τὸ τοῦ Ἑρμοῦ. Εἰκόνες δέ εἰσι τὰ προειρημενα ἀγάλματα τοῦ ἀρχανθρώπου καὶ τοῦ ἀναγεννωμένου πνευματικοῦ, κατὰ πάνθ' ὁμοουσίου ἐκείνῳ τῷ ἀνθρώπῳ. Τοῦτο, φησὶν, ἐστὶ τὸ εἰρημένον ὑπὸ τοῦ Σωτῆρος, "Ἐὰν μὴ πίνητέ μου τὸ αἷμα καὶ φάγητέ μου τὴν σάρκα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ κἂν πίητε, φησὶ, τὸ ποτήριον ὃ ἐγὼ πίνω, ὅπου ἐγὼ ὑπάγω, ἐκεῖ ὑμεῖς εἰσελθεῖν οὐ δύνασθε." Ἤιδει γὰρ, φησὶν, ἐξ ὁποίας φύσεως ἕκαστος τῶν μαθητῶν αὐτοῦ ἐστὶ, καὶ ὅτι ἕκαστον αὐτῶν εἰς τὴν ἰδίαν φύσιν ἐλθεῖν ἀνάγκη. Ἀπὸ γὰρ τῶν δώδεκα, φησὶ, φυλῶν μαθητὰς ἐξελέξατο δώδεκα, καὶ δι' αὐτῶν ἐλάλησε πάσῃ φυλῇ· διὰ τοῦτο, φησὶ, τὰ τῶν δώδεκα μαθητῶν κηρύγματα οὔτε πάντες ἀκηκόασιν, οὔτε ἐὰν ἀκούσωσι παραδέξασθαι δύνανται. Ἔστι γὰρ αὐτοῖς παρὰ φύσιν τὰ μὴ κατὰ φύσιν. Τοῦτον, φησὶ, Θρᾷκες οἱ περὶ τὸν Αἷμον οἰκοῦντες Κορύβαντα καλοῦσι, καὶ Θρᾳξὶν οἱ Φρύγες παραπλησίως, ὅτι ἀπὸ τῆς κορυφῆς ἄνωθεν καὶ ἀπὸ τοῦ ἀχαρακτηρίστου ἐγκεφάλου τὴν ἀρχὴν τῆς καταβάσεως λαμβάνων, καὶ πάσας τὰς τῶν ὑποκειμένων διερχόμενος ἀρχὰς, πῶς καὶ τίνα τρόπον κατέρχεται οὐ νοοῦμεν, τοῦτ' ἐστὶ, φησὶ, τὸ εἰρημένον, "φωνὴν μὲν αὐτοῦ ἠκούσαμεν, εἶδος δὲ αὐτοῦ οὐχ ἑωράκαμεν." Ἀποτεταγμένου γὰρ, φησὶν, αὐτοῦ καὶ χαρακτηρισμένου ἀκούεται φωνὴ, τὸ δὲ εἶδος τὸ κατελθὸν ἄνωθεν ἀπὸ τοῦ ἀχαρακτηρίστου, ὁποῖον ἐστὶν εἶδεν 34 r. οὐδείς. Ἔστι δὲ ἐν τῷ πλάσματι τῷ χοϊκῷ, γινώσκει δὲ αὐτὸ οὐδείς. Οὗτος, φησὶν, ἐστὶν ὁ τὸν κατακλυσμὸν

8. Cod. φάγετε. S. Matth. 20, 22 et 23. S. Marc. 10, 38 et 39.

26. S. Joann. Ev. 5, 37.

27. Leg. καὶ κεχαρακτηρισμένου.

οἰκῶν θεὸς κατὰ τὸ ψαλτήριον, καὶ φθεγγόμενος [καὶ] κεκραγὼς ἀπὸ ὑδάτων πολλῶν. Ὕδατα, φησὶν, ἐστὶ πολλὰ, ἡ πολυσχιδὴς τῶν θνητῶν γένεσις ἀνθρώπων, ἀφ' ἧς βοᾷ καὶ κέκραγε πρὸς τὸν ἀχαρακτήριστον ἄνθρωπον, “ῥῦσαι λέγων ἀπὸ λεόντων τὴν μονογενῆ μου.” Πρὸς τοῦτον, φησὶν, ἐστὶν εἰρημένον, “Παῖς μου εἶ σὺ Ἰσραὴλ, μὴ φοβοῦ, ἐὰν διὰ ποταμῶν διέλθῃς, οὐ μή σε συγκλύσωσιν, ἐὰν διὰ πυρὸς διέλθῃς, οὐ μή σε συγκαύσει.” Ποταμοὺς, φησὶ, λέγει τὴν ὑγρὰν τῆς γενέσεως οὐσίαν, πῦρ δὲ τὴν ἐπὶ τὴν γένεσιν ὁρμὴν καὶ ἐπιθυμίαν. Σὺ ἐμὸς εἶ, μὴ φοβοῦ. Καὶ πάλιν φησὶν, “Εἰ ἐπιλήσεται μήτηρ τῶν τέκνων αὐτῆς μὴ ἐλεῆσαι μηδὲ ἐπιδοῦναι μαστὸν, κἀγὼ ἐπιλήσομαι ὑμῶν.” Ὁ Ἀδάμας, φησὶ, λέγει πρὸς τοὺς ἰδίους ἀνθρώπους· “Ἀλλὰ εἰ καὶ ἐπιλήσεται ταῦτα γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι ὑμῶν. Ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκα ὑμᾶς.” Περὶ δὲ τῆς ἀνόδου αὐτοῦ, τουτέστι τῆς ἀναγεννήσεως, ἵνα γένηται πνευματικὸς οὐ σαρκικὸς, λέγει, φησὶν, ἡ Γραφὴ, “Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης,” τουτέστι, θαῦμα θαυμάτων. Τίς γὰρ, φησὶν, ἐστὶν οὗτος ὁ βασιλεὺς τῆς δόξης; “Σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ,” αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὁ ἐν πολέμῳ δυνατός. Πόλεμον δὲ λέγει τὸν ἐν σώματι ὅτι ἐκ μαχίμων στοιχείων πέπλασται τὸ πλάσμα, καθὼς γέγραπται, φησὶ, “Μνή-
34 v. σθητι πόλεμον τὸν γινόμενον ἐν σώματι.” Ταύτην, φησὶ, τὴν εἴσοδον καὶ ταύτην τὴν πύλην εἶδεν εἰς

32. Leg. οἰκιῶν secundum Psalm. 38, 10, ubi est τὸν κατακλυσμὸν κατοικιεῖ.
ib. Addidi καί.
34. Cod. πολυσχεδής.
36. Psal. 34, 17.
43 et 46. Jesaias 49, 15 et 16.
46. ἐπιλανθάνομαι accusativo quoque jungit Plato.
50. Psalm. 23, 7.
53. Psalm. 21, 7.
57. Job. 40, 27.

Μεσοποταμίαν πορευόμενος ὁ Ἰακὼβ, ὅπερ ἐστὶν ἀπὸ τοῦ παιδὸς ἔφηβος ἤδη γινόμενος καὶ ἀνὴρ, τουτέστιν ἐγνωρίσθη τῷ εἰς Μεσοποταμίαν πορευομένῳ. Μεσοποταμία δὲ, φησὶν, ἐστὶν ἡ τοῦ μεγάλου ὠκεανοῦ ῥοὴ, ἀπὸ τῶν μέσων ῥέουσα τοῦ τελείου ἀνθρώπου, καὶ ἐθαύμασε τὴν οὐράνιον πύλην εἰπὼν "ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ." Διὰ τοῦτο, φησὶ, λέγει ὁ Ἰησοῦς, "Ἐγώ εἰμι ἡ πύλη ἡ ἀληθινή." Ἔστι δὲ ὁ ταῦτα λέγων ὁ ἀπὸ τοῦ ἀχαρακτηρίστου, φησὶν, ἄνωθεν κεχαρακτηρισμένος τέλειος ἄνθρωπος. Οὐ δύναται οὖν, φησὶ, σωθῆναι ὁ τέλειος ἄνθρωπος, ἐὰν μὴ ἀναγεννηθῇ διὰ ταύτης εἰσελθὼν τῆς πύλης. Τὸν αὐτὸν δὲ τοῦτον φασὶ Φρύγες καὶ πάπαν καλοῦσιν, ὅτι πάντα ἔπαυσεν, ἀτάκτως καὶ πλημμελῶς πρὸ τῆς ἑαυτοῦ φανερώσεως κεκινημένα. Τὸ γὰρ ὄνομα, φησὶ, τοῦ πάπα πάντων ὁμοῦ ἐστὶ τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων λεγόντων, παῦε παῦε τὴν ἀσυμφωνίαν τοῦ κόσμου, καὶ ποίησον εἰρήνην τοῖς μακρὰν, τουτέστι τοῖς ὑλικοῖς καὶ χοϊκοῖς, καὶ εἰρήνην τοῖς ἐγγὺς, τουτέστι τοῖς πνευματικοῖς καὶ νοεροῖς τελείοις ἀνθρώποις. Λέγουσι δὲ οἱ Φρύγες τοῦτον αὐτὸν καὶ νέκυν, οἱονεὶ ἐν μνήματι καὶ τάφῳ ἐγκατωρυγμένον ἐν τῷ σώματι. Τοῦτο, φησὶν, ἐστὶ τὸ εἰρημένον, "Τάφοι ἐστὲ κεκονιαμένοι γέμοντες, φησὶν, ἔσωθεν ὀστέων νεκρῶν," ὅτι οὐκ ἔστιν ἐν ὑμῖν ἄνθρωπος ὁ ζῶν, καὶ πάλιν φησὶν,
35 r. "Ἐξαλοῦνται ἐκ τῶν μνημείων οἱ νεκροὶ," τουτέστιν ἐκ τῶν σωμάτων τῶν χοϊκῶν ἀναγεννηθέντες πνευμα-

60. Genes. 28, 7.
65. Genes. 28, 17.
68. S. Joan. Ev. 10, 9.
73. Bithyni potius, ut alii scriptores referunt.
77. Sup. rubro colore παέ παέ. Quæ forma add. ad Thes. vol. 6, col. 634, init.
80. Fort. καὶ νοεροῖς, τοῖς τελείοις.
83. S. Matth. 23, 27.

τικοὶ, οὐ σαρκικοί. Αὕτη, φησὶν, ἐστὶν ἡ ἀνάστασις ἡ διὰ τῆς πύλης γινομένη τῶν οὐρανῶν, δι' ἧς οἱ μὴ εἰσελθόντες, φησὶ, πάντες μένουσι νεκροί. Οἱ δὲ αὐτοὶ, φησὶ, Φρύγες τὸν αὐτὸν τοῦτον πάλιν ἐκ μεταβολῆς λέγουσι θεόν. Γίνεται γὰρ, φησὶ, θεὸς ὅταν ἐκ νεκρῶν ἀναστὰς διὰ τῆς τοιαύτης πύλης εἰσελεύσεται εἰς τὸν οὐρανόν. Ταύτην, φησὶ, τὴν πύλην Παῦλος οἶδεν ὁ Ἀπόστολος, παρανοίξας ἐν μυστηρίῳ καὶ εἰπὼν "ἡρπάσθαι ὑπὸ ἀγγέλου, καὶ γεγονέναι ἕως δευτέρου καὶ τρίτου οὐρανοῦ εἰς τὸν παράδεισον αὐτὸν, καὶ ἑωρακέναι ἃ ἑώρακε, καὶ ἀκηκοέναι ῥήματα ἄρρητα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν." Ταῦτά ἐστι, φησὶ, τὰ ἄρρητα ὑπὸ πάντων λεγόμενα μυστήρια, "ἃ οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος πνευματικοῖς πνευματικὰ συγκρίνοντες, ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστὶ," καὶ ταῦτά φησιν ἐστὶ τὰ τοῦ Πνεύματος ἄρρητα μυστήρια, ἃ ἡμεῖς ἴσμεν μόνοι. Περὶ τούτων, φησὶν, εἴρηκεν ὁ Σωτὴρ, "οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μή τινα ἑλκύσῃ ὁ πατήρ μου ὁ οὐράνιος." Πάνυ γὰρ, φησὶ, δύσκολον ἐστὶ παραδέξασθαι καὶ λαβεῖν τὸ μέγα τοῦτο καὶ ἄρρητον μυστήριον. Καὶ πάλιν, φησὶν, εἴρηκεν ὁ Σωτὴρ, "Οὐ πᾶς ὁ λέγων μοι Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς." Ὃ δεῖ ποιήσαντας, οὐχὶ ἀκούσαντας μόνον,
35 v. εἰς τὴν βασιλείαν εἰσελθεῖν τῶν οὐρανῶν. Καὶ πάλιν, φησὶν, εἴρηκεν "οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν." Τελῶναι γὰρ, φησὶν, εἰσὶν οἱ τὰ τέλη τῶν ὅλων λαμβάνοντες, ἡμεῖς

95. 2 ad Corinth. 12, 2 et 4.
1. 1 ad Corinth. 2, 13 et 14.
7. Joann. 6, 44.
11. Matth. 7, 21.
16. Matth. 21, 31.

δὲ, φησὶν, ἐσμὲν οἱ τελῶναι εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκε. Τέλη γὰρ, φησὶν, εἰσὶ τὰ ἀπὸ τοῦ ἀχαρακτηρίστου εἰς τὸν κόσμον κατεσπαρμένα σπέρματα, δι' ὧν ὁ πᾶς συντελεῖται κόσμος· διὰ γὰρ αὐτῶν καὶ ἤρξατο γενέσθαι. Καὶ τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον, "Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ τὰ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ κατεπατήθη, τὰ δὲ ἐπὶ τὰ πετρώδη. Καὶ ἐξανέτειλε, φησὶ, καὶ διὰ τὸ μὴ ἔχειν βάθος, ἐξηράνθη καὶ ἀπέθανε. Τὰ δὲ ἔπεσε, φησὶν, ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἀγαθὴν, καὶ ἐποίει καρπὸν, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. Ὁ ἔχων, φησὶν, ὦτα ἀκούειν, ἀκουέτω." Τουτέστι, φησὶν, οὐδεὶς τούτων τῶν μυστηρίων ἀκροατὴς γέγονεν, εἰ μὴ μόνοι Γνωστικοὶ τέλειοι. Αὕτη, φησὶν, ἐστὶν ἡ γῆ ἡ καλὴ καὶ ἀγαθὴ ἣν λέγει Μωϋσῆς· "Εἰσάξω ὑμᾶς εἰς γῆν καλὴν καὶ ἀγαθὴν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι." Τοῦτο, φησὶν, ἐστὶ τὸ μέλι καὶ τὸ γάλα οὗ γευσαμένους τοὺς τελείους, ἀβασιλεύτους γενέσθαι, καὶ μετασχεῖν τοῦ πληρώματος. Τοῦτο, φησὶν, ἐστὶ τὸ πλήρωμα δι' οὗ πάντα γινόμενα γενητὰ ἀπὸ τοῦ ἀγεννήτου γέγονέ τε καὶ πεπλήρωται. Ὁ δὲ αὐτὸς οὗτος ἀπὸ τῶν Φρυγῶν καὶ ἄκαρπος καλεῖται. Ἔστι γὰρ ἄκαρπος ὅταν ᾖ σαρκικὸς καὶ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἐργάζηται. Τοῦτο, φησὶν, ἐστὶ τὸ εἰρημένον "πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται." Καρποὶ γὰρ οὗτοι,
36 r. φησὶν, εἰσὶ μόνον οἱ λογικοὶ ζῶντες ἄνθρωποι οἱ διὰ τῆς πύλης εἰσερχόμενοι τῆς τρίτης. Λέγουσι γοῦν, "εἰ νεκρὰ ἐφάγετε καὶ ζῶντα ἐποιήσατε, τί ἂν ζῶντα φάγητε, ποιήσητε;" Ζῶντα δὲ λέγουσι καὶ λόγους καὶ νόας καὶ ἀνθρώπους, τοὺς μαργαρίτας ἐκείνου τοῦ ἀχαρακτη-

24. S. Marc. IV, 3—9.
33. Num. XVI, 14.
38. Cod. male γένη τά.
42. S. Matth. III, 10.
44. Fort. λογικῶς.

ρίστου ἐρριμμένους εἰς τὸ πλάσμα κάτω. Τουτέστιν ὃ λέγει, φησὶ, "μὴ βάλητε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ τοὺς μαργαρίτας τοῖς χοίροις." Χοίρων καὶ κυνῶν ἔργον λέγοντες εἶναι, τὴν γυναικὸς πρὸς ἄνδρα ὁμιλίαν. Τὸν αὐτὸν δὲ τοῦτον, φησὶν, οἱ Φρύγες καλοῦσιν αἰπόλον, οὐχ ὅτι, φησὶν, ἔβοσκεν αἶγας καὶ τράγους, ὡς οἱ ψυχικοὶ ὀνομάζουσιν, ἀλλ' ὅτι, φησὶν, ἐστὶν αἰπόλος, τουτέστιν ὁ ἀεὶ πολῶν καὶ στρέφων καὶ περιελαύνων τὸν κόσμον ὅλον στροφῇ. Πολεῖν γάρ ἐστι τὸ στρέφειν καὶ μεταβάλλειν τὰ πράγματα· ἔνθε, φησὶ, καὶ τὰ δύο κέντρα τοῦ οὐρανοῦ ἅπαντες προσαγορεύουσι πόλους. Καὶ ὁ ποιητὴς δέ φησι,

πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτὴς,
ἀθάνατος, Πρωτεὺς, Αἰγύπτιος,

οὐ πιπράσκεται, φησὶν, ἀλλὰ στρέφεται αὐτοῦ οἱονεὶ καὶ περιέρχεται. Λέγει καὶ πόλεις ἐν αἷς οἰκοῦμεν ὅτι στρεφόμεθα καὶ πολοῦμεν ἐν αὐταῖς καὶ καλοῦνται πόλεις. Οὕτως, φησὶν, οἱ Φρύγες αἰπόλον τοῦτον καλοῦσι τὸν πάντοτε πανταχῇ στρέφοντα καὶ μεταβάλλοντα πρὸς τὰ οἰκεῖα. Καλοῦσι δὲ αὐτὸν, φησὶ, καὶ πολύκαρπον οἱ Φρύγες, ὅτι πλείονα, φησὶ, τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα, τουτέστι τὰ ἀναγεννώμενα ἀθάνατα καὶ ἀεὶ διαμένοντα ἐστὶ πολλὰ, κἂν ὀλίγα ᾖ τὰ γεννώμενα· τὰ δὲ σαρκικὰ, φησὶν, φθαρτὰ πάντα, κἂν ᾖ πολλὰ πάνυ γεννώμενα. Διὰ τοῦτο,
36 v. φησὶν, ἔκλαιε Ῥαχὴλ τὰ τέκνα καὶ οὐκ ἤθελε, φησὶ, παρακαλεῖσθαι, κλαίουσα ἐπ' αὐτοῖς· ᾔδει γὰρ, φησὶν,

49. Cod. κάρπου pro κάτω.
50. S. Matth. VII, 6.
55. Cod. ἀλλὰ τί, φησὶν, ἐστίν.
56. Cod. π^ω^λων, et alibi.
61. Homer. Od. Δ, 384.
64. Pro λέγει leg. ἀμέλει.
65. καὶ delendum.
69. Esaias LIV, 1; S. Paul. Ep. ad Galat. IV, 27.
74. Cod. ἔλαβε, in marg. ἔκλαιε. Vid. Genes. XXXI, 19; S. Matth. II, 18.

ὅτι οὐκ εἰσί. Θρηνεῖ δὲ καὶ Ἱερεμίας τὴν κάτω Ἱερουσαλὴμ, οὐ τὴν ἐν Φοινίκῃ πόλιν, ἀλλὰ τὴν κάτω γένεσιν τὴν φθαρτήν· ἔγνω γὰρ, φησὶ, καὶ Ἱερεμίας τὸν τέλειον ἄνθρωπον, τὸν ἀναγεννώμενον ἐξ ὕδατος καὶ πνεύματος, οὐ σαρκικόν. Αὐτὸς γοῦν ὁ Ἱερεμίας ἔλεγεν "Ἄνθρωπός ἐστι καὶ τίς γνώσεται αὐτόν;" Οὕτως, φησὶν, ἐστὶ πάνυ βαθεῖα καὶ δυσκατάληπτος ἡ τοῦ τελείου ἀνθρώπου γνῶσις. Ἀρχὴ γὰρ, φησὶν, τελειώσεως, γνῶσις ἀνθρώπου· θεοῦ δὲ γνῶσις, ἀπηρτισμένη τελείωσις. Λέγουσι δὲ αὐτὸν, φησὶ, Φρύγες καὶ χλοερὸν στάχυν τεθερισμένον· καὶ μετὰ τοὺς Φρύγας Ἀθηναῖοι μυοῦντες Ἐλευσίνια, καὶ ἐπιδεικνύντες τοῖς ἐποπτεύουσι τὸ μέγα καὶ θαυμαστὸν καὶ τελειότατον ἐποπτικὸν ἐκεῖ μυστήριον, ἐν σιωπῇ τεθερισμένον στάχυν. Ὁ δὲ στάχυς οὗτός ἐστι καὶ παρὰ Ἀθηναίοις ὁ παρὰ τοῦ ἀχαρακτηρίστου φωστὴρ τέλειος μέγας, καθάπερ αὐτὸς ὁ ἱεροφάντης, οὐκ ἀποκεκομμένος μὲν, ὡς ὁ Ἄττις, εὐνουχισμένος δὲ διὰ κωνείου, καὶ πᾶσαν ἀπηρτισμένος τὴν σαρκίνην γένεσιν, νυκτὸς ἐν Ἐλευσῖνι ὑπὸ πολλῷ πυρὶ τελῶν τὰ μεγάλα καὶ ἄρρητα μυστήρια βοᾷ καὶ κέκραγε λέγων, "ἱερὸν ἔτεκε πότνια κοῦρον Βριμὼ βριμὴ," τουτέστιν ἰσχυρὰ ἰσχυρόν. Πότνια δέ ἐστι, φησὶν, ἡ γένεσις ἡ πνευματικὴ, ἡ ἐπουράνιος, ἡ ἄνω· ἰσχυρὸς δέ ἐστιν ὁ οὕτω γεννώμενος. Ἔστι γὰρ τὸ λεγόμενον μυστήριον Ἐλευσὶν καὶ ἀνακτόρειον. Ἐλευσὶν, ὅτι 37 r. ἤλθομεν, φησὶν, οἱ πνευματικοὶ ἄνωθεν ἀπὸ τοῦ ἀδάμαντος ῥυέντες κάτω· ἐλεύσεσθαι γὰρ, φησὶν, ἐστὶν ἐλθεῖν. Τὸ δὲ ἀνακτόρειον τὸ ἀνελθεῖν ἄνω. Τοῦτο, φησὶν, ἐστὶν ὃ λέγουσιν οἱ κατωργιασμένοι τῶν Ἐλευσινίων τὰ

81. Jeremias XVII, 9.
89. Fort. [τὸν] ἐν.
92. Cod. Ἄττις (sic) [with η written above].
96. Si recta est explicatio, leg. Βριμὼ Βριμῆ, ex Βριμὴς sive Βριμεὺς quæ non habet Thesaurus; vel Βριμὼ βριμὸν, quod Hesychius interpretatur ἰσχυρόν.

μυστήρια. Θέμιον δέ ἐστι τὰ μικρὰ μεμυημένους αὖθις τὰ μεγάλα μυεῖσθαι. Μόροι γὰρ μείζονες, μείζονας μοίρας λαγχάνουσι. Μικρὰ, φησὶν, ἐστὶ τὰ μυστήρια τὰ τῆς Περσεφόνης κάτω, περὶ ὧν μυστηρίων καὶ τῆς ὁδοῦ τῆς ἀγούσης ἐκεῖ, οὔσης πλατείας καὶ εὐρυχώρου καὶ φερούσης τοὺς ἀπολλυμένους ἐπὶ τὴν Περσεφόνην, καὶ ὁ ποιητὴς δέ φησιν·

Αὐτὰρ ὑπ' αὐτήν ἐστιν ἀταρπιτὸς ὀκρυόεσσα,
κοίλη, πηλώδης· ἥτ' ἡγήσασθαι ἀρίστη
ἄλσος ἐς ἱμερόεν πολυτιμήτου Ἀφροδίτης.

Ταῦτ' ἐστὶ, φησὶ, τὰ μικρὰ μυστήρια τὰ τῆς σαρκικῆς γενέσεως, ἃ μυηθέντες οἱ ἄνθρωποι μικρὰ παύσασθαι ὀφείλουσι καὶ μυεῖσθαι τὰ μεγάλα τὰ ἐπουράνια. Οἱ γὰρ τοὺς ἐκεῖ, φησὶ, λαχόντες μόρους, μείζονας μοίρας λαμβάνουσιν. Αὕτη γὰρ, φησὶν, ἐστὶν, ἡ πύλη τοῦ οὐρανοῦ, καὶ οὗτος οἶκος θεοῦ, ὅπου ὁ ἀγαθὸς θεὸς κατοικεῖ μόνος, εἰς ὃν οὐκ εἰσελεύσεται, φησὶν, ἀκάθαρτος οὐδεὶς, οὐ ψυχικὸς, οὐ σαρκικὸς, ἀλλὰ τηρεῖται πνευματικοῖς μόνοις, ὅπου δεῖ γενομένους λαβεῖν τὰ ἐνδύματα καὶ πάντας γενέσθαι νυμφίους ἀπηρσενωμένους διὰ τοῦ παρθενικοῦ πνεύματος. Αὕτη γάρ ἐστιν ἡ παρθένος ἡ ἐν γαστρὶ ἔχουσα καὶ συλλαμβάνουσα καὶ τίκτουσα υἱὸν, οὐ ψυχικὸν, οὐ σωματικὸν, ἀλλὰ μακάριον αἰῶνα αἰώνων. Περὶ τούτων, φησὶ, διαρρήδην εἴρηκεν ὁ Σωτὴρ ὅτι "στενὴ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα
37 v. εἰς τὴν ζωὴν, καὶ ὀλίγοι εἰσὶν οἱ εἰσερχόμενοι εἰς αὐτὴν, πλατεῖα δὲ καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς."

9 Ἔτι δὲ οἱ Φρύγες λέγουσι τὸν πατέρα τῶν ὅλων

6. Leg. θέσμιον? hoc potius quam θέμις vel θεμιτόν.
12. δὲ delendum.
13. Cod. ἀτραπητός.
14. Cod. ἥτ' ἡγήσασθαι.
30. S. Matth. VII. 13 sq.

εἶναι ἀμύγδαλον, οὐχὶ δένδρον φησὶν, ἀλλὰ εἶναι ἀμύγδαλον ἐκεῖνον τὸν προόντα, ὃς ἔχων ἐν ἑαυτῷ τὸν τέλειον καρπὸν οἷον ἰδίᾳ σφύζοντα καὶ κινούμενον, ἐν βάθει διέμυξε τοὺς κόλπους αὐτοῦ, καὶ ἐγέννησε τὸν ἀόρατον καὶ ἀκατονόμαστον ἄρρητον παῖδα ἑαυτοῦ, περὶ οὗ λαλοῦμεν. Ἀμύξαι γάρ ἐστιν οἱονεὶ ῥῆξαι καὶ διατεμεῖν, καθάπερ φησὶν ἐπὶ τῶν φλεγμαινόντων σωμάτων καὶ ἐχόντων ἐν ἑαυτοῖς τινὰ συστροφὴν, ἃς ἀμυχὰς οἱ ἰατροὶ λέγουσιν ἀνατεμόντες· οὕτως, φησὶ, Φρύγες τὸν ἀμύγδαλον καλοῦσιν, ἀφ' οὗ προῆλθε καὶ ἐγεννήθη ὁ ἀόρατος, δι' οὗ τὰ πάντα ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. Συρικτὰν δέ φασιν εἶναι Φρύγες τὸ ἐκεῖθεν γεγεννημένον ὅτι πνεῦμα ἐναρμόνιόν ἐστι τὸ γεγεννημένον. Πνεῦμα γὰρ, φησὶν, ἐστὶν ὁ θεός· διό φησιν, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνοῦσιν, οὔτε ἐν Ἱερουσαλὴμ οἱ ἀληθινοὶ προσκυνηταὶ, ἀλλὰ ἐν πνεύματι. Πνευματικὴ γὰρ, φησὶν, ἐστὶ τῶν τελείων ἡ προσκύνησις, οὐ σαρκική. Τὸ δὲ Πνεῦμα, φησὶν, ἐκεῖ ὅπου καὶ ὁ πατὴρ ὀνομάζεται, καὶ ὁ υἱὸς ἐκ τούτου τοῦ πατρὸς ἐκεῖ γεννώμενος. Οὗτος, φησὶν, ἐστὶν ὁ πολυώνυμος μυριόμματος ἀκατάληπτος, οὗ πᾶσα φύσις ἄλλη
38 r. τε ἄλλως ὀρέγεται. Τοῦτο, φησὶν, ἐστὶ τὸ ῥῆμα τοῦ θεοῦ, ὅ, φησὶν, ἐστὶ ῥῆμα ἀποφάσεως τῆς μεγάλης δυνάμεως· διὸ ἔσται ἐσφραγισμένον καὶ κεκρυμμένον καὶ κεκαλυμμένον κείμενον ἐν τῷ οἰκητηρίῳ, οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται, ἀπό τε αἰώνων, δυνάμεων, ἐπινοιῶν, θεῶν, ἀγγέλων, πνευμάτων ἀπεσταλμένων, ὄντων, μὴ ὄντων, γεγονότων, ἀγεννήτων, ἀκαταλήπτων, καταληπτῶν, ἐνιαυτῶν, μηνῶν, ἡμερῶν, ὡρῶν, στιγμῆς ἀμερίστου, ἐξ ἧς ἐξάρχεται τὸ ἐλάχιστον αὐξῆσαι κατὰ μέρος· ἡ μηδὲν οὖσα, φησὶ, καὶ ἐκ μηδενὸς συνεστῶσα στιγμὴ ἀμέριστος

46. Cod. φησίν. 62. Cod. γεννητῶν. 63. Cod. ἑξῆς.

οὖσα γενήσεται ἑαυτῇ ἐπίνοιαν μέγεθός τι ἀκατάληπτον. Αὕτη, φησὶν, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ὁ κόκκος τοῦ σινάπεως, ἡ ἀμέριστος ἐνυπάρχουσα τῷ σώματι στιγμή· ἣν οἶδε, φησὶν, οὐδεὶς ἢ οἱ πνευματικοὶ μόνοι. Τοῦτο, φησὶν, ἐστὶ τὸ εἰρημένον, "Οὐκ εἰσὶ λόγοι οὐδὲ λαλιαὶ ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν." Ταῦθ' οὕτως σχεδιάζουσι τὰ ὑπὸ πάντων ἀνθρώπων λεγόμενά τε καὶ γινόμενα πρὸς ἴδιον νοῦν, πνευματικὰ φάσκοντες πάντα γίνεσθαι. Ὅθεν καὶ τοὺς θεάτροις ἐπιδεικνυμένους λέγουσι μηδ' αὐτοὺς ἀπρονοήτως τι λέγειν ἢ ποιεῖν. Τοιγαροῦν, φησὶν, ἐπὰν συνελθὼν ὁ δῆμος ἐν τοῖς θεάτροις εἰσίοι τις ἠμφιεσμένος στολὴν ἔξαλλον, κιθάραν φέρων, καὶ ψάλλων, οὕτως λέγει ᾄδων τὰ μεγάλα μυστήρια οὐκ εἰδὼς ἃ λέγει, "εἴτε Κρόνου γένος, εἴτε Διὸς μάκαρος, εἴτε Ῥέας μεγάλης. Χαῖρε τὸ κατηφὲς ἄκουσμα Ῥέας, Ἄττι· σὲ καλοῦσι μὲν Ἀσσύριοι τριπόθητον Ἄδωνιν, ὅλη δ' Αἴγυπτος Ὄσιριν ἐπουρά-
38 v. νιον μηνὸς κέρας, Ἕλληνες σοφίαν, Σαμοθρᾶκες Ἀδὰμ σεβάσμιον, Αἱμόνιοι Κορύβαντα, καὶ οἱ Φρύγες ἄλλοτε μὲν Πάπαν, ποτὲ δὲ νέκυν, ἢ θεὸν, ἢ τὸν ἄκαρπον, ἢ

66. Fort. αὐτῇ τῇ ἐπινοίᾳ.

70. Psalm. XVIII, 4.

74. Fort. καὶ τοὺς τοῖς vel ἐν τοῖς θεάτροις ἐπιδ.

75. Cod. μὴ αὐτούς.

76. Leg. συνέλθῃ—εἰσιών.

79. Splendidum hoc fragmentum sic restituit v. cl. Schneidewin (Philol. tom. III. p. 261):

Εἴτε Κρόνου γένος εἴτε Διὸς μάκαρος
εἴτε Ῥέας μεγάλης,
χαῖρε τὸ κατηχὲς ἄκουσμα Ῥέας,
Ἄττι, σὲ καλοῦσι μὲν Ἀσσύριοι
τριπόθητον Ἄδωνιν,
ὅσιον δ' Αἴγυπτος ἐπουράνιον
μήνης κέρας, Ἕλληνες δ' Ὀφίαν,
Σαμόθρᾳκες Ἀδὰμ σεβάσμιον,
Μαιόνιοι Κορύβαντα καὶ οἱ Φρύγες,
ἄλλοτε μὲν Πάππαν, ποτὲ δ' αὖ νέκυν
ἢ θεόγνητον ἄκαρπον
ἢ χλοερὸν στάχυν ἀμηθέντα
ἢ ὃν πολύκαρπος ἔτικτεν
ἀμύγδαλος ἀνέρα συρικτάν.

Et in alt. hujus carm. particula:

Ἄττιν κλῄσω τὸν Ῥείης,
οὐ κωδώνων σὺμ βόμβοις
οὐδ' αὐλῶν Ἰδαίων
Κουρήτων μύκτητα,
ἀλλ' εἰς Φοιβείαν μίξω
μοῦσαν φορμίγγων, εὐοί,
εὐάν, ὡς Πάν, ὡς Βακχεύς,
ὡς ποιμὴν λευκῶν ἄστρων.

αἰπόλον, ἢ χλοερὸν στάχυν ἀμηθέντα, ἢ ὃν πολύκαρπος ἔτικτεν ἀμύγδαλος ἀνέρα συρικτάν." Τοῦτον φησὶν εἶναι πολύμορφον Ἄττιν, ὃν ὑμνοῦντες λέγουσιν οὕτως· "Ἄττιν ὑμνήσω τὸν Ῥείης, οὐ ὠδινῶν συμβόμβοις, οὐδ' αὐλῶν Ἰδαίων Κουρήτων, μύκτητα, ἀλλ' οἷς Φοιβείαν μίξω μοῦσαν φορμίγγων, εὐοῖ, εὐὰν ὡς Πὰν, ὡς Βακχεὺς, ὡς ποιμὴν λευκῶν ἄστρων." Διὰ τούτους καὶ τοὺς τοιούτους λόγους παρεδρεύουσιν οὗτοι τοῖς λεγομένοις Μητρὸς μεγάλης μυστηρίοις, μάλιστα καθορᾷν νομίζοντες διὰ τῶν δρωμένων ἐκεῖ τὸ ὅλον μυστήριον. Οὐδὲν γὰρ ἔχουσι πλέον οὗτοι τῶν ἐκεῖ δρωμένων, πλὴν ὅτι οὐκ εἰσὶν ἀποκεκομμένοι, μόνον τὸ ἔργον τῶν ἀποκεκομμένων ἐκτελοῦσι. Πάνυ γὰρ πικρῶς καὶ πεφυλαγμένως παραγγέλλουσιν ἀπέχεσθαι ὡς ἀποκεκομμένοι τῆς πρὸς γυναῖκα ὁμιλίας. Τὸ δὲ λοιπὸν ἔργον, ὡς εἰρήκαμεν διὰ πολλῶν, ὥσπερ οἱ ἀπόκοποι δρῶσι· τιμῶσι δὲ οὐκ ἄλλο τι ἢ τὸν νάας οὗτοι Νaασσηνοὶ καλούμενοι. Νάας δέ ἐστιν ὁ ὄφις, ἀφ' οὗ, φησὶ, πάντας εἶναι τοὺς ὑπὸ τὸν οὐρανὸν προσαγορευομένους ναοὺς, ἀπὸ τοῦ νάας· κἀκείνῳ μόνῳ τῷ νάας ἀνακεῖσθαι πᾶν ἱερὸν καὶ πᾶσαν τελετὴν καὶ πᾶν μυστήριον· καὶ καθόλου μὴ δύνασθαι τελετὴν εὑρεθῆναι ὑπὸ τὸν οὐρανὸν, ἐν
39 r. ᾗ ναὸς οὐκ ἔστι, καὶ ὁ νάας ἐν αὐτῷ ἀφ' οὗ ἔλαβε ναὸς καλεῖσθαι. Εἶναι δὲ τὸν ὄφιν λέγουσιν οὗτοι τὴν ὑγρὰν οὐσίαν, καθάπερ καὶ Θαλῆς ὁ Μιλήσιος, καὶ μηδὲν δύνασθαι τῶν ὄντων ὅλως ἀθανάτων ἢ θνητῶν, τῶν ἐμψύχων ἢ ἀψύχων συνεστηκέναι χωρὶς αὐτοῦ. Ὑποκεῖσθαι δὲ αὐτῷ τὰ πάντα, καὶ εἶναι αὐτὸν ἀγαθὸν, καὶ ἔχειν πάντα ἐν αὐτῷ ὥσπερ ἐν κέρατι ταύρου μονοκέρωτος [ * * * ] τὸ κάλλος τῶν ἄλλων καὶ τὴν ὡραιότητα ἐπι-

97. Fort. μόνον [δὲ] τό.
15. Ps. XCI, 11. Leg ἐν αὐτῷ.
16. Post μονοκέρωτος lacuna est, ubi ποταμοῦ τοῦ Παραδείσου mentio

διδόναι πᾶσι τοῖς οὖσι κατὰ φύσιν τὴν ἑαυτῶν καὶ οἰκειότητα, οἷον ἰδίᾳ πάντων ὁδεύοντα, ὥσπερ ἐκπορευόμενον ἐξ Ἐδὲμ καὶ σχιζόμενον εἰς ἀρχὰς τέσσαρας. Ἐδὲμ δὲ εἶναι λέγουσι τὸν ἐγκέφαλον, οἱονεὶ δεδεμένον καὶ κατεσφιγμένον ἐν τοῖς περικειμένοις χιτῶσιν ὥσπερ οὐρανοῖς· παράδεισον εἶναι νομίζουσι τὸν μέχρι μόνης τῆς κεφαλῆς ἄνθρωπον. Ἐξερχόμενον οὖν τοῦτον τὸν ποταμὸν ἐξ Ἐδὲμ, τουτέστιν ἀπὸ τοῦ ἐγκεφάλου, ἀφορίζεσθαι εἰς ἀρχὰς τέσσαρας, "καλεῖσθαι δὲ τὸ ὄνομα τοῦ πρώτου ποταμοῦ Φεισὼν, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐϊλάτ· ἐκεῖ οὖν ἐστὶ τὸ χρυσίον, τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλὸν, καὶ ἐκεῖ ἐστὶν ὁ ἄνθραξ καὶ λίθος ὁ πράσινος." Οὗτος, φησὶν, ὀφθαλμὸς τῇ τιμῇ καὶ τοῖς χρώμασι μαρτυρῶν τῷ λεγομένῳ. "Τὸ δὲ ὄνομα τοῦ δευτέρου ποταμοῦ Γεὼν, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας." Οὗτος, φησὶν, ἐστὶν ἀκοὴ, λαβυρινθώδης τις ὤν. "Καὶ ὄνομα τῷ τρίτῳ, Τίγρις. Οὗτός ἐστιν
39 v. ὁ πορευόμενος κατέναντι Ἀσσυρίων." Οὗτος, φασὶν, ἐστὶν ὄσφρησις ὀξυτάτη χρώμενος τῇ φορᾷ τοῦ ῥεύματος· πορεύεται δὲ κατέναντι Ἀσσυρίων, ὅτι ἐκπνέοντι τῷ πνεύματι κατὰ τὴν ἀναπνοὴν τοῦ ἔξωθεν ἀπὸ τοῦ ἀέρος συρόμενον ὀξύτερον καὶ βιαιότερον ἐπεισέρχεται πνεῦμα. Ἀναπνοῆς γὰρ, φησὶν, αὕτη φύσις. "Ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης." Τοῦτον λέγουσι στόμα, δι' οὗ ἡ τῆς προσευχῆς ἔξοδος, καὶ ἡ τῆς τροφῆς

fiebat, ut apparet ex seqq. παράδεισον et τοῦτον τὸν ποταμὸν, quod nomen non præcessit. Etiam ex sqq. patet τὸ κάλλος et sequentia ad ποταμὸν referri. De lacuna ergo nulla esse potest dubitatio.

22. Leg. παράδεισον δ' εἶναι.

ib. An voluit auctor τὸν λοιπὸν μέχρι? Edem, cerebrum et caput, unde fluvius effunditur in Paradisum: is igitur erit ὁ λοιπὸς ἄνθρωπος ἔξω μόνης τῆς κεφαλῆς. Genes. II. 10: ποταμὸς ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν Παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς κ. τ. λ.

25. Genes. II. 11, et deinceps sequentia.

34. In Genesi V, 14: προπορευόμενος.

37. Malim τὴν ἔξωθεν.

εἴσοδος, εὐφραίνει καὶ τρέφει καὶ χαρακτηρίζει τὸν πνευματικὸν τέλειον ἄνθρωπον. Τοῦτο, φησὶν, ἐστὶ τὸ ὕδωρ τὸ ὑπεράνω τοῦ στερεώματος, περὶ οὗ φησὶν εἴρηκεν ὁ Σωτήρ· "Εἰ ᾔδεις τίς ἐστιν ὁ αἰτῶν, σὺ ἂν ᾔτησας παρ' αὐτοῦ, καὶ ἔδωκεν ἄν σοι πιεῖν ζῶν ὕδωρ ἀλλόμενον." Ἐπὶ τοῦτο, φησὶ, τὸ ὕδωρ πᾶσα φύσις εἰσέρχεται τὰς ἑαυτῆς οὐσίας ἐκλέγουσα, καὶ προσέρχεται ἑκάστῃ φύσει ἀπὸ τοῦ ὕδατος τούτου τὸ οἰκεῖον, φησὶ, μᾶλλον ἢ σίδηρος τῇ Ἡρακλείᾳ λίθῳ, καὶ ὁ χρυσὸς τῇ τοῦ θαλασσίου ἱέρακος κερκίδι, καὶ τῷ ἀχύρῳ τὸ ἤλεκτρον. Εἰ δέ τις, φησὶν, ἐστὶ τυφλὸς ἐκ γενετῆς καὶ μὴ τεθεαμένος φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δι' ἡμῶν ἀναβλεψάτω καὶ ἰδέτω οἱονεὶ διά τινος παραδείσου συμφύτου καὶ πολυσπερμάτου ὕδωρ διερχόμενον διὰ πάντων τῶν φυτῶν καὶ τῶν σπερμάτων, καὶ ὄψεται ὅτι ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ ὕδατος ἐκλέγεται καὶ ἐπισπᾶται ἡ ἐλαία τὸ ἔλαιον, καὶ ἡ ἄμπελος τὸν οἶνον, καὶ τῶν ἄλλων κατὰ γένος ἕκαστον φυτῶν.

40 r. Ἔστι δὲ, φησὶν, ὁ ἄνθρωπος ἐκεῖνος ἄτιμος ἐν τῷ κόσμῳ, καὶ πολύτιμος [ * * * ] ὑπὸ τῶν οὐκ εἰδότων τοῖς οὐκ εἰδόσιν αὐτὸν λελογισμένως· ὡς γὰρ σταγὼν ἀπὸ κάδου οἵτινες ἐσμὲν, φησὶν, οἱ πνευματικοὶ, οἱ ἐκλεγόμενοι ἀπὸ τοῦ ζῶντος ὕδατος τοῦ ῥέοντος Εὐφράτου διὰ τῆς Βαβυλῶνος μέσης, τὸ οἰκεῖον διὰ τῆς πύλης ὁδεύοντες ἀληθινῆς, ἥτις ἐστὶν Ἰησοῦς ὁ μακάριος. Καὶ ἐσμὲν ἐξ ἁπάντων ἀνθρώπων ἡμεῖς Χριστιανοὶ μόνοι ἐν τῇ τρίτῃ πύλῃ ἀπαρτίζοντες τὸ μυστήριον, καὶ χριόμενοι

45. S. Joan. IV, 10.

48. Cod. ἑκάστη φύσις.

51. Leg. τὸ ἄχυρον τῷ ἠλέκτρῳ, ut recte legitur infra p. 137, ubi hæc repetuntur.

52. Cod. ἐκ γεννητῆς.

61. Post verbum πολύτιμος lacuna, quæ sic expleri potest: [ἐν τῷ οὐρανῷ, προδεδομένος].

63. Leg. οὕτως pro οἵτινες, sive saltem τινές.

65. Leg. μέσης, εἰς τὸ οἰκεῖον διά.

ἐκεῖ ἀλάλῳ χρίσματι ἐκ κέρατος ᾧ Δαβὶδ, οὐκ ὀστρακίνου φακοῦ φησὶν ὡς ὁ Σαοὺλ, ὁ συμπολιτευόμενος τῷ πονηρῷ δαίμονι τῆς σαρκικῆς ἐπιθυμίας.

10 Ταῦτα μὲν οὖν ἐκ πολλῶν ὡς ὀλίγα παρεθέμεθα. Ἔστι γὰρ ἀναρίθμητα τῆς μωρίας ἐπιχειρήματα ὄντα φλύαρα καὶ μανιώδη· ἀλλ' ἐπειδὴ δυνάμει τὴν ἄγνωστον αὐτῶν γνῶσιν ἐξεθέμεθα, καὶ τοῦτο ἔδοξε παραθεῖναι. Ψαλμὸς αὐτοῖς ἐσχεδίασται οὕτως, δι' οὗ πάντα αὐτοῖς τὰ τῆς πλάνης μυστήρια δοκοῦσι διὰ ὕμνου ἀεὶ δοῦν οὕτως·

Νόμος ἦν γενικὸς τοῦ παντὸς ὁ πρῶτος νόος·
ὁ δὲ δεύτερος ἦν τοῦ πρωτοτόκου τὸ χυθὲν χάος.
Τριτάτη ψυχὴ δ' ἔλαβεν ἐργαζομένην νόμον.
Διὰ τοῦτ' ἔλαφον μορφὴν περικειμένη
κοπιᾷ θανάτῳ μελέτημα κρατουμένη·
ποτὲ βασιλείαν ἔχουσα βλέπει τὸ φῶς,
ποτὲ δ' εἰς ἔλεον ἐρριμμένη κλαίει,
ποτὲ δὲ κλαίεται χαίρει,
ποτὲ δὲ κλαίει κρίνεται,
ποτὲ δὲ κρίνεται θνήσκει,
ποτὲ δὲ γίνεται ἀνέξοδος ἡ μελέα κακῷ
λαβύρινθον εἰσῆλθε πλανωμένη
40 v. εἶπεν διησοῦς ἐσὸρ πάτερ

69. 1 Reg. X, 1.

74. An pro ὡς ἐδυνάμην vel certe τῇ δυνάμει, cum articulo.

76. Leg. οὗτος.

77. Haud dubie leg. ἀείδειν pro ἀεὶ δοῦν.

79. Psalmus hic manifesto scriptus est anapæstis logaœdicis, quales habemus in Synesii hymnis et in Luciani Tragœdopodagra. Ad hos igitur numeros versus singulos distinxi, paucis emendatis, ne audacius in his valde corruptis versando lectiones codicis obscurarem.

ib. Fort. ὁ πρώτιστος νόος.

81. Leg. τρίτατον.

ib. Leg. ἐργαζομένη et fort. δ' ἔλαβ' ἔνθ' ἐργ.

82. Leg. ἐλάφου, cervi, utpote meticulosa. Cod. τοῦτο ἔλαφον.

84. Leg. ποτὲ μὲν βασιλείαν.

85. Vs. 7—11 sic in codice qui habet ἔλαιον.

ib. Cod. ἐρριμένη.

89. Leg. κακῶν.

90. Leg. ἐσῆλθε.

91. Leg. ut videtur, εἶπεν δ' Ἰησοῦς, ἐσόρα πάτερ.

ζήτημα κακῶν ἐπὶ χθόνα
ἀπὸ σῆς πνοῆς ἐπιπλάζεται.
Ζητεῖ δὲ φυγεῖν τὸ πικρὸν χάος,
καὶ οὐκ οἶδε πῶς διελεύσεται.
Τούτου με χάριν πέμψον, πάτερ·
σφραγῖδας ἔχων καταβήσομαι,
αἰῶνας ὅλους διοδεύσω,
μυστήρια πάντα διανοίξω,
μορφὰς δὲ θεῶν ἐπιδείξω·
καὶ τὰ κεκρυμμένα τῆς ἁγίας ὁδοῦ
γνῶσιν καλέσας, παραδώσω.

11 Ταῦτα μὲν οὖν οἱ Ναασσηνοὶ ἐπιχειροῦσιν, ἑαυτοὺς Γνωστικοὺς ὀνομάζοντες· ἀλλ' ἐπεὶ πολυκέφαλός ἐστιν ἡ πλάνη καὶ πολυσχιδὴς ὡς ἀληθῶς ἱστορουμένη ὕδρα, κατὰ μίαν ταύτης [τὰς] κεφαλὰς πατάξαντες διὰ τοῦ ἐλέγξαι, τῇ τῆς ἀληθείας ῥάβδῳ χρησάμενοι, ἅπαν τὸ θηρίον ἀναιρήσομεν. Οὐδὲ γὰρ αἱ λοιπαὶ αἱρέσεις πολὺ ταύτης ἀπεμφαίνουσι, συνεχόμεναι ἐν πλάνης πνεύματι· ἀλλ' ἐπειδὴ τὰ ῥήματα καὶ τὰ ὀνόματα τοῦ ὄφεως ἐνδιαλλάξαντες πολλὰς εἶναι κεφαλὰς τοῦ ὄφεως ἠθέλησαν, οὐδὲ οὕτως ἐνδεήσομεν διελέγξαι ὡς βούλονται.

12 Ἔστι γοῦν καὶ ἑτέρα τις Περατικὴ, ὧν πολλοῖς ἔτεσιν ἔλαθεν ἡ κατὰ Χριστοῦ δυσφημία· ὧν νῦν εἰς φανερὸν ἄγειν ἔδοξε τὰ ἀπόρρητα μυστήρια. Οὗτοι φάσκουσι τὸν κόσμον εἶναι ἕνα, τριχῇ διῃρημένον. Ἔστι δὲ τῆς τριχῇ διαιρέσεως παρ' αὐτοῖς τὸ μὲν ἓν μέρος οἷον μία τις ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τῷ λόγῳ

92. Fort. post κακῶν inserendum τόδ'.
95. Leg. κοὐκ οἶδεν ὅπως.
99. Leg. δ' ἀνοίξω.
2. Fort. τὰ κρυπτά τε τῆς ἁγ.
6. Cod. πολυσχεδής.
7. Cod. κεφαλὴν pro κεφαλὰς, quod librarius ob μίαν corrupit.
15. Titulus rubricatus: Περάται. Post Περατικὴ fort. desunt quædam.
19. Cod. τριχῆς.

τμηθῆναι τομὰς δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προσεχεστέρα κατ' αὐτοὺς ἐστὶ Τριὰς, καὶ καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν· τὸ δὲ δεύτερον τῆς 41 r. Τριάδος αὐτῶν μέρος οἱονεὶ δυνάμεων ἄπειρόν τι πλῆθος ἐξ αὐτῶν γεγενημένον· τὸ τρίτον, ἰδικόν. Καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον, ὅπερ ἐστὶν ἀγαθόν· τὸ δὲ δεύτερον, ἀγαθὸν αὐτογενές· τὸ τρίτον, γεννητόν· ὅθεν διαρρήδην λέγουσι τρεῖς θεοὺς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου τῆς διαιρέσεως διακεκριμένης διδόασι καὶ θεοὺς, καὶ λόγους, καὶ νοῦς, καὶ ἀνθρώπους, καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ πρὸ τῆς τοῦ κόσμου τομῆς καθεστηκότος λοιπὸν τοῦ κόσμου ἐπὶ συντελείᾳ, κατεληλυθέναι δι' αἰτίας ἃς ὕστερον ἐροῦμεν, ἐν τοῖς Ἡρώδου χρόνοις τριφυῆ τινὰ, καὶ τρίσωμον, καὶ τριδύναμον ἄνθρωπον καλούμενον Χριστὸν, ἀπὸ τῶν τριῶν ἔχοντα τοῦ κόσμου μερῶν ἐν ἑαυτῷ πάντα τὰ συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναι, φησὶ, τὸ λεγόμενον "Πᾶν τὸ πλήρωμα εὐδόκησε κατοικῆσαι ἐν αὐτῷ σωματικῶς, καὶ πᾶσά ἐστιν ἐν αὐτῷ ἡ θεότης" τῆς οὕτω διῃρημένης Τριάδος. Κατενηνέχθαι γάρ φησιν ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου καὶ τοῦ αὐτογενοῦς, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμὲν ἡμεῖς, παντοίων δυνάμεων σπέρματα. Τίς δέ ἐστιν ὁ τρόπος τῆς καταβάσεως αὐτῶν, ὕστερον ἐροῦμεν. Κατεληλυθέναι οὖν φησὶ τὸν Χριστὸν ἄνωθεν ἀπὸ τῆς ἀγεννησίας, ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ πάντα σωθῇ τὰ τριχῇ διῃρημένα. Τὰ μὲν γὰρ, φησὶν, ἄνωθεν κατενηνεγμένα κάτω ἀνελεύσεται δι' αὐτοῦ· τὰ δὲ ἐπιβου-

30. Cod. διακεκρυμμένης. Leg. διακεκριμένους sive διακεκριμένως.
39. S. Paul. ad Coloss. II, 9.
42. Cod. ἀγενήτου.
47. Cod. ἀγενησίας.

λεύσαντα τοῖς κατενηνεγμένοις ἄνωθεν ἀφίει, καὶ κολασθέντα ἀπολέγεται. Τοῦτό ἐστι, φησὶ, τὸ εἰρημένον,
41 v. “Οὐ γὰρ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὸν κόσμον, ἀπολέσαι τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.” Κόσμον, φησὶ, καλεῖ τὰς δύο μοίρας τὰς ὑπερκειμένας, τήν τε ἀγέννητον καὶ τὴν αὐτογέννητον. Ὅταν δὲ λέγῃ φησὶν “ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν” ἡ Γραφὴ, τὴν τρίτην μοῖραν λέγει τοῦ κόσμου τοῦ ἰδικοῦ. Τὴν μὲν γὰρ τρίτην δεῖ φθαρῆναι, ἣν καλεῖ κόσμον· τὰς δὲ δύο τῆς φθορᾶς ἀπαλλαγῆναι τὰς ὑπερκειμένας.

13 Μάθωμεν οὖν πρῶτον πῶς ταύτην τὴν διδαχὴν παρὰ τῶν ἀστρολόγων εἰληφότες, ἐπηρεάζουσι Χριστὸν, ἐργαζόμενοι φθορὰν τοῖς ἑπομένοις αὐτοῖς ἐν τῇ τοιαύτῃ πλάνῃ. Οἱ γὰρ ἀστρολόγοι ἕνα τὸν κόσμον εἰρηκότες, διαιροῦσιν αὐτὸν εἰς τὰ ἀπλανῆ τῶν ζῳδίων μέρη δώδεκα, καὶ καλοῦσι τὸν κόσμον τῶν ζῳδίων τῶν ἀπλανῶν, ἕνα κόσμον ἀπλανῆ· ἕτερον δὲ εἶναι τὸν τῶν πλανωμένων καὶ δυνάμει καὶ θέσει καὶ ἀριθμῷ κόσμον λέγουσιν, ὅ ἐστι μέρος σελήνης. Λαμβάνειν δὲ κόσμον ἀπὸ κόσμου δύναμίν τινα καὶ μετουσίαν, καὶ μετέχειν ἀπὸ τῶν ὑπερκειμένων τὰ ὑποκείμενα. Ἵνα δὲ ἔσται τὸ λεγόμενον ἐμφανὲς, αὐταῖς ἐκείναις ταῖς τῶν ἀστρολόγων ἐκ μέρους χρήσομαι φωναῖς ὑπομνήσων τοὺς ἐντυγχάνοντας τὰ προειρημένα ἐν τῷ τόπῳ οὗ ἐξεθέμεθα τὴν τῶν ἀστρολόγων πᾶσαν τέχνην. Ἃ μὲν οὖν ὡς ἐκείνοις δοκεῖ ἔστι τάδε· ἀπὸ τῆς τῶν ἄστρων ἀπορροίας τὰς γενέσεις τῶν ὑποκειμένων ἀποτελεῖσθαι.
42 r. Περιεργότερον γὰρ ἀναβλέψαντες εἰς τὸν οὐρανὸν οἱ Χαλδαῖοι, ἔφθασαν δραστικῶν μὲν αἰτιῶν ἐπέχειν λόγον

52. S. Joann. III, 17.
56. S.Paul. Ep. 1 ad Cor. XI, 32.
73. Cod. χρήσωμαι.
75. Fort. del. ὡς.
79. Cod. ἔφθασαν.

εἰς ἕκαστον τῶν καθ' ἡμᾶς συμβαινόντων, συνεργεῖν δὲ τὰ τῶν ἀπλανῶν ζῳδίων [* * *] μέρη δώδεκα, ἕκαστον δὲ ζῴδιον εἰς μοίρας τριάκοντα, ἑκάστην δὲ μοῖραν εἰς ἑξήκοντα λεπτά· οὕτω γὰρ καλοῦσι τὰ ἐλάχιστα καὶ τὰ ἀμερῆ. Τῶν δὲ ζῳδίων τὰ μὲν ἀρρενικὰ καλοῦσι, τὰ δὲ θηλυκά· καὶ τὰ μὲν, δίσωμα, τὰ δὲ, οὔ· καὶ τὰ μὲν τροπικὰ, τὰ δὲ ἕτερα. Ἀρρενικὰ μὲν οὖν ἐστὶν ἢ θηλυκὰ ἅπερ συνεργὸν ἔχει φύσιν πρὸς ἀρρενογονίαν· Κριὸς γὰρ ἀρρενικόν ἐστι ζῴδιον, Ταῦρος δὲ θηλυκόν· καὶ τὰ λοιπὰ κατὰ τὴν αὐτὴν ἀναλογίαν, ἃ μὲν ἀρρενικὰ, ἃ δὲ θηλυκά. Ἀφ' ὧν οἴομαι Πυθαγορικοὶ κινηθέντες, τὴν μὲν μονάδα ἄρρεν προσαγορεύουσι, τὴν δὲ δυάδα θῆλυ, τὴν δὲ τριάδα πάλιν ἄρρεν· καὶ ἀναλόγως τοὺς λόγους τῶν τε ἀρτίων τε καὶ περισσῶν ἀριθμῶν. Ἔνιοι δὲ καὶ ἕκαστον ζῴδιον εἰς δωδεκατημόριον διελόντες, τῇ αὐτῇ σχεδὸν ἐφόδῳ χρῶνται· οἷον ἐπὶ Κριοῦ, καλοῦσιν ἄρρεν· τὸ δὲ δεύτερον, Ταῦρον, ἄρρεν τε καὶ θῆλυ· τὸ δὲ τρίτον, Διδύμους, καὶ ἄρρεν, καὶ ἐπὶ τῶν ἄλλων μοιρῶν δὶς ὁ αὐτὸς λόγος. Δίσωμα δὲ εἶναι λέγουσι ζῴδια τὰ διαμετροῦντα τούτοις Τοξότην, Παρθένον τε καὶ Ἰχθύας· οὐ δίσωμα δὲ, τὰ λοιπά. Καὶ ὡσαύτως τροπικὰ μὲν, ἐν οἷς γενόμενος ὁ ἥλιος μεγάλας ἐμπεριποιεῖ τοῦ περιέχοντος ῥοπάς. Ἄρρεν ἐστὶ ζῴδιον ὅ τε Κριὸς καὶ ὁ τούτου διάμετρος, καθάπερ
42 v. Ζυγὸς, Αἰγόκερώς τε καὶ Καρκίνος. Ἐν Κριῷ μὲν γὰρ ἐαρινὴ γίνεται τροπή· ἐν Αἰγοκέρῳ δὲ, χειμερινή· ἐν Καρκίνῳ δὲ, θερινή· ἐν Ζυγῷ δὲ, φθινοπωρινή. Ταῦτα

81. Hic sine dubio lacuna est.
87. Haud dubie πρὸς ἀρρενογονίαν [ἢ θηλυγονίαν].
90. Fort. οἱ Πυθαγορικοί.
93. Del. alterum τε.
97. Fort. καὶ αὐτὸ ἄρρεν.
98. Fort. del. δὶς ob sequens δίσωμα ortum.
2. Cod. τροπικάς.
3. Post ῥοπὰς fort. desunt quædam.
5. Cod. male ἀπόκερως.

δὲ καὶ τὸν περὶ τοῦτον λόγον λεπτομερῶς ἐξεθέμεθα ἐν τῇ πρὸ ταύτης βίβλῳ, ὅθεν ἔστι μαθεῖν τὸν φιλομαθῆ ὡς οἱ τῆς Περατικῆς αἱρέσεως ἀρχηγοὶ, Εὐφράτης ὁ Περατικὸς καὶ Κέλβης ὁ Καρύστιος, μεταγαγόντες ὀνόματι μόνον διήλλαξαν, δυνάμει δὲ τὰ ὅμοια ἔθεντο, καὶ αὐτοὶ τῇ τέχνῃ κατακόρως προσέχοντες. Ἃ γὰρ ὅρια τῶν ἀστέρων οἱ ἀστρολόγοι λέγουσιν, ἐν οἷς μᾶλλον δύνασθαι φάσκουσι τοὺς ἄρχοντας ἀστέρας, οἷον ἔν τισι δὲ ἀγαθοποιοῦσιν, ὧν καί τινας κακοποιοὺς λέγουσι, τινὰς δὲ, ἀγαθοποιούς. Ἐπιβλέπειν δὲ λέγονται ἀλλήλους, καὶ συμφωνεῖν ἀλλήλοις, οἳ κατὰ τρίγωνον συσχηματίζονται ἐπιθεωροῦντες ἀλλήλους ἀστέρες, ἐπὶ τριῶν ζῳδίων ἔχοντες τὰ μεταξὺ διαλείμματα, καὶ τετράγωνον δὲ δυεῖν μὲν τὰ ἄνω κεφαλὴ, τὰ δὲ ὑποκείμενα μέρη πάσχειν συμπάσχειν. Συμπάσχειν δὲ καὶ τοῖς ὑποκειμένοις τὴν κεφαλὴν, οὕτως καὶ τοῖς ὑπερσεληναίοις τὰ ἐπίγεια. Ἄλλη γάρ τις ἐστὶ τούτων διαφορὰ καὶ συμπάθεια, ὡς μὴ μίαν καὶ τὴν αὐτὴν ἐχόντων ἕνωσιν. Ταύτην τὴν σύστασιν καὶ τὴν διαφορὰν τῶν ἄστρων Χαλδαϊκὴν ὑπάρχουσαν πρὸς ἑαυτοὺς ἐπισπασάμενοι οὓς προείπομεν, ἐπιψευσάμενοι τῷ τῆς ἀληθείας ὀνόματι, ὡς Χριστοῦ λόγον κατήγγειλαν αἰώνων στά-
43 r. σιν, καὶ ἀποστασίας ἀγαθῶν δυνάμεων εἰς κακὰ, καὶ συμφωνίας ἀγαθῶν μετὰ πονηρῶν προσαγορεύουσι, καλοῦντες τοπάρχας καὶ προαστείους, καὶ ἄλλα πλεῖστα ὀνόματα ἀναπλάσσοντες ἑαυτοὺς οὐχ ὑποκείμενα, ἀλλὰ τὴν τῶν ἀστρολόγων περὶ τοὺς ἀστέρας πᾶσαν φαντα-

11—12. Malim ὀνόματα.

15. Post οἷον lacuna videtur quæ sic expleri potest: οἷον [ἔν τισι μὲν κακοποιοῦσιν,] ἔν τισι δὲ ἀγαθοποιοῦσιν.

21. Si τετράγωνον sana est lectio, vocabula δυεῖν μὲν corrupta videntur, nisi etiam aliqua sunt omissa: sequentia fortasse scribenda: τὰ sive τὰ μὲν ἄνω κεφαλῇ, τὰ δὲ ὑποκείμενα μέρη ἰσχίῳ συμπάσχειν.

33. Fort. ἑαυτοῖς.

σίαν ἀτέχνως τεχνολογοῦντες, μεγάλης πλάνης ὑπόθεσιν ἐπεισάγοντες, ἐξελεγχθήσονται σὺν τῇ ἡμετέρᾳ ἐμμελείᾳ. Ἀντιπαραθήσω γὰρ τῇ προλελεγμένῃ τῶν ἀστρολόγων Χαλδαϊκῇ τέχνῃ ἔνια τῶν Περατικῶν συνταγμάτων, ἀφ᾽ ὧν ὑπάρξει συγκρίναντας κατανοῆσαι πῶς οἱ Περάται λόγοι τῶν ἀστρολόγων ὁμολογουμένως εἰσὶν, οὐ Χριστοῦ.

14 Δοκεῖ οὖν παρατάξαι μίαν τινὰ τῶν παρ᾽ αὐτοῖς δοξαζομένων βίβλων ἐν ᾗ λέγει· "ἐγὼ φωνὴ ἐξυπνισμοῦ ἐν τῷ αἰῶνι τῆς νυκτός· λοιπὸν ἄρχομαι γυμνοῦν τὴν ἀπὸ τοῦ χάους δύναμιν. Ἡ δύναμις τοῦ ἀβυσσικοῦ θόλου ἡ τὸν πηλὸν ἀναβαστάζουσα τοῦ ἀφθάρτου ἀχανοῦς διΰγρου, ἡ τοῦ σπάσματος ὅλη δύναμις ὑδατόχρους ἀεικίνητος φέρουσα τὰ μένοντα, κατέχουσα τὰ τρέμοντα, ἀπολύουσα τὰ ἐρχόμενα, κουφίζουσα τὰ μένοντα, καθαιροῦσα τὰ αὔξοντα, πιστὴ οἰκονόμος τοῦ ἴχνους τῶν ἀέρων, ἡ τὰ ἀνερευγόμενα ἀπὸ τῶν δώδεκα ὀφθαλμῶν ἐντολῆς ἀπολαύουσα, σφραγῖδα δηλοῦσα πρὸς τὴν μετ᾽ αὐτῶν οἰκονομοῦσαν τῶν ἐπιφερομένων ἀοράτων ὑδάτων δύναμιν, ἐκλήθη θάλασσα. Ταύτην τὴν δύναμιν ἡ ἀγνωσία ἐκάλεσε Κρόνον, δεσμοῖς φρουρούμενον, ἐπεὶ ἔσφιγγε τὸ σύμπλεγμα τοῦ πυκνοῦ καὶ ὁμιχλώδους ἀδήλου σκοτεινοῦ ταρτάρου. Ταύτης ἐγένοντο κατ᾽ εἰ-
43 v. κόνα Κηφεὺς, Προμηθεὺς, Ἰαπετός. Δύναμις πεπιστευμένη τὴν θάλασσαν ἀρρενόθηλυς, ἣ τὸν ἀνατρέχοντα συριγμὸν ἀπὸ τῶν δώδεκα στομάτων τοῖς δώδεκα αὐλίσκοις ἁρμόζουσα διαχύνει λεπτὴ οὖσα καὶ καθαιροῦσα τὴν κατέχουσαν λάβρον ἀναφορὰν, καὶ σφραγίζει ἀτρα-

39. Cod. συγκρίναντες.
40. Fort. leg. Περατῶν.
48. τὰ μένοντα bis habet codex; delend. vel hoc, vel illud, aut fort. leg. στείνοντα.
56. Cod. τῆς pro τοῦ.
59. Cod. ἣ pro ἥ.
61. Cod. δαχύνει.

πῶν ὁδοὺς αὐτῆς, πρὸς τὸ μὴ πολεμῆσαι ἢ ἐναλλάξαι τὸ, μὴ δι' αὐτῆς θυγάτηρ τυφωνικὴ πιστὴ φύλαξ ὑδάτων παντοίων. Ὄνομα αὐτῇ Χορζάρ· ταύτην ἡ ἀγνωσία ἐκάλεσε Ποσειδῶνα, οὗ κατ' εἰκόνα ἐγένετο Γλαῦκος, Μελικέρτης, Ἴη, Νεβρόη. Περιεσφαιρωκὼς τὴν δωδεκαγώνιον πυραμίδα, πύλην εἰς πυραμίδα σκοτίζων ποικίλαις χροαῖς καὶ ἀπαρτίζων πᾶσαν τὴν νυκτόχρουν. Τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Κόρην, οὗ λειτουργοὶ πέντε, πρῶτος Οὖ, δεύτερος Ἀοαὶ, τρίτος Οὐὼ, τέταρτος Οὐωὰβ, πέμπτος [* *] ἄλλοι πιστοὶ οἰκονόμοι αὐτοῦ τῆς τοπαρχίας ἡμέρας καὶ νυκτὸς οἱ ἀναπαυόμενοι ἐν τῇ ἐξουσίᾳ αὐτῶν. Τούτους ἡ ἀγνωσία ἐκάλεσε τοὺς πλανήτας ἀστέρας, ἐφ' ὧν ἡ φθαρτὴ γένεσις ἠώρηται. Ἀέρος ἀνατολῆς οἰκονόμος, καρφακασημεοχεὶρ, ἐκκαββάκαρα· τούτους ἐκάλεσεν ἡ ἀγνωσία Κουρήτας· ἄρχων ἀνέμων τρίτος Ἀριὴλ, οὗ κατ' εἰκόνα ἐγένετο Αἴολος, Βριάρης. Καὶ ἄρχων δωδεκαώρου νυκτερινῆς Σοκλὰν, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ὄσιριν· τούτου κατ' εἰκόνα ἐγένετο Ἄδμητος, Μήδεια, Ἕλλην, Αἴθουσα. Ἄρχων ἡμερινῆς δωδεκαώρου Εὐνώ· οὗτος οἰκονόμος τῆς πρωτοκαμάρου ἀνατολῆς καὶ αἰθερίου, ὅ[ν] ἐκάλεσεν ἡ ἀγνωσία Ἶσιν. Τούτου σημεῖον τὸ κυνὸς ἄστρον, οὗ κατ' εἰ-
44 r. κόνα ἐγένοντο Πτολεμαῖος ὁ Ἀρσινόης, Διδύμη, Κλεοπάτρα, Ὀλυμπιάς. Δύναμις θεοῦ δεξιὰ, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Ῥέαν, οὗ κατ' εἰκόνα ἐγένοντο Ἄττις, Μυγδώνη, Οἰνώνη. Δύναμις ἀριστερὰ τροφῆς ἐξουσιάζει, ἣν ἐκάλεσεν ἡ ἀγνωσία Δήμητραν, ὄνομα αὐτῇ Βένα· τούτου κατ' εἰκόνα ἐγένοντο Κελεὸς, Τριπτόλεμος, Μίσυρ, Ἀπραξία. Δύναμις δεξιὰ ἐξουσιάζει καρπῶν·

67. Fort. Ἰνὼ, Νεφέλη.
ib. Cod. δωδεκαγόνιον (ω superscr.).
72. Hic lacuna.
75. Cod. ἀιώρηται (ε superscr.).
83. Cod. ὅ.
88. Leg. Μυγδόνη.

τοῦτον ἡ ἀγνωσία ἐκάλεσε Μῆνα, οὗ κατ' εἰκόνα ἐγένοντο Βουμέγας, Ὀστάνης, Ἑρμῆς τρισμέγιστος, Κουρίτης, Πετόσιρις, Ζωδάριον, Βηρωσὸς, Ἀστράμψουχος, Ζωρόαστρις. Δύναμις πυρὸς εὐώνυμος· τοῦτον ἡ ἀγνωσία ἐκάλεσεν Ἥφαιστον, οὗ κατ' εἰκόνα ἐγένοντο Ἐριχθόνιος, Ἀχιλλεὺς, Καπανεὺς, Φλέγων, Μελέαγρος, τὰ δύηκεν, Κέλαδος, Ῥαφαὴλ, Σουριὴλ, Ὀμφάλη. Δυνάμεις τρεῖς μέσαι τοῦ ἀέρος κρεμάμεναι, αἰτίαι γενέσεως. Ταύτας ἡ ἀγνωσία ἐκάλεσε Μοίρας, ὧν κατ' εἰκόνα ἐγένοντο οἶκος Πριάμου, οἶκος Λαΐου, Ἰνὼ, Αὐτονόη, Ἀγαυὴ, Ἀθάμας, Πρόκνη, Δαναΐδες, Πελιάδες. Δύναμις ἀρσενόθηλυς ἀεὶ νηπιάζουσα, ἀγήρατος, αἰτία κάλλους, ἡδονῆς, ἀκμῆς, ὀρέξεως, ἐπιθυμίας, ὃν ἐκάλεσεν ἡ ἀγνωσία Ἔρωτα, οὗ κατ' εἰκόνα ἐγένοντο Πάρις, Νάρκισσος, Γανυμήδης, Ἐνδυμίων, Τιθωνὸς, Ἰκάριος, Λήδα, Ἀμυμώνη, Θέτις, Ἑσπερίδες, Ἰάσων, Λέανδρος, Ἡρώ." Οὗτοι εἰσὶν οἱ προάστειοι ἕως αἰθέρος· οὕτω γὰρ καὶ ἐπιγράφει τὸ βιβλίον.

15 Καταφανὴς σύμπασιν εὐκόλως γεγένηται ἡ τῶν Πε-
44 v. ρατῶν αἵρεσις, ἀπὸ τῆς τῶν ἀστρολόγων μεθηρμοσμένη τοῖς ὀνόμασι μόνοις. Τὸν δὲ αὐτὸν τρόπον περιέχει καὶ τὰ ἕτερα αὐτῶν βιβλία, εἴ τινι φίλον εἴη διὰ πάντων ἐλθεῖν. Πάντων γὰρ, ὡς ἔφην, τῶν γεννητῶν τῆς γενέσεως αἴτια νομίζουσιν εἶναι τὰ ἀγέννητα καὶ τὰ ὑπερκείμενα, καὶ γεγονέναι κατὰ ἀπόρροιαν τὸν κόσμον τὸν καθ' ἡμᾶς, ὃν ἰδικὸν ἐκεῖνοι καλοῦσι· καὶ τούτους πάντας ὁμοῦ τοὺς ἀστέρας τοὺς θεωρουμένους ἐν τῷ οὐρανῷ τῆς γενέσεως αἰτίους γεγονέναι, τοὺς δὲ τοῦ κόσμου ἐναλλάξαντας αὐτῶν τὸ ὄνομα ὡς ἀπὸ τῶν προαστείων

93. Pro Βουμέγας fort. Βουζύγης.
98. Vix dubium quin lateat Τάλως, et κεν natum sit ex seq. κέλ.
3. Cod. Ἀθαμάς.
11. Cod. καταφανῆ.
17. Cod. ἀπορίαν.
21. Cod. ἐναλλάξαντες.

ἔστι συγκρίναντας εὑρεῖν. Δεύτερον δὲ δὴ κατὰ τὸν αὐτὸν τρόπον ὡς γέγονεν ὁ κόσμος ἀπὸ τῆς ἀπορροίας τῆς ἄνω, οὕτως τὰ ἐνθάδε ἀπὸ τῆς ἀπορροίας τῶν ἀστέρων γένεσιν ἔχειν καὶ φθορὰν λέγουσι καὶ διοικεῖσθαι. Ἐπεὶ γοῦν οἱ ἀστρολόγοι ἴσασιν ὡροσκόπον καὶ μεσουράνημα, καὶ δύσιν καὶ ἀντιμεσουράνημα, καὶ τούτων τῶν ἄστρων ἄλλοτε ἄλλως γινομένων διὰ τὴν στροφὴν ἀεὶ τοῦ παντὸς ἄλλοτε ἄλλα ἀποκλίματα εἶναι κατὰ κέντρον, καὶ κέντροις ἐπαναφορὰς, ἀλληγοροῦντες τὴν διαταγὴν τῶν ἀστρολόγων, τὸ μὲν κέντρον οἱονεὶ θεὸν καὶ μονάδα καὶ κύριον τῆς πάσης γενέσεως ὑποτυποῦντες, τὸ δὲ ἀπόκλιμα, ἀριστερόν· τὴν δ' ἐπαναφορὰν, δεξιόν. Ὅταν οὖν τοῖς γράμμασιν αὐτῶν ἐντυχών τις δύναμιν εὑρίσκῃ παρ' αὐτοῖς λεγομένην δεξιὰν ἢ ἀριστερὰν, ἀνατρεχέτω ἐπὶ τὸ κέντρον καὶ τὸ ἀπόκλιμα καὶ τὴν ἀναφορὰν, κατόψεται σαφῶς πᾶσαν αὐτῶν τὴν πραγματείαν ἀστρολογικὴν διδασκαλίαν καθεστῶσαν.

16 Καλοῦσι δὲ αὐτοὺς Περάτας, μηδὲν δύνασθαι νομί-
45 r. ζοντες τῶν ἐν γενέσει καθεστηκότων διαφυγεῖν τὴν ἀπὸ τῆς γενέσεως τοῖς γεγενημένοις ὡρισμένην μοῖραν. Εἰ γάρ τι, φησὶ, γεννητὸν ὅλως καὶ φθείρεται, καθάπερ καὶ Σιβύλλῃ δοκεῖ, μόνοι δὲ, φησὶν, ἡμεῖς οἱ τὴν ἀνάγκην τῆς γενέσεως ἐγνωκότες καὶ τὰς ὁδοὺς δι' ὧν εἰσελήλυθεν ὁ ἄνθρωπος εἰς τὸν κόσμον, ἀκριβῶς δεδιδαγμένοι διελθεῖν καὶ περᾶσαι τὴν φθορὰν μόνοι δυνάμεθα. Ἔστι δὲ ἡ φθορὰ, φησὶ, τὸ ὕδωρ, οὐδὲ ἄλλῳ τινὶ, φησὶν, ἐφθάρη τάχιον ὁ κόσμος ἢ ὕδατι. Τὸ δὲ ὕδωρ ἐστὶ τὸ περιεσφαιρωκὸς ἐν τοῖς προαστείοις, λέγουσιν, ὁ Κρόνος· δύναμις γὰρ, φησὶν, ὑδατόχρους, ἥντινα δύναμιν,

28. Fort. κινουμένων.
37. Leg. καὶ ὄψεται.
42. Fort. πᾶν pro τι.
43. Fort. δὴ pro δέ.
47. Cod. ἄλλως τινι.

φησὶ, τουτέστι τὸν Κρόνον, οὐδεὶς τῶν ἐν γενέσει καθεστώτων διαφυγεῖν δύναται· πάσῃ γὰρ γενέσει πρὸς τὸ ὑποπεσεῖν τῇ φθορᾷ αἴτιος ἐφέστηκεν ὁ Κρόνος, καὶ οὐκ ἂν γένοιτο γένεσις ἐν ᾗ Κρόνος οὐκ ἐμποδίζει. Τοῦτό ἐστι, φησὶν, ὃ καὶ οἱ ποιηταὶ λέγουσι τὸ καὶ τοὺς θεοὺς ἐκψοφοῦν·

Ἴστω γὰρ, φησὶ, τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν·
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν.

Οὐ μόνον δὲ τοῦτο, φησὶν, οἱ ποιηταὶ λέγουσιν, ἀλλ' ἤδη καὶ οἱ σοφώτατοι τῶν Ἑλλήνων, ὧν ἐστὶ καὶ Ἡράκλειτος, "εἷς," λέγων, "ψυχῆς εἰ γὰρ θάνατος, ὕδωρ γενέσθαι·" οὗτος, φησὶν, ὁ θάνατος καταλαμβάνει τοὺς Αἰγυπτίους ἐν Ἐρυθρᾷ θαλάσσῃ μετὰ τῶν ἁρμάτων αὐτῶν. Πάντες δὲ οἱ ἀγνοοῦντες, φησὶν, εἰσὶν Αἰγύπτιοι. Καὶ τοῦτό ἐστι, λέγουσι, τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου ἐκ τοῦ σώματος. Αἴγυπτον γὰρ εἶναι μικρὰν
45 v. τὸ σῶμα νομίζουσι, καὶ περᾶσαι τὴν θάλασσαν τὴν Ἐρυθρὰν, τουτέστι τῆς φθορᾶς τὸ ὕδωρ ὅ ἐστιν ὁ Κρόνος· καὶ γενέσθαι πέραν τῆς Ἐρυθρᾶς θαλάσσης, τουτέστι τῆς γενέσεως, καὶ ἐλθεῖν εἰς τὴν ἔρημον, τουτέστιν ἔξω γενέσεως γενέσθαι, ὅπου εἰσὶν ὁμοῦ πάντες οἱ θεοὶ τῆς ἀπωλείας καὶ ὁ θεὸς τῆς σωτηρίας. Εἰσὶ δὲ, φησὶν, οἱ θεοὶ τῆς ἀπωλείας οἱ ἀστέρες οἱ τῆς μεταβλητῆς γενέσεως, ἐπιφέροντες τοῖς γινομένοις τὴν ἀνάγκην. Τούτους, φησὶν, ἐκάλεσε Μωϋσῆς ὄφεις τῆς ἐρήμου δάκνοντας καὶ διαφθείροντας τοὺς πεπερακέναι

56. ἐκψοφέω, novum vocabulum, significat haud dubie *terreo*: nisi legendum ἐκφοβοῦν. Φρικτὸν τοῖς θεοῖς de eodem jurejurando pag. 145, 33.
57. Homer. Od. E, 185.
58. Cod. κατιβόμενον.
59. Cod. μακάρεσι.
62. Pro εἰ γὰρ leg. εἴη ἄν.
66. Cod. τοῦτο ἐπιλέγουσι.
77. Numer. XXI, 6.

νομίζοντας τὴν Ἐρυθρὰν θάλασσαν. Δακνομένοις οὖν, φησὶν, ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ ἐπέδειξε Μωϋσῆς τὸν ἀληθινὸν ὄφιν τὸν τέλειον, εἰς ὃν οἱ πιστεύοντες οὐκ ἐδάκνοντο ἐν τῇ ἐρήμῳ, τουτέστιν ἀπὸ τῶν δυνάμεων. Οὐδεὶς οὖν, φησὶν, ὁ δυνάμενος σῶσαι καὶ ῥύσασθαι τοὺς ἐκπορευομένους ἐκ γῆς Αἰγύπτου, τουτέστιν ἐκ σώματος καὶ ἐκ τοῦδε τοῦ κόσμου, εἰ μὴ μόνος ὁ τέλειος, ὁ πλήρης τῶν πληρῶν ὄφις. Ἐπὶ τοῦτον, φησὶν, ὁ ἐλπίσας, ὑπὸ τῶν ὄφεων τῆς ἐρήμου οὐ διαφθείρεται, τουτέστι τῶν θεῶν τῆς γενέσεως. Γεγραπται, φησὶν, ἐν βίβλῳ Μωσέως· οὗτος, φησὶν, ὁ ὄφις ἐστὶν ἡ δύναμις ἡ παρακολουθήσασα τῷ Μωσεῖ, ἡ ῥάβδος ἡ στρεφομένη εἰς ὄφιν. Ἀνθεστήκεισαν δὲ, φησὶ, τῇ δυνάμει Μωσέως Αἰγύπτῳ τῶν μάγων οἱ ὄφεις, οἱ θεοὶ τῆς ἀπωλείας· ἀλλὰ πάντας αὐτοὺς ὑπέταξε καὶ διέφθειρεν ἡ ῥάβδος Μωσέως. Ὁ καθολικὸς ὄφις, φησὶν, οὗτός ἐστιν ὁ σοφὸς τῆς Εὔας λόγος. Τοῦτο, φησὶν, ἐστὶ μυστήριον Ἐδὲμ, τοῦτο ποταμὸς ἐξ Ἐδὲμ, τοῦτο σημεῖον τὸ τεθὲν τῷ Κάϊν, ἵνα πᾶς ὁ εὑρίσκων αὐτὸν μὴ ἀποκτείνῃ. Οὗτος, φησὶν, ἐστὶ Κάϊν, οὗ τὴν θυσίαν οὐ προσεδέξατο
46 r. ὁ θεὸς τοῦδε τοῦ κόσμου. Τὴν δὲ ᾑμαγμένην προσήκατο τοῦ Ἄβελ· αἵμασι γὰρ χαίρει ὁ τοῦδε τοῦ κόσμου δεσπότης. Οὗτός ἐστι, φασὶν, ὁ ἐν ἐσχάταις ἡμέραις ἐν ἀνθρώπου μορφῇ φανεὶς ἐν τοῖς χρόνοις Ἡρώδου, γενόμενος κατ᾽ εἰκόνα Ἰωσὴφ τοῦ πεπραγμένου ἐκ χειρὸς ἀδελφῶν, οὗ μόνον τὸ ἔνδυμα ἦν ποικίλον. Οὗτός ἐστι, φησὶν, ὁ κατ᾽ εἰκόνα Ἠσαῦ, οὗ καὶ μὴ παρόντος ἡ στολὴ εὐλόγηται, ὃς οὐκ ἐδέξατο, φησὶ, τὴν ἀμβλυωπὸν εὐλογίαν, ἀλλ᾽ ἐπλούτησεν ἔξωθεν, οὐδὲν ἀπὸ τοῦ ἀμβλυωποῦντος λαβὼν, οὗ εἶδε τὸ πρόσωπον Ἰακὼβ,

78. Cod. δακνομένους—τοὺς υἱούς.
85. Cod. ὄφεις.
88. Exod. IV, 17.
91. Leg. ἐν Αἰγύπτῳ.
3. Leg. πεπραμένου, venditi.
8. Genes. XXVII, 1.

ὡς ἂν ἴδοι ἄνθρωπος πρόσωπον θεοῦ. Περὶ τούτου, φησὶ, γέγραπται ὡς "Νεβρὼδ γίγας κυνηγὸς ἔναντι Κυρίου." Εἰσὶ δὲ, φησὶ, τούτου ἀντίμιμοι πολλοὶ τοσοῦτοι, ὅσοι ὤφθησαν ἐν τῇ ἐρήμῳ τοῖς υἱοῖς Ἰσραὴλ δάκνοντες, ἀφ' ὧν ἐρρύσατο τοὺς δακνομένους ὁ τέλειος ἐκεῖνος ὃν ἔστησε Μωϋσῆς. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον "καθ' ὃν τρόπον ὕψωσε Μωϋσῆς τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου." Τούτου κατ' εἰκόνα γέγονεν ὁ ὄφις ἐν τῇ ἐρήμῳ χαλκοῦς, ὃν ἔστησε Μωϋσῆς. Τούτου, φησὶ, μόνου τὸ ὁμοίωμα ἐν τῷ οὐρανῷ διὰ παντὸς ἐστὶν φωτὶ ὁρώμενον. Οὗτος, φησὶν, ἐστὶν ἡ μεγάλη ἀρχὴ περὶ ἧς γέγραπται. Περὶ τούτου, φησὶν, εἴρηται, "ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεὸν, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν· ἐν αὐτῷ ζωή ἐστιν." Ἐν αὐτῷ δὲ, φησὶν, ἡ Εὕα γέγονεν, ἡ Εὕα ζωή. Αὕτη δὲ, φησὶν, ἐστὶν ἡ Εὕα μήτηρ πάντων τῶν ζώντων,
46 v. κοινὴ φύσις, τουτέστι θεῶν, ἀγγέλων, ἀθανάτων, θνητῶν, ἀλόγων, λογικῶν· ὁ γὰρ "πάντων," φησὶν, εἰπὼν εἴρηκε πάντων· καὶ εἴ τινος, φησὶν, οἱ ὀφθαλμοὶ μακάριοι, οὗτος ὄψεται ἀναβλέψας εἰς τὸν οὐρανὸν τοῦ ὄφεως τὴν καλὴν εἰκόνα, ἐν τῇ μεγάλῃ ἀρχῇ τοῦ οὐρανοῦ στρεφομένην καὶ γινομένην ἀρχὴν πάσης κινήσεως πᾶσι τοῖς γινομένοις. Γνώσεται ὅτι χωρὶς αὐτοῦ [οὐδὲν] οὔτε τῶν οὐρανίων οὔτε τῶν ἐπιγείων, οὔτε τῶν καταχθονίων συνέστηκεν. Οὐ νὺξ, οὐ σελήνη, οὐ καρποὶ, οὐ γένεσις, οὐ πλοῦτος, οὐχ ὁδοιπορία, οὐδ' ὅλως τι τῶν ὄντων ἐστὶ δίχα σημαίνοντος ἐκείνου. Ἐπὶ τούτου,

10. Genes. X, 9.

15. Cod. male καὶ ὃν, quod mutavi in καθ' ὃν ex Joann. Ev. III, 14, ubi καθώς.

21. S. Joan. Ev. I, 1–4.

29. Legendum, ni fallor, εἴρηκε τούτων, "hos dixit sive intellexit."

33. Cod. γνώσετε—αὐτοῦ οὔτε.

φησὶν, ἐστὶ τὸ μέγα θαῦμα ὁρώμενον ἐν τῷ οὐρανῷ τοῖς δυναμένοις ἰδεῖν. Κατὰ γὰρ, φησὶ, ταύτην τὴν ἄκραν αὐτοῦ τὴν Κεφαλὴν, ὅπερ πάντων ἀπιστότερον τοῖς οὐκ εἰδόσι, "μίσγονται δύσις τε καὶ ἀνατολὴ ἀλλήλαις." Τουτέστι περὶ οὗ εἶπεν ἡ ἀγνωσία, ἐν οὐρανῷ

εἱλεῖται μέγα θαῦμα δράκων δεινοῖο πελώρου.

Ἑκατέρωθεν δὲ αὐτοῦ παρατέτακται Στέφανος καὶ Λύρα, καὶ κατ' αὐτὴν ἄνωθεν τὴν Κεφαλὴν ἄκραν ἐλεεινὸς ἄνθρωπος ὁ Ἐν γόνασιν ἐστὶν ὁρώμενος,

δεξιτεροῦ ποδὸς ἄκρον ἔχων σκολιοῖο δράκοντος.

Κατὰ δὲ τὸν νῶτον τοῦ Ἐν γόνασιν ἐστὶν ἀτελὴς ὄφις ἀμφοτέραις ταῖς χερσὶ κατεσφιγμένος ὑπὸ τοῦ ὀφιούχου, καὶ κωλυόμενος ἐφάψασθαι τοῦ στεφάνου παρακειμένου τῷ τελείῳ ὄφει.

17 Αὕτη ἡ παμποίκιλος σοφία Περατικῆς αἱρέσεως, ἣν ἐξειπεῖν πᾶσαν δυσχερὲς, οὕτως οὖσαν σκολιὰν διὰ τὸ ἐκ τῆς ἀστρολογικῆς δοκεῖν συνεστάναι. Καθὸ οὖν δυνατὸν ἦν, δι' ὀλίγων πᾶσαν αὐτῆς τὴν δύναμιν ἐκτε-
47 r. θείμεθα. Ἵνα δὲ δι' ἐπιτομῆς τὴν πᾶσαν αὐτῶν γνώμην ἐκθώμεθα, δοκεῖ προσθεῖναι ταῦτα. Ἔστι κατ' αὐτοὺς τὸ πᾶν πατὴρ, υἱὸς, ὕλη· τούτων τῶν τριῶν ἕκαστον ἀπείρους ἔχει δυνάμεις ἐν ἑαυτῷ. Καθέζεται οὖν μέσος τῆς ὕλης καὶ τοῦ πατρὸς ὁ υἱὸς, ὁ λόγος, ὁ ὄφις ἀεὶ κινούμενος πρὸς ἀκίνητον τὸν πατέρα καὶ κινουμένην τὴν ὕλην, καὶ ποτὲ μὲν στρέφεται πρὸς τὸν πατέρα, καὶ ἀναλαμβάνει τὰς δυνάμεις εἰς τὸ πρόσωπον ἑαυτοῦ, ἀναλαβὼν δὲ τὰς δυνάμεις στρέφεται πρὸς τὴν ὕλην, καὶ ἡ ὕλη ἄποιος οὖσα καὶ ἀσχημάτιστος ἐκτυποῦται

41. Respicit Aratum v. 62, ex quo pluralis substantivorum ut reponatur hic non necesse est.

44. Idem v. 46.

48. Id. v. 70.

53. Fort. τῆς Περατικῆς.

τὰς ἰδέας ἀπὸ τοῦ υἱοῦ, ἃς ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς ἐτυπώσατο. Ἐκτυποῦται δὲ ὁ μὲν υἱὸς ἀπὸ τοῦ πατρὸς ἀρρήτως καὶ ἀλάλως καὶ ἀμεταστάτως οὕτως ὥς φησι Μωϋσῆς ἀπὸ τῶν ῥάβδων τῶν ἀπὸ τῶν ποτιστηρίων ῥερευκέναι τὰ χρώματα τῶν ἐγκεκισσημένων. Ὁμοίως δ᾽ αὖ καὶ ἀπὸ τοῦ υἱοῦ ἐπὶ τὴν ὕλην ῥερευκέναι τὰς δυνάμεις κατὰ τὸ ἐγκίσσημα τῆς δυνάμεως τῆς ἀπὸ τῶν ῥάβδων ἐπὶ τὰ ἐγκεκισσημένα· ἡ δὲ διαφορὰ τῶν χρωμάτων, καὶ ἡ ἀνομοιότης ῥεύσασα ἀπὸ τῶν ῥάβδων διὰ τῶν ὑδάτων ἐπὶ τὰ πρόβατα, διαφορὰ, φησὶ, γενέσεώς ἐστι φθαρτῆς καὶ ἀφθάρτου· μᾶλλον δὲ ὥσπερ ζωγραφῶν ἀπὸ τῶν ζῴων μηδὲν ἀφαιρούμενος, τῇ γραφίδι πάσας ἐπὶ τὸν πίνακα μεταφέρει τὰς ἰδέας ἐγγράφων, οὕτως ὁ υἱὸς τῇ δυνάμει τῇ ἑαυτοῦ ἀπὸ τοῦ πατρὸς ἐπὶ τὴν ὕλην τοὺς πατρικοὺς μεταφέρει χαρακτῆρας. Ἔστιν οὖν πάντα τὰ πατρικὰ ἐνθάδε καὶ οὐδέν. Εἰ γάρ τις, φησὶν, ἐξισχύσει τῶν ἐνθάδε καὶ ἐννοηθῆναι ὅτι
47 v. ἔσται πατρικὸς χαρακτὴρ ἄνωθεν μετενηνεγμένος ἐνθάδε, σωματοποιηθεὶς ὥσπερ ἐγκίσσημά τι τὸ ἀπὸ τῆς ῥάβδου λευκὸν γέγονεν ὁμοούσιον τῷ πατρὶ τῷ ἐν τοῖς οὐρανοῖς, ὅλος κατ᾽ οἰκείαν ἔρχεται· ἐὰν δὲ μὴ τύχῃ τῆς διδασκαλίας ταύτης μηδὲ τὴν ἀνάγκην τῆς γενέσεως ἐπιγνῷ, ὥσπερ ἔκτρωμα ὑπὸ νύκτα γεννώμενον ὑπὸ νύκτα ἀπολεῖται. Ὅταν οὖν, φησὶ, λέγῃ ὁ Σωτὴρ, "Ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς," ἐκεῖνον λέγει, ἀφ᾽ οὗ ὁ υἱὸς μεταλαβὼν τοὺς χαρακτῆρας μετενήνοχεν ἐνθάδε· ὅταν δὲ λέγῃ "Ὁ ὑμέτερος πατὴρ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος ἐστὶ," τὸν ἄρχοντα καὶ δημιουργὸν τῆς ὕλης λέγει, ὃς ἀναλαβὼν τοὺς διαδοθέντας ἀπὸ τοῦ υἱοῦ χαρακτῆρας,

70. Genes. XXX, 38 seqq.
83. Fort. ὡς pro καί.
85. Cod. ἐν κίσσημα.
87. Cod. κατοικεῖ ἀνέρχεται.
90. Cod. λέγει.
93. S. Joann. Ev. VIII, 44.
94. Cod. ὡς leg. ὅς.

ἐγέννησεν ἐνθάδε, ὅ ἐστιν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος· τὸ γὰρ ἔργον αὐτοῦ φθορὰν καὶ θάνατον ἐργάζεται. Οὐδεὶς οὖν, φησὶ, δύναται σωθῆναι διὰ τοῦ υἱοῦ οὐδὲ ἀνελθεῖν ὅς ἐστιν ὁ ὄφις. Ὡς γὰρ κατήνεγκεν ἄνωθεν τοὺς πατρικοὺς χαρακτῆρας, οὕτως πάλιν ἐντεῦθεν ἀναφέρει τοὺς ἐξυπνισμένους καὶ γεγονότας πατρικοὺς χαρακτῆρας ὑποστάτους ἐκ τοῦ ἀνυποστάτου ἐντεῦθεν ἐκεῖ μεταφέρων. Τοῦτ' ἐστὶ φησὶ τὸ εἰρημένον, "Ἐγώ εἰμι ἡ θύρα." Μεταφέρει δὲ, φησὶ, *καμμοῦσιν ὀφθαλμοῦ βλεφάρου,* ὥσπερ ὁ ἀνάφθας τὸ πῦρ πανταχόθεν εἰς ἑαυτὸν ἐπισπώμενος, μᾶλλον δὲ ὥσπερ ἡ ἡρακλεία λίθος τὸν σίδηρον, ἄλλο [δὲ] οὐδὲν, ἢ ὥσπερ ἡ τοῦ θαλασσίου ἱέρακος κερκὶς τὸ χρυσίον, ἕτερον δὲ οὐδέν· ἢ ὥσπερ ἄγεται ἀπὸ τοῦ ἠλέκτρου τὸ ἄχυρον, οὕτω, φησὶν, ὑπὸ τοῦ ὄφεως ἄγεται πάλιν ἀπὸ τοῦ κόσμου τὸ ἐξεικονισμένον τέλειον γένος ὁμοούσιον, ἄλλο δὲ οὐδὲν,
48 r. καθὼς ὑπ' αὐτοῦ κατεπέμφθη. Πρὸς ταύτην τὴν ἀπόδειξιν φέρουσι τὴν τοῦ ἐγκεφάλου ἀνατομὴν, αὐτὸν μὲν τὸν ἐγκέφαλον ἀπεικονίζοντες τῷ πατρὶ διὰ τὸ ἀκίνητον, τὴν δὲ παρεγκεφαλίδα τῷ υἱῷ διά τε τὸ κινεῖσθαι καὶ δρακοντοειδῆ ὑπάρχειν, ἣν ἀρρήτως καὶ ἀσημάντως ἐπισπᾶσθαι διὰ τοῦ κωναρίου φάσκουσι τὴν ἐκ τοῦ μακαρίου ἀπορρέουσαν πνευματικὴν καὶ ζωογόνον οὐ-

96. Cod. ὅς ἐστιν.

98. Leg. vel σωθῆναι οὐδὲ ἀνελθεῖν εἰ μὴ διὰ τοῦ υἱοῦ ὅς ἐστιν, vel sine transpositione σωθῆναι εἰ μὴ διὰ τοῦ υἱοῦ οὐδὲ ἀνελθεῖν οὗ ἐστὶν ὁ ὄφ.

2. Cod. ἐξυπνισμούς.

4. S. Jo. Ev. X, 7.

5. Deletis vocabulis quæ inter asteriscos posui, locus recte procedit. Respiciuntur Esaiæ VI, 10 verba καμμύουσι τοὺς ὀφθαλμοὺς (quod est apud Xenophontem καταμύειν τὰ βλέφαρα) aliquoties in N. T. repetita. Sed fort. leg. Διαφέρει δὲ, φησὶ, καμμύουσιν ὀφθαλμοῖς βλέφαρον.

6. Ἀνάφθας non mutavi in νάφθας: nam notissimum omnibus studium Græcorum peregrina vocabula ad domestica etyma (ἀνάπτω) reducendi studium.

8. Addidi δέ.

12. Cod. ἄλλοι δὲ οὐδέν.

19. Pro μακαρίου fort. leg. ἐγκρανίου.

σίαν, ἣν ὑποδεξαμένη ἡ παρεγκεφαλὶς ὥσπερ ὁ υἱὸς, ἀλάλως μεταδίδωσι τῇ ὕλῃ τὰς ἰδέας, τουτέστιν ἐπὶ τὸν νωτιαῖον μυελὸν διαρρέει τὰ σπέρματα καὶ τὰ γένη τῶν γενομένων κατὰ σάρκα. Τούτῳ τῷ παραδείγματι χρώμενοι, εὐφυῶς δοκοῦσι παρεισάγειν τὰ ἄρρητα αὐτῶν ἀλάλως παραδιδόμενα μυστήρια, ἃ ἐξειπεῖν ἡμῖν οὐ θέμις, πολλῶν δὲ νοῆσαι διὰ τῶν εἰρημένων εὔκολον.

18 Ἀλλ' ἐπεὶ καὶ τὴν Περατικὴν αἵρεσιν νομίζω φανερῶς ἐκτεθεῖσθαι καὶ διὰ πολλῶν ἔκδηλον πεποιηκέναι ἀεὶ λαθοῦσαν καὶ παντάπασι συντιθεμένην, ἀποκρύπτουσάν τε τὸν ἴδιον ἰὸν, δοκεῖ μηδὲν περαιτέρω τούτων κατηγορεῖν, ἱκανῶν ὄντων πρὸς κατηγορίαν αὐτῶν τῶν ὑπ' αὐτῶν δογματιζομένων.

19 Ἴδωμεν οὖν τί λέγουσιν οἱ Σιθιανοί. Τούτοις δοκεῖ τῶν ὅλων εἶναι τρεῖς ἀρχὰς περιωρισμένας· ἑκάστην δὲ τῶν ἀρχῶν ἀπείρους ἔχειν δυνάμεις. Δυνάμεις δι' αὐτῶν λεγόντων λογιζέσθω ὁ ἀκούων τοῦτο αὐτοὺς λέγειν· "Πᾶν ὅ τι νοήσει ἐπινοεῖς, ἢ καὶ παραλείπεις μὴ νοηθὲν, τοῦτο ἑκάστῃ τῶν ἀρχῶν πέφυκε γενέσθαι ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἡτισοῦν διδασκομένη τέχνη· οἱονεὶ, φησὶ, γενήσεται τοῦτο τὸ παιδίον αὐλητὴς,
48 v. ἐγχρονίσαν αὐλητῇ, ἢ γεωμέτρης γεωμέτρῃ, γραμματικῷ γραμματικὸς, τέκτων τέκτονι, καὶ ταῖς ἄλλαις ἁπάσαις τέχναις ἐγγὺς γινόμενον ὁμοίως συμβήσεται. Αἱ δὲ τῶν ἀρχῶν, φησὶν, οὐσίαι φῶς καὶ σκότος· τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ

21. Cod. ἀλλάλλως.
25. Cod. ἀλλάλως.
26. Leg. videtur πολλοῖς.
30. Multa hic offendunt; fortasse [ἕως] ἄρτι λαθοῦσαν, ut initio libri dictum ἢ πολλοῖς ἔτεσιν ἔλαθεν. Sequentia quoque suspecta, quamquam συντιθέναι non raro de rebus fictis et dolose compositis dicitur.
36. Fort. δ' αὐτῶν.
39. Cod. ἑκάστην.
40. Cod. ἀνθρωπί ψυχῇ (sic).
ib. Cod. ἥτις οὖν.
41. Cod. γένηται.

τεταγμένον ἐν μέσῳ τοῦ σκότους ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτὸς ὅπερ ἐστὶν ἄνω, οὐκ ἔστι πνεῦμα, ὡς ἄνεμος, ἢ ῥιπὴ, ἢ λεπτή τις αὖρα νοηθῆναι δυναμένη, ἀλλ' οἱονεὶ μύρου τις ὀσμὴ, ἢ θυμιάματος ἐκ συνθέσεως κατεσκευασμένου, λεπτὴ διοδεύουσα δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι ἢ λόγῳ ἔστιν ἐξειπεῖν εὐωδίᾳ. Ἐπεὶ δὴ ἄνω ἐστὶ τὸ φῶς καὶ κάτω [τὸ] σκότος, καὶ τούτων ὡς ἔφην τοιοῦτον τρόπον ὂν μέσον τὸ πνεῦμα, τὸ φῶς πέφυκε, καθάπερ δή τις ἥλιος ἄνωθεν ἐλλάμπει εἰς τὸ ὑποκείμενον σκότος· ἀνάπαλιν δὲ ἡ τοῦ πνεύματος εὐωδία διαμέση ἔχουσαν τάξιν ἐκτείνεται καὶ φέρεται πανταχῆ, ὡς ἐπὶ τῶν ἐν πυρὶ θυμιαμάτων τὴν εὐωδίαν πανταχῆ φερομένην ἐπεγνώκαμεν. Τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν εἰρημένων τριχῶς, τοῦ πνεύματος καὶ τοῦ φωτὸς ὁμοῦ ἡ δύναμίς ἐστιν ἐν τῷ σκότει τῷ κάτωθεν αὐτῶν τεταγμένῳ. Τὸ δὲ σκότος ὕδωρ ἐστὶ φοβερὸν, εἰς ὃ κατέσπασται καὶ μετενήνεκται εἰς τὴν τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Τὸ δὲ σκότος ἀσύνετον οὐκ ἔστιν, ἀλλὰ φρόνιμον παντελῶς· καὶ οἶδεν ὅτι ἂν ἀπαρθῇ τὸ φῶς ἀπὸ τοῦ σκότους,
49 r. μένει τὸ σκότος ἔρημον, ἀφανὲς, ἀλαμπὲς, ἀδύναμον, ἄπρακτον, ἀσθενές. Διὸ πάσῃ φρονήσει καὶ συνέσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Καὶ τούτων ἔστιν ἰδεῖν τῆς φύσεως εἰκόνα κατὰ πρόσωπον ἀνθρώπου, κόρην ὀφθαλμοῦ, σκοτεινὴν ἐκ τῶν ὑποκειμένων ὑδάτων, πεφωτισμένην πνεύματι. Ὡς οὖν ἀντι-

52. Cod. ἐπειδή.
53. Cod. κάτω σκότος.
54. Cod. ὄν.
ib. Cod. τὸ δὲ φῶς.
55. Cod. ἡλίου—ἐλλάμπειν.
57. Fort. εὐωδία μέσην ἔχουσα τάξιν: nam errore repetitæ videntur literæ δια: sive διὰ μέσης.
60. Pro τριχῶς fort. leg. τριῶν ἀρχῶν, ut legitur p. 138, 35. et p. 140, 79 et 91.
61. Cod. τοῦ κάτωθεν.
66. Cod. καὶ οὐδὲν ὅτι.
69. Cod. εἰς ἑαυτόν.

ποιεῖται τὸ σκότος τῆς λαμπηδόνος, ἵνα ἔχῃ τὸν σπινθῆρα δουλεύοντα καὶ βλέπῃ, οὕτως ἀντιποιεῖται τὸ φῶς καὶ τὸ πνεῦμα τῆς δυνάμεως τῆς ἑαυτῶν· καὶ σπεύδουσιν ἆραι καὶ ἀνακομίσασθαι πρὸς ἑαυτὰς τὰς μεμιγμένας αὐτῶν δυνάμεις εἰς τὸ ὑποκείμενον ὕδωρ σκοτεινὸν καὶ φοβερόν. Πᾶσαι δὲ αἱ δυνάμεις τῶν τριῶν ἀρχῶν οὖσαι κατ' ἀριθμὸν ἀπειράκις ἄπειροι εἰσὶν ἑκάστη κατὰ τὴν οὐσίαν τὴν ἑαυτῆς φρόνιμοι, νοεραὶ, ἀναρίθμητοι τὸ πλῆθος. Φρόνιμοι δὲ οὖσαι καὶ νοεραὶ, ἐπειδὰν μένωσι κατ' αὐτὰς, ἡσυχάζουσι πᾶσαι· ἐὰν δὲ πλησιάσῃ δύναμις δυνάμει, ἡ ἀνομοιότης τῆς παραθέσεως ἐργάζεται κίνησίν τινα καὶ ἐνέργειαν, ἀπὸ τῆς κινήσεως μεμορφωμένην κατὰ τὴν συνδρομὴν τῆς παραθέσεως τῶν συνελθουσῶν δυνάμεων. Γίνεται γὰρ τῶν δυνάμεων ἡ συνδρομὴ, οἱονεί τις τύπος σφραγῖδος, κατὰ συνδρομὴν ἀπὸ πληγῆς παραπλησίως πρὸς τὸν ἐκτυποῦντα τὰς ἀναφερομένας οὐσίας. Ἐπεὶ οὖν ἄπειροι μὲν κατ' ἀριθμὸν τῶν τριῶν ἀρχῶν αἱ δυνάμεις, ἐκ δὲ τῶν
49 v. ἀπείρων δυνάμεων ἄπειροι συνδρομαὶ, ἀναγκαίως γεγόνασιν ἀπείρων σφραγίδων εἰκόνες. Αὗται οὖν εἰσὶν αἱ εἰκόνες αἱ τῶν διαφόρων ζῴων ἰδέαι. Γέγονεν οὖν ἐκ πρώτης τῶν τριῶν ἀρχῶν συνδρομῆς μεγάλης μεγάλη τις ἰδέα, σφραγὶς οὐρανοῦ καὶ γῆς. Σχῆμα δὲ ἔχουσιν ὁ οὐρανὸς καὶ ἡ γῆ μήτρᾳ παραπλήσιον τὸν ὀμφαλὸν ἐχούσῃ μέσον, καὶ εἰ, φησὶν, ὑπὸ ὄψιν ἀγαγεῖν θέλει τις τὸ σχῆμα τοῦτο, ἔγκυον μήτραν ὁποίου βούλεται ζῴου τεχνικῶς ἐρευνησάτω, καὶ εὑρήσει τὸ ἐκτύπωμα τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῶν ἐν μέσῳ πάντων ἀπαραλλάκτως ὑποκείμενον· γέγονε δὲ οὐρανοῦ καὶ γῆς τὸ σχῆμα τοιοῦτον, οἱονεὶ μήτρᾳ παραπλήσιον. Κατὰ

75. Cod. δουλεύονται.
ib. Cod. βλέπει.
83. Cod. ἡσυχάζουσαι.
3. Cod. ἀπαραλάκτως.

τὴν πρώτην συνδρομὴν ἐν αὐτῷ μέσῳ τῷ οὐρανῷ καὶ τῇ γῇ γεγόνασιν ἄπειροι δυνάμεων συνδρομαί. Καὶ ἑκάστη συνδρομὴ οὐκ ἄλλο τι εἰργάσατο καὶ ἐξετύπωσεν ἢ σφραγῖδα οὐρανοῦ καὶ γῆς παραπλήσιον μήτρᾳ. Ἐν αὐτῇ δὲ ἀνέφυσαν ἐκ τῶν ἀπείρων σφραγίδων διαφόρων ζῴων ἄπειρα πλεῖον. Εἰς δὲ ταύτην πᾶσαν ἡ ὑπὸ τὸν οὐρανὸν ἐν τοῖς διαφόροις ζῴοις ἀπειρία κατέσπαρται, καὶ καταμεμέρισται μετὰ τοῦ φωτὸς ἡ τοῦ πνεύματος ἄνωθεν εὐωδία. Γέγονεν οὖν ἐκ τοῦ ὕδατος πρωτόγονος ἀρχὴ, ἄνεμος σφοδρὸς καὶ λάβρος καὶ πάσης γενέσεως αἴτιος. Βρασμὸν γάρ τινα ἐμποιῶν τοῖς ὕδασιν, ἀπὸ τῶν ὑδάτων διεγείρει κύματα· ἡ δὲ τῶν κυμάτων γένεσις, οἱονεί τις οὖσα ὁρμὴ, ἐγκύμονα γεγονέναι τὸν ἄνθρωπον ἢ τὸν βοῦν, ὁπόταν ὑπὸ τῆς τοῦ πνεύματος ὁρμῆς ὁρμήσασα ἐπείγηται. Ἐπὰν δὲ τοῦτο τὸ ὑπὸ τοῦ ἀνέμου κῦμα ἐκ τοῦ ὕδατος ἐγερθὲν καὶ ἐγκύμονα ἐργασάμενον τὴν φύσιν, γέννημα θηλείας εἰληφὸς ἐν ἑαυτῷ καὶ ἔχον τὸ κατεσπαρμένον φῶς ἄνωθεν μετὰ
50r. τῆς τοῦ πνεύματος εὐωδίας, τουτέστι νοῦν μεμορφωμένον ἐν τοῖς διαφόροις εἴδεσιν, ὅ ἐστι τέλειος θεὸς ἐξ ἀγεννήτου φωτὸς ἄνωθεν καὶ πνεύματος κατενηνεγμένος εἰς ἀνθρωπίνην φύσιν ὥσπερ εἰς ναὸν φορᾷ φύσεως καὶ ἀνέμου κινήματι, γεννηθεὶς ἐξ ὕδατος, συγκεκρυμμένος καὶ καταμεμιγμένος τοῖς σώμασιν οἱονεὶ ἁλάλων γενομένων ὑπάρχον καὶ φῶς τοῦ σκότους, ἀπὸ τῶν σωμάτων σπεῦδον λυθῆναι καὶ μὴ δυνάμενος τὴν λύσιν εὑρεῖν καὶ τὴν διέξοδον ἑαυτοῦ· καταμέμικται γὰρ σπιν-

5. Fort. κατὰ [γὰρ] τὴν πρώτην [ταύτην] συνδρ.
8. Cod. οὐρανῷ καὶ γῇ.
10. Leg. πλήθη pro πλεῖον.
ib. Leg. πᾶσα pro πᾶσαν.
17. Pro γεγονέναι fort. ἐργάζεται ut mox l. 21.
21. Cod. εἰληφώς (ὁ above ώ).
23. Cod. τουτέστιν οὖν.
25. Cod. κατενηνεγμένον.
28. Sub ἀλάλων γενομένων nescio quid lateat. Deinde leg. vel σπεύδων vel δυνάμενον.

*θήρ τις ἐλάχιστος ἀπ . . . . . . . . . . . . . . ᾆσμα ἄνωθεν ἀ . . . . . . . . . . νος δίκην ἐν τὸ . . . . . . . . λυσυγκρίτοις πολλῶν. Ὡς, φησὶν, ἐν τῷ ψαλμῷ λέγει· "Πᾶσα οὖν φροντὶς καὶ ἐπιμέλεια τοῦ φωτὸς ἄνωθεν ἐστί." Πῶς καὶ τίνα τρόπον; ἀπὸ τοῦ θανάτου τοῦ πονηροῦ καὶ σκοτεινοῦ σώματος ἀπολυθεὶς ὁ νοῦς ἀπὸ τοῦ πατρὸς τοῦ κάτωθεν ὅ ἐστιν ὁ ἄνεμος ἐν βρόμῳ καὶ ταράχῳ ἐπεγείρας κύματα καὶ γεννήσας νοῦν τέλειον υἱὸν ἑαυτοῦ, οὐκ ὄντα ἴδιον ἑαυτοῦ κατ' οὐσίαν. Ἄνωθεν γὰρ ἦν ἀκτὶς ἀπὸ τοῦ τελείου φωτὸς ἐκείνου, ἐν τῷ σκολιῷ καὶ φοβερῷ καὶ πικρῷ καὶ μιαρῷ ὕδατι κεκρατημένον, ὅπερ ἐστὶ πνεῦμα φωτεινὸν ἐπιφερόμενον ἐπάνω τοῦ φωτός· ἐπεὶ οὖν . . . . . . . . . ημάτων κύματα . . . . . . . . . . διαφόροις γ . . . . . . . . . . εσι μήτρα τίς . . . . . . . . κατεσπαρμέν . . . . . . . . . ὡς ἐπὶ πάντων τῶν ζῴων θεωρεῖται. Ὁ δὲ ἄνεμος λάβρος ὁμοῦ καὶ φοβερὸς φερόμενός ἐστι τῷ σύρματι ὄφει παραπλήσιος πτερωτός· ἀπὸ τοῦ ἀνέμου, τουτέστιν ἀπὸ τοῦ ὄφεως, ἡ ἀρχὴ τῆς γεννήσεως τὸν εἰρημένον τρόπον γέγονε, πάντων ὁμοῦ τὴν ἀρχὴν τῆς γεννήσεως εἰληφότων. Ἐπεὶ οὖν κατείληπται τὸ φῶς καὶ τὸ πνεῦμα εἰς τὴν ἀκάθαρτον, φησὶ, καὶ πολυπήμονα μήτραν ἄτακτον, εἰς ἣν ὁ ὄφις εἰσερχόμενος, ὁ ἄνεμος τοῦ*

50 v. *σκότους, ὁ πρωτόγονος τῶν ὑδάτων, γεννᾷ τὸν ἄνθρωπον, καὶ ἄλλο οὐδὲν εἶδος οὔτε ἀγαπᾷ οὔτε γνωρίζει ἡ ἀκάθαρτος μήτρα· ὁμοιωθεὶς οὖν ὁ ἄνωθεν τοῦ φωτὸς τέλειος λόγος τῷ θηρίῳ τῷ ὄφει, εἰσελθὼν εἰς τὴν ἀκάθαρτον μήτραν, ἐξαπατήσας αὐτὴν τοῦ θηρίου τῷ ὁμοιώματι, ἵνα λύσῃ τὰ δεσμὰ τὰ περικείμενα τῷ τελείῳ νοῒ τῷ γεννωμένῳ ἐν ἀκαθαρσίᾳ μήτρας ὑπὸ τοῦ*

32. Fort. ἀπ[οσχισθὲν ἀπόσπ]ασμα.

33. Fort. ἄ[στρου ἀκτῖ]νος.

ib. Fort. το[ῖς ὕδασι πο]λυσ. Vid. p. 188.

49. Fort. πτερωτῷ· ὡς ἀπό.

πρωτοτόκου ὕδατος, ὄφεως, ἀνέμου, θηρίου. Αὕτη, φησὶν, ἐστὶν ἡ τοῦ δούλου μορφὴ, καὶ αὕτη ἡ ἀνάγκη τοῦ κατελθεῖν τὸν λόγον τοῦ θεοῦ εἰς μήτραν παρθένου. Ἀλλ' οὐκ ἔστι, φησὶν, ἀρκετὸν τὸ εἰσεληλυθέναι τὸν τέλειον ἄνθρωπον, λόγον, εἰς μήτραν παρθένου καὶ λῦσαι τὰς ὠδῖνας τὰς ἐν ἐκείνῳ τῷ σκότει· ἀλλὰ γὰρ μετὰ τὸ ἐν μήτρᾳ μυστήρια μυσαρὰ εἰσελθεῖν ἀπελούσατο καὶ ἔπιε τὸ ποτήριον ζῶντος ὕδατος ἁλλομένου, ὃ δεῖ πάντως πιεῖν τὸν μέλλοντα ἀποδιδύσκεσθαι τὴν δουλικὴν μορφὴν καὶ ἐπενδύσασθαι ἔνδυμα οὐράνιον.

20 Ταῦτά ἐστιν ἃ λέγουσιν ὡς δι' ὀλίγου ἐστὶν εἰπεῖν, οἱ πρωτοστάται τῶν Σιθιανῶν λόγων. Ἔστι δὲ ὁ λόγος αὐτῶν συγκείμενος ἐκ φυσικῶν καὶ πρὸς ἕτερα εἰρημένων ῥημάτων, ἃ εἰς τὸν ἀΐδιον λόγον μετάγοντες διηγοῦνται, καθάπερ εἴπομεν. Λέγουσι δὲ καὶ Μωσέα αὐτῶν συναίρεσθαι τῷ λόγῳ, ἐπὰν εἴπῃ "σκότος καὶ γνόφος καὶ θύελλα·" οὗτοι, φησὶν, οἱ τρεῖς λόγοι· ἢ ὅταν εἴπῃ ἐν παραδείσῳ γεγονέναι τρεῖς, Ἀδὰμ, Εὔαν, ὄφιν· ἢ ὅταν λέγῃ τρεῖς, Κάϊν, Ἄβελ, Σὴθ, καὶ πάλιν τρεῖς, Σὴμ, Χὰμ, Ἰάφεθ· ἢ ὅταν λέγῃ τρεῖς πατριάρχας, Ἀβραὰμ, Ἰσαὰκ, Ἰακώβ· ἢ ὅταν λέγῃ τρεῖς ἡμέρας πρὸ ἡλίου καὶ σελήνης γεγονέναι· ἢ ὅταν λέγῃ τρεῖς νόμους, ἀπαγορευτικὸν, ἐφετικὸν, διατιμητι-
1 r. κόν. Ἀπαγορευτικὸς δέ ἐστι νόμος, "Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ μὴ φάγητε." Ἐν δὲ τῷ λέγειν "Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω," ἐφετικὸς, φησὶν, οὗτος ὁ νόμος· ἑλομένῳ γὰρ ἔστιν ἐξελθεῖν, μὴ

67. Fort. μετὰ τὰ ἐν μήτρᾳ μυστήρια μυσαρὰ ἐξελθὼν ἀπελ.
68. Cod. μυσερά.
70. Cod. ποιεῖν.
73. Cod. πρωστάται.
77. Exod. X, 12.
85. Genes. II, 16 et 17.
88. Genes. XII, 1.

ἑλομένῳ δὲ μένειν. Διατιμητικὸς δὲ νόμος ἐστὶν ὁ λέγων, "Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις·" διατετίμηται γὰρ ἑκάστου τῶν ἀδικημάτων ζημία. Ἔστι δὲ αὐτοῖς ἡ πᾶσα διδασκαλία τοῦ λόγου ὑπὸ τῶν παλαιῶν θεολόγων, Μουσαίου, καὶ Λίνου, καὶ τοῦ τὰς τελετὰς μάλιστα καὶ τὰ μυστήρια καταδείξαντος Ὀρφέως. Ὁ γὰρ περὶ τῆς μήτρας αὐτῶν καὶ τοῦ Ὀρφέως λόγος, καὶ ὀμφαλὸς ὅπερ ἐστὶν ἀνδρεία, διαρρήδην οὕτως ἐστὶν ἐν τοῖς βακχικοῖς τοῦ Ὀρφέως. Τετέλεσται δὲ ταῦτα καὶ παραδέδοται ἀνθρώποις πρὸ τῆς Κελεοῦ καὶ Τριπτολέμου καὶ Δήμητρος καὶ Κόρης καὶ Διονύσου ἐν Ἐλευσῖνι τελετῆς, ἐν Φλιοῦντι τῆς Ἀττικῆς. Πρὸ γὰρ τῶν Ἐλευσινίων μυστηρίων, ἔστιν ἐν τῇ Φλιοῦντι λεγομένη μεγαληγορία. Ἔστι δὲ παστὰς ἐν αὐτῇ, ἐπὶ δὲ τῆς παστάδος ἐγγέγραπται μέχρι σήμερον ἡ τὰ τῶν πάντων τῶν εἰρημένων λόγων ἰδέα. Πολλὰ μὲν οὖν ἐστὶ τὰ ἐπὶ τῆς παστάδος ἐκείνης ἐγγεγραμμένα, περὶ ὧν καὶ Πλούταρχος ποιεῖται λόγους ἐν ταῖς πρὸς Ἐμπεδοκλέα δέκα βίβλοις. Ἔστι δὲ τοῖς πλείοσι καὶ πρεσβύτης τις ἐγγεγραμμένος πολιὸς πετρωτὸς ἐντεταμένην ἔχων τὴν αἰσχύνην, γυναῖκα ἀποφεύγουσαν διώκων κυνοειδῆ. Ἐπιγέγραπται δὲ ἐπὶ τοῦ πρεσβύτου, φάος ῥυέντης· ἐπὶ δὲ τῆς γυναικὸς, περεηφικόλα. Ἔοικε δὲ εἶναι κατὰ τὸν Σιθιανῶν λόγον ὁ φάος ῥυέντης, τὸ φῶς τὸ σκοτεινόν· ὕδωρ δὲ, ἡ
51 v. φικόλα· τὸ δὲ ἐν μέσῳ τούτων διάστημα, ἁρμονία

3 et 5. Cod. φλοιοῦντι.

ib. Pro μεγαληγορία fort. μεγάλη ἑορτή.

6. Cod. ἐγκέγραπται.

7. Τὰ τῶν dittographia esse videntur vocabuli πάντων.

10. Cod. ἐν τοῖς, quod mutavi in ταῖς. Si sanum est ἐν τοῖς, mox leg. βιβλίοις. Pro πρὸς dicere debebat εἰς, quod intelligitur ex Lampriæ catalogo (Fabric. Bibl. Gr. t. 5, p. 160) qui habet εἰς Ἐμπεδοκλέα περὶ τῆς ε' οὐσίας βιβλία ε'.

ib. Fort. Ἔστι δ' ἐν τοῖς πλείοσι: vel potius πυλεῶσι pro πλείοσι.

ib. Leg. πτερωτός.

πνεύματος μεταξὺ τεταγμένου. Τὸ δὲ ὄνομα τοῦ φάος ῥυέντου, τὴν ῥύσιν ἄνωθεν τοῦ φωτὸς ὡς λέγουσι δηλοῖ κάτω. Ὥστε εὐλόγως ἄν τις εἴποι τοὺς Σιθιανοὺς ἐγγύς που τελεῖν παρ' αὐτοῖς τὰ τῆς μεγάλης Φλοιᾶς ἰονόργια. Τῇ δὲ διαιρέσει τῇ τριχῇ μαρτυρεῖν ἔοικε καὶ ὁ ποιητὴς λέγων, "Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστα δ' ἔμμορε τιμῆς·" τουτέστι τῶν τριχῇ διῃρημένων ἕκαστον εἴληφε δύναμιν, καὶ τὸ ὕδωρ δὲ τὸ ὑποκείμενον κάτω σκοτεινὸν ὅτι δέδυκε τὸ φῶς, καὶ ἀνακομίσασθαι καὶ λαβεῖν ἄνωθεν δεῖ τὸν κατενηνεγμένον σπινθῆρα ἀπ' αὐτοῦ· οὕτως ἐοίκασιν οἱ πάνσοφοι Σιθιανοὶ παρ' Ὁμήρου λαβόντες λέγειν·

*Ἴστω γὰρ (φησὶ) τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,*
*καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος*
*ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·*

τουτέστιν ἀποτρόπαιόν τι καὶ φρικτὸν οἱ θεοὶ καθ' Ὅμηρον εἶναι τὸ ὕδωρ νομίζουσιν, ὅπερ ὁ λόγος τῶν Σιθιανῶν φοβερὸς εἶναι φησὶ * τὸν οι̅.

21 Ταῦτ' ἐστὶν ἃ λέγουσι καὶ τοιούτοις παραπλήσια ἐν ἀπείροις συγγράμμασι· πείθουσι δὲ ἐντυγχάνειν τῷ περὶ κράσεως καὶ μίξεως λόγῳ τοὺς μαθητευομένους, ὃς μεμελέτηται πολλοῖς, ἀλλὰ καὶ Ἀνδρονίκῳ τῷ περιπατητικῷ. Λέγουσιν οὖν οἱ Σιθιανοὶ τὸν περὶ κράσεως καὶ μίξεως λόγον συνεστάναι τῷδε τῷ τρόπῳ· τὴν ἀκτῖνα τὴν φωτεινὴν ἄνωθεν ἐγκεκρᾶσθαι, καὶ τὸν σπινθῆρα τὸν ἐλάχιστον ἐν τοῖς σκοτεινοῖς ὕδασι κάτω καταμεμίχθαι λεπτῶς, καὶ συνηνῶσθαι καὶ γεγονέναι ἐν ἑνὶ φυράματι, ὡς μίαν ὀσμὴν ἐκ πολλῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, καὶ δεῖ τὸν ἐπι-

21. Fort. ὄργια, sive συνόργια.

23. Hom. Iliad. O, 189, ubi ἕκαστος quod noster mutavit.

26. Fort. σκοτεινὸν [ὂν] ὅτι.

30. Iliad. O, 36 sqq.

35. Leg. φοβερόν. In τὸν οι an latet στοιχεῖον.

38. Cod. ὡς.

52 r. στήμονα τῆς ὀσφρήσεως ἔχοντα κριτήριον εὐαγὲς ἀπὸ τῆς μιᾶς τοῦ θυμιάματος ὀσμῆς διακρίνειν λεπτῶς ἕκαστον τῶν καταμεμιγμένων ἐπὶ τοῦ πυρὸς θυμιαμάτων, οἱονεὶ στύρακα, καὶ σμύρναν καὶ λίβανον, ἢ εἴ τι ἄλλο εἴη μεμιγμένον. Χρῶνται δὲ καὶ ἑτέροις παραδείγμασι, λέγοντες καταμεμίχθαι καὶ χρυσίῳ χαλκὸν, καὶ τέχνη τις εὕρηται ἡ διακρίνουσα τὸν χαλκὸν ἀπὸ τοῦ χρυσίου. Ὁμοίως δὲ κἂν ἐν ἀργύρῳ κασσίτερος ἢ χαλκὸς ἤ τι τῶν ὁμογενῶν καταμεμιγμένον εὑρεθῇ μίξεως τινὶ τέχνῃ κρείττονι, καὶ ταῦτα διακρίνεται. Ἤδη δέ τις καὶ ὕδωρ μεμιγμένον * αἰνωδία κρήνη, οὕτω φασὶ, καὶ κἂν πάντα τὰ συγκεκραμένα, διακρίνεται. Καὶ δὴ ἀπὸ τῶν ζῴων, φησὶ, καταμάνθανε. Τελευτήσαντος γὰρ τοῦ ζῴου, ἕκαστα διακρίνεται, καὶ λυθέντος, οὕτω τὸ ζῷον ἀφανίζεται. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον, "Οὐκ ἦλθον εἰρήνην βαλεῖν ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν," τουτέστι τὸ διχάσαι καὶ χωρίσαι τὰ συγκεκραμένα. Διχάζεται γὰρ καὶ διακρίνεται ἕκαστα τῶν συγκεκραμένων οἰκείου χωρίου τυχόντα. Ὡς γάρ ἐστι χωρίον συγκράσεως τοῖς ζῴοις ἅπασιν ἓν, οὕτω καὶ τῆς διακρίσεως καθέστηκεν ἓν, ὃ οἶδεν οὐδεὶς, φησὶν, ἢ μόνοι ἡμεῖς, οἱ ἀναγεννώμενοι πνευματικοὶ οὐ σαρκικοὶ, ὧν ἔστι τὸ πολίτευμα ἐν οὐρανοῖς ἄνω. Οὕτω παρεισδύοντες διαφθείρουσι τοὺς ἀκροωμένους, ὅτε μὲν ἀποχρώμενοι ῥητοῖς, εἰς ὃ θέλουσι συνάγοντες κακῶς τὰ καλῶς εἰρημένα, φωλεύουσί τε τὸ ἑαυτῶν ἀδίκημα διὰ παραβολῶν ὧν βούλονται. Πάντα οὖν, φησὶ, καθὼς εἴρηται, τὰ συγ-

52. Cod. χαλκός.

55. Cod. εὑρέθη.

56. Fort. leg. Ἤδη δέ τις ὕδωρ μεμιγμένον [εἶδεν] ἐνοδίας κρήνης (οὕτω φασὶ), καὶ, κἂν πάντα ᾖ συγκεκραμένα, διακρίνεται.

59. Cod. κατεμάνθανε.

60. Cod. οὕτω τὸ τὸ ζῶον.

61. S. Matth. X, 34.

63. Cod. hic, supra et infra συγκεκραμμένων.

70. Fort. ὁτὲ μὲν et infra φωλεύουσι δὲ τὸ ἑ. ἀδ.

κεκραμένα ἔχει ῥοῦν ἴδιον καὶ τρέχει πρὸς τὰ οἰκεῖα, ὡς σίδηρος τὴν ἡρακλείαν λίθον, καὶ τὸ ἄχυρον ἠλέκτρου πλησίον, καὶ τῷ κέντρῳ τοῦ θαλασσίου ἱέρακος τὸ χρυ-
52 v. σίον. Οὕτως ἡ τοῦ καταμεμιγμένου τῷ ὕδατι φωτὸς* οἰκείου χωρίου ἐκ διδασκαλίας καὶ μαθήσεως μεταλαβοῦσα, σπεύδει πρὸς τὸν λόγον τὸν ἄνωθεν ἐλθόντα ἐν εἰκόνι δουλικῇ, καὶ γίνεται μετὰ τοῦ λόγου λόγος ἐκεῖ, ὅπου λόγος ἐστὶ, μᾶλλον ἢ ὁ σίδηρος πρὸς τὴν ἡρακλείαν λίθον. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, φησὶ, καὶ πάντα διακρίνεται ἐπὶ τῶν οἰκείων τόπων τὰ συγκεκριμένα, μάνθανε. Φρέαρ ἐστὶν ἐν Πέρσαις ἐν Ἄμῃ πόλει παρὰ τὸν Τίγριν ποταμόν· ᾠκοδόμηται δὲ παρὰ τὸ φρέαρ ἄνω δεξαμενή τις ἔχουσα τρεῖς ἀφετηρίας ἀπ' αὐτῆς. Οὗ φρέατος ἀντλήσας κάδδῳ ἀνενέγκας τὸ ἀπὸ τοῦ φρέατος ἀντληθὲν ὅ, τι ποτέ ἐστιν, ἔχεεν εἰς τὴν παρακειμένην δεξαμενήν· τὸ δὲ χυθὲν ἐλθὸν ἐπὶ τὰς ἀφετηρίας ἐν ἑνὶ σκεύει ἀναληφθὲν διακρίνεται. Καὶ ἐν μὲν ἅλας πηγνύμενον δείκνυται, ἐν ἑτέρᾳ δὲ τῶν ἀφετηριῶν ἄσφαλτος, ἐν δὲ τῇ τρίτῃ ἔλαιον. Μέλαν δέ ἐστι τὸ ἔλαιον, ὡς, φησὶ, καὶ Ἡρόδοτος ἱστορεῖ, καὶ ὀσμὴν παρεχόμενον βαρεῖαν· ῥαδινάκην δὲ αὐτὸ οἱ Πέρσαι καλοῦσιν. Ἤρκει, φασὶν οἱ Σιθιανοὶ, πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἡ τοῦ φρέατος ὁμοιότης πάντων μᾶλλον τῶν προειρημένων.

22 Ἱκανῶς δοκεῖ ἡμῖν σεσαφηνίσθαι ἡ τῶν Σιθιανῶν γνώμη. Εἰ δέ τις ὅλην τὴν κατ' αὐτοὺς πραγματείαν βούλεται μαθεῖν, ἐντυχέτω βιβλίῳ ἐπιγραφομένῳ Παρά-

74. Cod. οὖν pro ῥοῦν.
75. Fort. ὡς σίδηρος [πρὸς] τὴν ἡρακλείαν λίθον.
77. Post φωτὸς fort. addend. δύναμις.
93. Cod. ὅς φησι. ib. Herodot. VI, cap. 119.
98. Cod. σεσαφηνεῖσθαι.
1. Cod. βίβλῳ quod mutavi ob sequens ἐπιγραφομένῳ. Si retinuerimus βίβλῳ, leg. ἐπιγραφομένῃ.

φρασις Σήθ· πάντα γὰρ τὰ ἀπόρρητα αὐτῶν ἐκεῖ εὑρήσει ἐγκείμενα. Ἀλλ' ἐπεὶ τὰ κατὰ τοὺς Σιθιανοὺς
53 r. ἐξεθέμεθα, ἴδωμεν τίνα ἐστὶ καὶ τὰ Ἰουστίνῳ δοκοῦντα.

23 Ἰουστῖνος πάντη ἐναντίος τῇ τῶν ἁγίων Γραφῶν γενόμενος διδαχῇ, προσέτι δὲ καὶ τῇ τῶν μακαρίων Εὐαγγελίων γραφῇ ἢ φωνῇ ὡς ἐδίδασκεν ὁ λόγος τοὺς μαθητὰς λέγων· "Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε·" ὅπερ δηλοῖ μὴ προσέχειν τῇ τῶν ἐθνῶν ματαίᾳ διδασκαλίᾳ. Οὗτος ἐπὶ τὰ ἐθνῶν τερατολογούμενα καὶ διδασκόμενα ἀναγαγεῖν πειρᾶται τοὺς ἀκροωμένους, αὐτολεξεὶ τὰ παρ' Ἕλλησι μυθευόμενα διηγούμενος, οὔτε πρότερον διδάξας, οὔτε παραδοὺς τὸ τέλειον αὐτοῦ μυστήριον εἰ μὴ ὅρκῳ δήσῃ τὸν πλανώμενον· ἔπειτα τοὺς μύθους παρατίθησι ψυχαγωγίας χάριν, ὅπως οἱ ἐντυγχάνοντες τῇ τῶν βίβλων ἀναρίθμῳ φλυαρίᾳ παραμύθιον ἔχωσι τὰ μυθευόμενα (ὃν τρόπον εἴ τις ὁδὸν μακρὰν βαδίζων, παρατυχὼν καταλύματι ἀναπαύεσθαι δοκεῖ) καὶ οὕτως πάλιν ἐπὶ τὴν τῶν ἀναγνωσμάτων τραπέντες πολυμάθειαν, μὴ μισήσωσιν ἕως ἐπὶ τὸ ὑπ' αὐτοῦ τεχναζόμενον ἀνόμημα διὰ πλειόνων ἐξηχηθέντες ὁρμήσωσι τετυφωμένοι, οὓς φρικτοῖς καταδήσας πρότερον ὅρκοις μήτε ἐξειπεῖν μήτε ἀποστῆναι ὁμολογεῖν ἀναγκάσας, οὕτω παραδίδωσι τὰ ὑπ' αὐτοῦ ἐφευρημένα μετὰ ἀσεβείας μυστήρια, πῇ μὲν, καθὰ προείπομεν, μύθοις Ἑλληνικοῖς χρησάμενος, πῇ δὲ παραπεποιημένοις βιβλίοις, κατά τι παρεμφαίνουσι ταῖς προειρημέναις αἱρέσεσιν. Οἱ πάντες γὰρ ἑνὶ πνεύματι συνωθούμενοι, εἰς ἕνα βυθὸν ἀμάρας συνάγονται, ἄλλοι ἄλλως τὰ αὐτὰ διηγούμενοι καὶ μυθεύοντες, οὗτοι δὲ ἰδίως· οἱ πάντες Γνωστικοὺς ἑαυτοὺς

5. Titulus rubricatus : Ἰουστῖνος.
8. S. Matth. X, 5.
18. Cod. κατάλυμά τι.
21. Cod. τετυπωμένοι.
30. Cod. οἰ.

ἀποκαλοῦσι, τὴν θαυμασίαν γνῶσιν τοῦ τελείου καὶ ἀγαθοῦ μόνοι καταπεπωκότες.

53 v. 24 Ὄμνυε δὲ, φησὶν Ἰουστῖνος, εἰ γνῶναι θέλεις "ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη," τὸν ἐπάνω πάντων ἀγαθῶν, τὸν ἀνώτερον, ἄρρητα φυλάξαι τὰ τῆς διδασκαλίας σιγώμενα· καὶ γὰρ καὶ ὁ πατὴρ ἡμῶν ἰδὼν τὸν ἀγαθὸν, καὶ τελεσθεὶς παρ' αὐτῷ, τὰ τῆς σιγῆς ἄρρητα ἐφύλαξε, καὶ ὤμοσε καθὼς γέγραπται, "ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται." Ταῦτα τοίνυν οὕτω κατασφραγισάμενος πλείοσι μύθοις ψυχαγωγεῖ διὰ πλειόνων βιβλίων, καὶ οὕτως ἐπὶ τῶν ἀγαθῶν ἄγει τελειῶν τοὺς μύστας, τὰ ἄλλα μυστήρια, ἵνα καὶ μὴ διὰ πλειόνων ὁδεύσωμεν, ἐκ μιᾶς αὐτοῦ βίβλου τὰ ἄρρητα ἐπιδείξομεν, οὔσης καθὼς νομίζει ἐνδόξου. Αὕτη δὲ ἐπιγράφεται Βαρούχ· ἐν ᾗ μίαν τῶν πολλῶν μυθολογίαν ἐκτιθεμένην ὑπ' αὐτοῦ δηλώσομεν, οὖσαν παρὰ Ἡροδότῳ, ἣν ὡς ξένην τοῖς ἀκροαταῖς παραπλάσας διηγεῖται, ἐξ αὐτῆς πᾶσαν σύστασιν τοῦ κατ' αὐτὸν διδασκαλείου ποιούμενος.

25 Ἡρόδοτος μὲν οὖν τὸν Ἡρακλέα φησὶν ἀπὸ τῆς Ἐρυθρᾶς τοῦ Γηρυόνου τὰς βοῦς ἄγοντα εἰς τὴν Σκυθίαν ἐλθεῖν, κεκμηκότα δὲ ἀπὸ τῆς πορείας εἰς ἔρημόν τι χωρίον κατακλιθέντα κοιμηθῆναι ὀλίγον· ὑπνώσαντος δὲ αὐτοῦ ἀφανῆ γενέσθαι τὸν ἵππον, ἐφ' οὗ καθεζόμενος διώδευσε τὴν μακρὰν ὁδόν· περιεγερθεὶς δὲ ζήτησιν ἐποιεῖτο ἐπὶ τῆς ἐρημίας πολλὴν, εὑρεῖν πειρώμενος τὸν ἵππον. Καὶ τῆς μὲν ἵππου διαμαρτάνει, κόρην δέ τινα
54 r. μιξοπάρθενον εὑρὼν ἐπὶ τῆς ἐρημίας, ἐπηρώτα, εἰ εἴη

32. Cod. καταπεπτωκότες.
33. Esai. LXIV, 4.
39. Psalm. CIX, 4.
42. Fort. ἐπὶ τὸν ἀγαθὸν ἄγει, τελειῶν τοὺς μύστας, τά [τ'] ἄλλα μυστήρια. Ἵνα δὲ μή. Cf. lin. 78 et seqq.
49. Cod. διδασκαλίου.
50. Herodot. IV, 8.

που τεθεαμένη τὸν ἵππον. Ἡ δὲ κόρη φησὶν εἰδέναι μὲν, μὴ δείξειν δὲ πρότερον αὐτῷ εἰ μὴ πρὸς μίξιν φιλίας συνέλθῃ αὐτῇ ὁ Ἡρακλῆς. Ἦν δὲ, φησὶν ὁ Ἡρόδοτος, τὰ ἄνω αὐτῆς μέχρι βουβῶνος, παρθένου, πᾶν δὲ τὸ κάτω σῶμα μετὰ βουβῶνα, φρικτόν τι θέαμα ἐχίδνης. Σπουδῇ δὲ τῆς περὶ τὸν ἵππον εὑρέσεως ὁ Ἡρακλῆς πείθεται τῷ θηρίῳ· ἔγνω γὰρ αὐτὴν, καὶ ἐποίησεν ἐγκύμονα, καὶ προεῖπεν αὐτῇ μετὰ τὴν γνῶσιν ὅτι ἔχει κατὰ γαστρὸς ἐξ αὐτοῦ τρεῖς ὁμοῦ παῖδας, οἵτινες ἔσονται ἐπιφανεῖς. Ἐκέλευσε δὲ αὐτοῖς γεννωμένοις ὀνόματα θεῖναι τὴν τεκοῦσαν, Ἀγάθυρσον, Γελωνὸν, καὶ Σκύθην. Λαβὼν δὲ τούτου μισθὸν τὸν ἵππον παρὰ τῆς θηριώδους κόρης, ἀπηλλάττετο φέρων καὶ τὰς βοῦς. Μακρὸς δὲ ὁ μετὰ ταῦτα μῦθος Ἡροδότῳ· χαιρέτω δὲ τὸ νῦν. Τίνα δὲ τὰ Ἰουστίνῳ δοκοῦντα, μετάγοντι τὸν μῦθον εἰς τὴν τῶν ὅλων γένησιν, ἡμεῖς διηγησόμεθα.

26 Οὗτος φησὶν, ἦσαν τρεῖς ἀρχαὶ τῶν ὅλων ἀγέννητοι, ἀρρενικαὶ δύο, θηλυκὴ μία. Τῶν δὲ ἀρρενικῶν ἡ μέν τις καλεῖται ἀγαθὸς, αὐτὸ μόνον οὕτως λεγόμενος, προγνωστικὸς τῶν ὅλων. Ἡ δὲ ἑτέρα μήτηρ πάντων τῶν γεννητῶν, ἀπρόγνωστος καὶ ἀόρατος. Ἡ δὲ θῆλυς, ἀπρόγνωστος, ὀργίλη, ἀγνώμων, δίσωμος κατὰ πάντα, τῇ κατὰ τὸν Ἡροδότου μῦθον ἐμφερὴς, μέχρι βουβῶνος παρθένος, ἔχιδνα δὲ τὰ κάτω, ὥς φησιν Ἰουστῖνος. Καλεῖται δὲ Ἐδὲμ αὕτη ἡ κόρη, καὶ Ἰσραήλ. Αὗται, φησὶν, αἱ ἀρχαὶ τῶν ὅλων, ῥίζαι καὶ πηγαὶ, ἀφ᾽ ὧν τὰ ὄντα ἐγένετο· ἄλλο δὲ ἦν οὐδέν. Ἰδὼν οὖν ὁ πατὴρ τὴν μιξοπάρθενον ἐκείνην ἀπρόγνωστος ὢν τὴν Ἐδὲμ, ἦλθεν
54 v. εἰς ἐπιθυμίαν αὐτῆς· Ἐλωεὶμ δὲ, φησὶν, καλεῖται οὗτος

71. Cod. ἀπηλάττετο.
73. Cod. τὸν νοῦν.
74. Cod. μετάγοντα.
77. Cod. εἰ pro ἡ.

ὁ πατήρ· οὐδὲν ἧττον ἐπεθύμησε καὶ ἡ Ἐδὲμ τοῦ Ἐλωεὶμ, καὶ συνήγαγεν αὐτοὺς ἡ ἐπιθυμία εἰς μίαν φιλίας εὔνοιαν. Γεννᾷ δὲ ἀπὸ τῆς συνόδου τῆς τοιαύτης ὁ πατὴρ ἐκ τῆς Ἐδὲμ ἑαυτῷ ἀγγέλους δώδεκα. Ὀνόματα δέ ἐστι τῶν πατρικῶν ἀγγέλων τάδε· Μιχαὴλ, Ἀμὴν, Βαροὺχ, Γαβριὴλ, Ἠσαδδαῖος. * * Καὶ τῶν μητρικῶν ἀγγέλων ὧν ἐποίησεν ἡ Ἐδὲμ, ὁμοίως ὑποτέτακται τὰ ὀνόματα· ἔστι δὲ ταῦτα, Βάβελ, Ἀχαμῶς, Νάας, Βὴλ, Βελίας, Σατὰν, Σαὴλ, Ἀδωναῖος, Καυΐθαν, Φαραὼθ, Καρκαμενὼς, Λάθεν. Τούτων τῶν εἰκοσιτεσσάρων ἀγγέλων οἱ μὲν πατρικοὶ τῷ πατρὶ συναιροῦνται καὶ πάντα ποιοῦσι κατὰ τὸ θέλημα αὐτοῦ· οἱ δὲ μητρικοὶ τῇ μητρὶ Ἐδέμ· τούτων δὲ τῶν ἀγγέλων ὁμοῦ πάντων τὸ πλῆθος ὁ παράδεισος, φησὶν, ἐστὶ, περὶ οὗ λέγει Μωσῆς· "Ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς," τουτέστι κατὰ πρόσωπον τῆς Ἐδὲμ, ἵνα βλέπῃ τὸν παράδεισον ἡ Ἐδὲμ, τουτέστι τοὺς ἀγγέλους, διὰ παντός. Τούτου τοῦ παραδείσου ἀλληγορικῶς οἱ ἄγγελοι κέκληνται ξύλα, καὶ ἔστι τὸ ξύλον τῆς ζωῆς, ὁ τρίτος τῶν πατρικῶν ἀγγέλων Βαρούχ. Τὸ δὲ ξύλον τοῦ εἰδέναι γνῶσιν καλοῦ καὶ πονηροῦ, ὁ τρίτος τῶν μητρικῶν ἀγγέλων, ὁ Νάας. Οὗτος γὰρ λέγεται τὰ Μωσέως ἑρμηνεύειν, λέγων, "περιεσταλμένως αὐτὰ εἶπεν ὁ Μωϋσῆς, διὰ τὸ μὴ πάντας χωρεῖν τὴν ἀλήθειαν." Γενομένου δὲ, φησὶ, τοῦ παραδείσου ἐξ εὐαρεστήσεως κοινῆς Ἐλωεὶμ καὶ Ἐδὲμ, οἱ τοῦ Ἐλωεὶμ ἄγγελοι λαβόντες ἀπὸ τῆς καλλίστης γῆς, τουτέστιν
55 r. οὐκ ἀπὸ τοῦ θηριώδους μέρους τῆς Ἐδὲμ, ἀλλὰ ἀπὸ τῶν ὑπὲρ βουβῶνα ἀνθρωποειδῶν καὶ ἡμέρων χωρίων

89. Leg. ἧττον δ' ἐπεθ.
96. Cod. Βαβελαχαμῶς. Vid. infra p. 154, l. 89.
99. Fort. συναίρονται.
4. Genes. II, 8.
12. Cod. περιεσταλμένος.
17. Cod. ἀπὸ τὸν ὑπέρ.

τῆς γῆς, ποιοῦσι τὸν ἄνθρωπον. Ἐκ δὲ τῶν θηριωδῶν μερῶν, φησὶ, γίνονται τὰ θηρία καὶ τὰ λοιπὰ ζῷα. Τὸν ἄνθρωπον οὖν ἐποίησε σύμβολον τῆς ἑνότητος αὐτῶν καὶ εὐνοίας, καὶ κατατίθενται τὰς ἑαυτῶν δυνάμεις εἰς αὐτὸν, Ἐδὲμ μὲν τὴν ψυχὴν, Ἐλωεὶμ δὲ τὸ πνεῦμα. Καὶ γίνεται οἱονεὶ σφραγίς τις αὕτη καὶ φιλίας ὑπόμνημα, καὶ σύμβολον αἰώνιον τοῦ γάμου τῆς Ἐδὲμ καὶ τοῦ Ἐλωεὶμ ἄνθρωπος, ὁ Ἀδάμ. Ὁμοίως δὲ καὶ ἡ Εὔα γέγονε, φησὶν, ὥσπερ Μωσεῖ γέγραπται, εἰκὼν καὶ σύμβολον, σφραγὶς εἰς αἰῶνα φυλαχθησόμενος τῆς Ἐδέμ· κατετέθη τε ὁμοίως καὶ ἐν τῇ Εὔᾳ τῇ εἰκόνι ψυχὴ μὲν ἀπὸ τῆς Ἐδὲμ, πνεῦμα δὲ ἀπὸ τοῦ Ἐλωείμ. Καὶ ἐδόθησαν ἐντολαὶ αὐτοῖς, "Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ κατακληρονομήσατε τὴν γῆν" τουτέστι τὴν Ἐδὲμ, οὕτω γὰρ θέλει γεγράφθαι. Πᾶσαν γὰρ τὴν ἑαυτῆς δύναμιν οἱονεί τινα οὐσίαν ἐν γάμῳ ἡ Ἐδὲμ προσήνεγκε τῷ Ἐλωείμ. Ὅθεν, φησὶ, κατὰ μίμησιν ἐκείνου τοῦ πρώτου γάμου προῖκα προσφέρουσι μέχρι σήμερον αἱ γυναῖκες τοῖς ἀνδράσι θείῳ τινὶ καὶ πατρικῷ νόμῳ πειθόμεναι τῷ γενομένῳ πρὸς Ἐλωεὶμ τῆς Ἐδέμ. Κτισθέντων δὲ πάντων, ὡς γέγραπται παρὰ τῷ Μωϋσῇ, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἐν ἀρχῇ, εἰς τέτταρας ἀρχὰς διῃρέθησαν οἱ δώδεκα τῆς μητρὸς ἄγγελοι, καὶ καλεῖται τούτων ἕκαστον τεταρτημόριον ποταμὸς, Φεισὼν, καὶ Γεὼν, καὶ Τίγρις, καὶ Εὐφράτης, ὡς, φησὶ, λέγει Μωϋσῆς· οὗτοι ἐμπεριέχονται οἱ δώδεκα ἄγγελοι εἰς τέτταρα μέρη συμπεριπεπλεγμένοι καὶ διέπουσι τὸν κόσμον,
55 v. ἀστραπικήν τινα ἔχοντες κατὰ τοῦ κόσμου παρὰ τῆς Ἐδὲμ ἐξουσίαν. Μένουσι δὲ οὐκ ἀεὶ ἐπὶ τῶν τόπων τῶν αὐτῶν, ἀλλ' οἱονεὶ ἐν χορῷ κυκλικῷ ἐμπεριέχονται,

22. Cod. εἰς ἑαυτόν.
28. Leg. φυλαχθησομένη.
37. θείῳ τινὶ bis in codice.
46. Leg. σατραπικήν. De quo vide Aristot. de Mundo c. 6.

ἀλλάσσοντες τόπον ἐκ τόπου καὶ παραχωροῦντες ἐν χρόνοις καὶ διαστήμασι τοὺς τόπους τεταγμένους ἑαυτοῖς. Ὅταν δὲ ἐπικρατῇ τῶν τόπων ὁ Φεισὼν, λιμὸς, στενοχωρία, θλίψις ἐν ἐκείνῳ τῷ μέρει τῆς γῆς γίνεται· φειδωλὸν γὰρ τὸ παράταγμα τῶν ἀγγέλων τούτων· ὁμοίως καὶ ἑκάστου μέρους τῶν τεσσάρων, κατὰ τὴν ἑκάστου δύναμιν καὶ φύσιν, κακοὶ καιροὶ καὶ νόσων στάσεις. Καὶ τοῦτο εἰσαεὶ κατὰ τὴν ἐπικράτησιν τῶν τεταρτημορίων, ὥσπερ ποταμῶν ῥεῦμα κακίας κατὰ θέλησιν τῆς Ἐδὲμ ἀδιαλείπτως τὸν κόσμον περιέρχεται. Γέγονε δὲ ἡ τῆς κακίας ἀνάγκη ἐκ τοιαύτης τινὸς αἰτίας· κατασκευάσας καὶ δημιουργήσας Ἐλωεὶμ ἐκ κοινῆς εὐαρεστήσεως τὸν κόσμον, ἀναβῆναι ἠθέλησεν εἰς τὰ ὑψηλὰ μέρη τοῦ οὐρανοῦ, καὶ θεάσασθαι μή τι γέγονε τῶν κατὰ τὴν κτίσιν ἐνδεῶς, συμπαραλαβὼν τοὺς ἰδίους ἀγγέλους μετ' αὐτοῦ, ἦν γὰρ ἀνωφερὴς, καταλιπὼν τὴν Ἐδὲμ, κατώγη γὰρ οὖσαν ἐπακολουθεῖν ἄνω τῷ συζύγῳ οὐκ ἠθέλησεν. Ἐλθὼν οὖν ὁ Ἐλωεὶμ ἐπὶ τὸ πέρας ἄνω τοῦ οὐρανοῦ, καὶ θεασάμενος φῶς κρεῖττον ὑπὲρ ὃ αὐτὸς ἐδημιούργησεν εἶπεν, "Ἀνοίξατέ μοι πύλας, ἵνα εἰσελθὼν ἐξομολογήσωμαι τῷ Κυρίῳ· ἐδόκουν γὰρ ἐγὼ Κύριος εἶναι." Φωνὴ αὐτῷ ἀπὸ τοῦ φωτὸς ἐδόθη λέγουσα· "Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσέρχονται δι' αὐτῆς·" καὶ ἀνεῴχθη παραχρῆμα ἡ πύλη, καὶ εἰσῆλθεν
56 r. ὁ πατὴρ δίχα τῶν ἀγγέλων πρὸς τὸν ἀγαθὸν, καὶ εἶδεν "ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη." Τότε λέγει αὐτῷ ὁ ἀγαθὸς, "Κάθου ἐκ δεξιῶν μου." Ὁ δὲ πατὴρ λέγει πρὸς τὸν ἀγαθὸν, "Ἔασόν με Κύριε καταστρέψαι τὸν κόσμον ὃν

50. Cod. τεταγμένων.
54. Fort. ὁμοίως ἐπὶ ἑκάστου.
56. Cod. ἐπίκρασιν.
57. Cod. ὡς περί.
65. Fort. κατωφερὴς γὰρ οὖσα.
77. Leg. ἐς τὸν κόσμον.

*πεποίηκα· τὸ πνεῦμα γάρ μου ἐνδέδεται εἰς τοὺς οὐρανοὺς, καὶ θέλω αὐτὸ ἀπολαβεῖν.*" Τότε λέγει αὐτῷ ὁ ἀγαθὸς, "Οὐδὲν δύνασαι κακοποιῆσαι παρ' ἐμοὶ γενόμενος, ἐκ κοινῆς γὰρ εὐαρεστήσεως ἐποιήσατε τὸν κόσμον σύ τε καὶ ἡ Ἐδέμ· ἔασον οὖν τὴν Ἐδὲμ ἔχειν τὴν κτίσιν μέχρι βούλεται· σὺ δὲ μένε παρ' ἐμοί." Τότε γνοῦσα ἡ Ἐδὲμ ὅτι καταλέλειπται ὑπὸ τοῦ Ἐλωεὶμ, λυπηθεῖσα παρέστησεν αὐτῇ τοὺς ἰδίους ἀγγέλους καὶ εὐπρεπῶς ἐκόσμησεν ἑαυτὴν, εἴ πως εἰς ἐπιθυμίαν ἐλθὼν ὁ Ἐλωεὶμ κατέλθῃ πρὸς αὐτήν. Ὡς δὲ κρατηθεὶς τῷ ἀγαθῷ ὁ Ἐλωεὶμ καὶ οὐκέτι κατῆλθε πρὸς τὴν Ἐδὲμ, προσέταξεν ἡ Ἐδὲμ τῇ Βάβελ, ἥτις ἐστὶν Ἀφροδίτη, μοιχείας καὶ χωρισμοὺς γάμων κατασκευάσαι ἐν ἀνθρώποις, ἵνα ὡς αὐτὴ κεχώρισται ἀπὸ τοῦ Ἐλωεὶμ, οὕτω καὶ τὸ τοῦ Ἐλωεὶμ τὸ ὂν ἐν τοῖς ἀνθρώποις τοῖς χωρισμοῖς τοῖς τοιούτοις βασανίζηται λυπούμενον, καὶ πάσχῃ τὰ αὐτὰ ὁποῖα καὶ ἡ Ἐδὲμ καταλελειμμένη. Καὶ δίδωσιν ἐξουσίαν ἡ Ἐδὲμ μεγάλην τῷ τρίτῳ ἀγγέλῳ αὐτῆς τῷ Νάας, ἵνα πάσαις κολάσεσι κολάζῃ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ τὸ ὂν ἐν τοῖς ἀνθρώποις, ἵνα διὰ τοῦ πνεύματος ᾖ κολαζόμενος ὁ Ἐλωεὶμ ὁ καταλιπὼν παρὰ τὰς συνθήκας τὰς γενομένας αὐτῷ τὴν σύζυγον. Ἰδὼν ταῦτα ὁ πατὴρ Ἐλωεὶμ, ἐκπέμπει τὸν Βαροὺχ, τὸν τρίτον ἄγγελον τῶν ἑαυτοῦ, εἰς βοήθειαν τῷ πνεύ-
56 v. ματι τῷ ὄντι ἐν τοῖς ἀνθρώποις πᾶσιν. Ἐλθὼν οὖν ὁ Βαροὺχ ἔστη ἐν μέσῳ τῶν ἀγγέλων τῆς Ἐδὲμ, τουτέστιν ἐν μέσῳ τοῦ παραδείσου. Παράδεισος γὰρ οἱ ἄγγελοι, ὧν μέσος ἔστη, καὶ παρήγγειλε τῷ ἀνθρώπῳ, "Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγεῖν, ἀπὸ δὲ τοῦ [τοῦ] γινώσκειν τὸ καλὸν καὶ τὸ πο-

85. Leg. αὐτῇ.
88. καὶ delendum.
93. Cod. βασανίζεται.
8. Addidi τοῦ.

*νηρὸν, μὴ φαγεῖν·" ὅπερ ἐστὶν ὁ Νάας· τουτέστι τοῖς μὲν ἄλλοις ἀγγέλοις πείθεσθαι τοῖς ἕνδεκα τῆς Ἐδὲμ, πάθη μὲν γὰρ ἔχουσιν οἱ ἕνδεκα, παρανομίαν δὲ οὐκ ἔχουσιν. Ὁ δὲ Νάας παρανομίαν ἔσχε· προσῆλθε γὰρ τῇ Εὔᾳ ἐξαπατήσας αὐτὴν, καὶ ἐμοίχευσεν αὐτὴν, ὅπερ ἐστὶ παράνομον· προσῆλθε δὲ καὶ τῷ Ἀδὰμ καὶ ἔσχεν αὐτὸν ὡς παῖδα, ὅπερ ἐστὶ καὶ αὐτὸ παράνομον· ἔνθεν γέγονε μοιχεία καὶ ἀρσενοκοιτία. Ἀπὸ τότε ἐπεκράτησε τὰ κακὰ τοῖς ἀνθρώποις, καὶ τὰ ἀγαθὰ ἐκ μιᾶς ἀρχῆς γενόμενα τῆς τοῦ πατρός. Ἀναβὰς γὰρ πρὸς τὸν ἀγαθὸν ὁ πατὴρ, ὁδὸν ἔδειξε τοῖς ἀναβαίνειν θέλουσιν. Ἀποστὰς δὲ τῆς Ἐδὲμ, ἀρχὴν κακῶν ἐποίησε τῷ πνεύματι τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς. Ἐπέμφθη οὖν ὁ Βαροὺχ πρὸς τὸν Μωσέα, καὶ δι' αὐτοῦ ἐλάλησε τοῖς υἱοῖς Ἰσραὴλ ὅπως ἐπιστραφῶσι πρὸς τὸν ἀγαθόν. Ὁ δὲ τρίτος ὁ διὰ τῆς ψυχῆς ἀπὸ τῆς Ἐδὲμ ἠκούσης εἰς τὸν Μωσέα ὥσπερ καὶ εἰς πάντας ἀνθρώπους, τὰς ἐντολὰς τοῦ Βαροὺχ ἐπεσκίασε καὶ τὰς ἰδίας ἐποίησεν ἀκούεσθαι· διὰ τοῦτο ἡ ψυχὴ κατὰ τοῦ πνεύματος τέτακται, καὶ τὸ πνεῦμα, κατὰ τῆς ψυχῆς. Ἡ μὲν γὰρ ψυχή ἐστιν Ἐδὲμ, τὸ δὲ πνεῦμα, Ἐλωεὶμ, ἑκάτερα ὄντα ἐν πᾶσιν ἀνθρώποις καὶ θήλεσι καὶ ἄρρεσι. Πάλιν*
57 r. *μετὰ ταῦτα ἐπέμφθη ἐπὶ τοὺς προφήτας ὁ Βαροὺχ, ἵνα διὰ τῶν προφητῶν ἀκούσῃ τὸ πνεῦμα τὸ ἐν τοῖς οὐρανοῖς κατοικοῦν καὶ φυγὸν τὴν Ἐδὲμ καὶ τὴν πλάσιν τὴν πονηρὰν ὥσπερ ἔφυγεν ὁ πατὴρ Ἐλωείμ· ὁμοίως καὶ διὰ τῶν προφητῶν τῇ αὐτῇ ἐπινοίᾳ ὁ Νάας διὰ τῆς εὐχῆς τῆς ἐνοικούσης ἐν τῷ ἀνθρώπῳ, σὺν τῷ πνεύματι τοῦ πατρὸς, ἐπέσυρε τοὺς προφήτας, καὶ ἐπεσύρησαν*

21. Fort. *ἐν τοῖς ἀνθρώποις.*
24. Cod. *οἰκούσης.*
34. Fort. *ὁμοίως ἁψάμενος τῶν προφητῶν*, vel simile quid.
37. Fort. *ἐπεσύρετο τοὺς πρ., καὶ ὑπεσύρησαν*, ut infra.

πάντες, καὶ οὐκ ἠκολούθησαν τοῖς λόγοις τοῦ Βαροὺχ, οὓς ἐνετείλατο Ἐλωείμ. Τὸ τελευταῖον ἐξ ἀκροβυστίας προφήτην ἐπελέξατο Ἐλωεὶμ τὸν Ἡρακλέα καὶ ἔπεμψεν, ἵνα τοὺς δώδεκα ἀγγέλους τῆς Ἐδὲμ καταγωνίσηται καὶ ἐλευθερώσῃ τὸν πατέρα ἀπὸ τῶν δώδεκα ἀγγέλων τῆς κτίσεως τῶν πονηρῶν. Ταῦτά ἐστι τὰ δώδεκα ἆθλα τοῦ Ἡρακλέους, ἃ κατηγωνίσατο ὁ Ἡρακλῆς τῇ τάξει, ἀπὸ τοῦ πρώτου ἕως ἐσχάτου, λέοντα, καὶ ὕδραν, καὶ κάπρον, καὶ τὰ ἑξῆς. Τῶν ἐθνῶν γὰρ εἶναι ταῦτα τὰ ὀνόματα ἃ μετωνόμασται, φασὶν, ἀπὸ τῆς ἐνεργείας τῶν μητρικῶν ἀγγέλων. Ὡς ἐδόκει κατηγωνίσθαι, προσπλέκεται αὐτῷ ἡ Ὀμφάλη, ἥτις ἐστὶ Βάβελ ἡ Ἀφροδίτη, καὶ ὑποσύρει τὸν Ἡρακλέα καὶ ἀποδιδύσκει τὴν δύναμιν αὐτοῦ, τὰς ἐντολὰς τοῦ Βαροὺχ, ἃς ἐνετείλατο Ἐλωεὶμ, καὶ μετενδιδύσκει τὴν ἰδίαν αὐτῆς στολὴν, τουτέστι τὴν δύναμιν τῆς Ἐδὲμ τῆς κάτω δυνάμεως, καὶ οὕτως ἀτελὴς ἐγένετο τοῦ Ἡρακλέους ἡ προφητεία καὶ τὰ ἔργα αὐτοῦ. Τὸ δὲ τελευταῖον ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως, πέμπεται ὁ Βαροὺχ, καταπεμφθεὶς πάλιν ὑπὸ τοῦ Ἐλωεὶμ, καὶ
57 v. ἐλθὼν εἰς Ναζαρὲτ εὗρε τὸν Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ καὶ Μαρίας, βόσκοντα πρόβατα παιδάριον δυωδεκαετὲς, καὶ ἀναγγέλλει αὐτῷ ἀπ' ἀρχῆς πάντα ὅσα ἐγένετο ἀπὸ τῆς Ἐδὲμ καὶ τοῦ Ἐλωεὶμ μετὰ ταῦτα ἐσόμενα, καὶ εἶπε, "Πάντες οἱ πρὸ σοῦ προφῆται ἐπεσύρησαν. Πειράθητι οὖν, Ἰησοῦ υἱὲ ἀνθρώπου, μὴ ὑποσυρῆναι, ἀλλὰ κήρυξον τοῦτον τὸν λόγον τοῖς ἀνθρώποις καὶ ἀνάγγειλον αὐτοῖς τὰ περὶ τοῦ πατρὸς καὶ τὰ περὶ τοῦ ἀγαθοῦ, καὶ ἀνάβαινε πρὸς τὸν ἀγαθὸν καὶ κάθου ἐκεῖ μετὰ τοῦ πάντων ἡμῶν πατρὸς Ἐλωείμ." Καὶ ὑπήκουσε τῷ ἀγ-

38. Cod. οἱ λόγοι. 61. Leg. Ἐλωεὶμ καὶ τὰ sive τά τε μετά.
62. Fort. ὑπεσύρησαν.

*γέλῳ ὁ Ἰησοῦς εἰπὼν ὅτι “Κύριε ποιήσω πάντα,” καὶ ἐκήρυξεν. Ὑποσῦραι οὖν ὁ Νάας καὶ τοῦτον ἠθέλησε· πιστὸς γὰρ ἔμεινε τῷ Βαρούχ. Ὀργισθεὶς οὖν ὁ Νάας ὅτι αὐτὸν ὑποσῦραι οὐκ ἠδυνήθη, ἐποίησεν αὐτὸν σταυρωθῆναι. Ὁ δὲ καταλιπὼν τὸ σῶμα τῆς Ἐδὲμ πρὸς τὸ ξύλον ἀνέβη πρὸς τὸν ἀγαθόν. Εἰπὼν δὲ τῇ Ἐδὲμ, “Γύναι, ἀπέχεις σου τὸν υἱὸν,” τουτέστι τὸν ψυχικὸν ἄνθρωπον καὶ τὸν χοϊκόν. Αὐτὸς δὲ εἰς χεῖρας παραθέμενος τὸ πνεῦμα τοῦ πατρὸς, ἀνῆλθε πρὸς τὸν ἀγαθὸν, ὁ δὲ ἀγαθός ἐστι Πρίαπος, ὁ πρίν τι εἶναι ποιήσας· διὰ τοῦτο καλεῖται Πρίαπος, ὅτι ἐπριοποίησε τὰ πάντα. Διὰ τοῦτο, φησὶν, εἰς πάντα ναὸν ἵσταται, ὑπὸ πάσης τῆς κτίσεως τιμώμενος καὶ ἐν ταῖς ὁδοῖς βαστάζων τὰς ὀπώρας ἐπάνω αὐτοῦ, τουτέστι τοὺς καρποὺς τῆς κτίσεως ὧν αἴτιος ἐγένετο, πριοποιήσας τὴν κτίσιν πρῶτον οὐκ οὖσαν. Ὅταν οὖν, φησὶν, ἀκούσητε λεγόντων ἀνθρώπων ὅτι κύκνος ἐπὶ τὴν Λήδαν ἦλθε καὶ ἐτεκνοποίησεν ἐξ αὐτῆς, ὁ κύκνος ἐστὶν ὁ Ἐλωεὶμ, καὶ ἡ*
58 r. *Λήδα, ἡ Ἐδέμ. Καὶ ὅταν λέγωσιν οἱ ἄνθρωποι ὅτι ἀετὸς ἦλθεν ἐπὶ τὸν Γανυμήδην, ὁ ἀετός ἐστιν ὁ Νάας, ὁ δὲ Γανυμήδης ὁ Ἀδάμ· καὶ ὅταν λέγωσιν ὅτι ὁ χρυσὸς ἦλθεν ἐπὶ τὴν Δανάην καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς, ὁ χρυσός ἐστιν ὁ Ἐλωεὶμ, Δανάη δέ ἐστιν ἡ Ἐδέμ. Ὁμοίως δὲ κατὰ τὸν αὐτὸν τρόπον, πάντας τοὺς τοιούτους λόγους μύθοις ἐμφέροντας παρατιθέμενοι διδάσκουσιν. Ὅταν οὖν προφῆται λέγωσιν “Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, Κύριος ἐλάλησεν,” οὐρανὸν λέγει,*

69. Post *ἠθέλησε* fort. addend. [*ἀλλὰ Ἰησοῦς ἀκολουθῆσαι αὐτῷ οὐκ ἠθέλησε.*]

73. Fort. addend. [*ὅθεν ἀνέβη*] aut potius hic delendum *πρὸς τὸν ἀγαθὸν*, ex inferioribus l. 76 illatum.

87. Cod. bis *γαννυμήδ.*

92. Cod. *μύθους.*

93. Cod. *λέγουσιν.*

94. Supple *ἡ Γραφή.* Sic sæpissime Patres.

ib. Esai. I, 2.

φησὶ, τὸ πνεῦμα τὸ ἐν τῷ οὐρανῷ, τὸ τοῦ Ἐλωείμ· γῆν δὲ τὴν ψυχὴν τὴν ἐν τῷ ἀνθρώπῳ σὺν τῷ πνεύματι, Κύριον δὲ, τὸν Βαροὺχ, Ἰσραὴλ δὲ τὴν Ἐδέμ· Ἐδὲμ γὰρ λέγεται καὶ Ἰσραὴλ ἡ σύζυγος τοῦ Ἐλωείμ. Οὐκ ἐγνώκει, φησὶν, Ἰσραὴλ, εἰ γὰρ ἐγνώκει ὅτι πρὸς τῷ ἀγαθῷ εἰμὶ, οὐκ ἂν ἐκόλαζε τὸ πνεῦμα τὸ ἐν τοῖς οὐρανοῖς διὰ τὴν πατρικὴν ἄγνοιαν * ἐντεῦθεν.

27 Γέγραπται δὲ καὶ ὅρκος ἐν τῷ πρώτῳ βιβλίῳ τῷ ἐπιγραφομένῳ Βαροὺχ, ὃν ὁρκίζουσι τοὺς κατακούειν μέλλοντας τούτων τῶν μυστηρίων καὶ τελεῖσθαι παρὰ τῷ ἀγαθῷ· ὃν ὅρκον, φησὶν, ὤμοσεν ὁ πατὴρ ἡμῶν Ἐλωεὶμ παρὰ τῷ ἀγαθῷ γενόμενος, καὶ οὐ μετεμελήθη ὀμόσας, περὶ οὗ γέγραπται, φησὶν, "Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται." Ἔστι δὲ ὁ ὅρκος οὕτως· "Ὀμνύω τὸν ἐπάνω πάντων τῶν ἀγαθῶν τηρῆσαι τὰ μυστήρια ταῦτα καὶ ἐξειπεῖν μηδενὶ, μηδὲ ἀνακάμψαι ἀπὸ τοῦ ἀγαθοῦ ἐπὶ τὴν κτίσιν." Ἐπειδὰν δὲ ὀμόσῃ τοῦτον τὸν ὅρκον, εἰσέρχεται πρὸς τὸν ἀγαθὸν καὶ βλέπει, "ὅσα ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε
58 v. καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη," καὶ πίνει ἀπὸ τοῦ ζῶντος ὕδατος, ὅπερ ἐστὶ λουτρὸν αὐτοῖς, ὡς νομίζουσι, πηγὴ ζῶντος ὕδατος ἁλλομένου. Διακεχώρισται γὰρ, φησὶν, ἀνὰ μέσον ὕδατος καὶ ὕδατος, καὶ ἔστιν ὕδωρ τὸ ὑποκάτω τοῦ στερεώματος τῆς πονηρᾶς κτίσεως, ἐν ᾧ λούονται οἱ χοϊκοὶ καὶ ψυχικοὶ ἄνθρωποι, καὶ ὕδωρ ἐστὶν ὑπεράνω τοῦ στερεώματος τοῦ ἀγαθοῦ ζῶν, ἐν ᾧ λούονται οἱ πνευματικοὶ ζῶντες ἄνθρωποι, ἐν ᾧ ἐλούσατο Ἐλωεὶμ καὶ λουσάμενος οὐ μετεμελήθη. Καὶ ὅταν λέγῃ, φησὶν, ὁ προφήτης "λαβεῖν ἑαυτῷ

99. Es. I, 3.
2. Fort. hic lacuna.
6. Cod. ὠνόμασεν pro ὤμοσεν.
8. Psalm. CIX, 4.
10. Prius erat πάντα τὸν ἀγαθόν.
21. Cod. ὑπὸ ἄνω.

γυναῖκα πορνείας, διότι πορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθε τοῦ Κυρίου," τουτέστιν ἡ Ἐδὲμ ἀπὸ τοῦ Ἐλωεὶμ, ἐν τούτοις, φησὶν, ὁ προφήτης σαφῶς λαλεῖ τὸ ὅλον μυστήριον, καὶ οὐκ ἀκούεται διὰ τὴν κακίαν τοῦ Νάας. Κατὰ τὸν αὐτὸν ἐκεῖνον τρόπον, καὶ τὰς ἄλλας προφητικὰς ὁμοίως παραδιδοῦσι διὰ πλειόνων βιβλίων. Ἔστι δὲ αὐτοῖς προηγουμένως βιβλίον ἐπιγραφόμενον Βαροὺχ, ἐν ᾧ ὅλην τὴν τοῦ μύθου αὐτῶν διαγωγὴν ὁ ἐντυχὼν γνώσεται. Πολλαῖς μὲν οὖν αἱρέσεσιν ἐντυχὼν, ἀγαπητοὶ, οὐδενὶ τούτου κακῷ χείρονι ἐνέτυχον. Ἀληθῶς δὲ, ὥσπερ λέγει καὶ ὁ κατὰ, τὸν αὐτοῦ Ἡρακλέα δεῖ μιμησαμένους ἐκκαθᾶραι τὴν Αὐγείου κόπρον, μᾶλλον δὲ ἀμάραν, εἰς ἣν ἐμπεσόντες οἱ τούτου ἀνεχόμενοι οὐ πώποτε ἀποπλυθήσονται, ἀλλ' οὐδὲ ἀνακύψαι δυνήσονται.

28 Ἐπεὶ γοῦν καὶ τὰ Ἰουστίνου τοῦ ψευδογνωστικοῦ ἐπιχειρήματα ἐξεθέμεθα, δοκεῖ καὶ τὰς τῶν ἀκολούθων αἱρέσεων δόξας ἐν ταῖς ἑξῆς βίβλοις ἐκθέσθαι, μηδένα
59 r. δὲ καταλιπεῖν ἀνέλεγκτον αὐτῶν, τῶν ὑπ' αὐτῶν λεγομένων παρατιθεμένων, ὄντων ἱκανῶν πρὸς παραδειγματισμὸν εἰ καὶ μόνον ἐκρηθείη τὰ ἀπόκρυφα παρ' αὐτοῖς καὶ ἄρρητα, ἃ μόλις μετὰ πολλοῦ πόνου μυοῦνται οἱ ἄφρονες. Ἴδωμεν οὖν τί καὶ Σίμων λέγει.

25. Exod. XXXIV, 16.
33. Cod. εὖ τυχών.
35. Pro ὁ κατὰ fort. ὁ καλός.
38. Cod. ἀποπληθήσονται.
43. Cod. ἀνέλεκτον.
ib. Cod. ὑπ' αὐτόν.
45. Cod. ἐκκριθείη τὰ ἀπόκρυφα παρ' αὐτῆς.
46. Cod. μύονται.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ ϛʹ.

1 ΤΑΔΕ ἔνεστιν ἐν τῇ Ἕκτῃ τοῦ κατὰ πασῶν αἱρέσεων Ἐλέγχου.

2 Τίνα τὰ Σίμωνι τετολμημένα, καὶ ὅτι ἐκ μαγικῶν καὶ ποιητικῶν τὸ δόγμα κρατύνει.

3 Τίνα ὁ Οὐαλεντῖνος δογματίζει, καὶ ὅτι ἐκ Γραφῶν οὐ συνίσταται αὐτοῦ τὸ δόγμα, ἀλλὰ ἐκ τῶν Πλατωνικῶν καὶ Πυθαγορικῶν δογμάτων.

4 Καὶ τίνα τὰ Σεκούνδῳ καὶ Πτολεμαίῳ καὶ Ἡρακλέωνι δοκοῦντα, ὡς καὶ αὐτοὶ τοῖς αὐτοῖς, οἷς οἱ Ἕλληνες σοφοὶ, ἐχρήσαντο ἄλλοις ῥήμασι.

5 Τίνα τὰ Μάρκῳ καὶ Κολαρβάσῳ νομισθέντα, καὶ ὅτι τινὲς αὐτῶν μαγείαις καὶ ἀριθμοῖς Πυθαγορείοις ἔσχον.

6 Ὅσα μὲν οὖν ἐδόκει τοῖς ἀπὸ τοῦ ὄφεως τὰς ἀρχὰς παρειληφόσι καὶ κατὰ μείωσιν τῶν χρόνων εἰς φανερὸν τὰς δόξας ἑκουσίως προσενεγκαμένοις, ἐν τῇ πρὸ ταύτης βίβλῳ οὔσῃ πέμπτῃ τοὺς ἐλέγχους τῶν αἱρέσεων ἐξεθέμην. Νυνὶ δὲ καὶ τῶν ἀκολούθων τὰς γνώμας οὐ

13. Fort. ἐνέσχον vel ἐσχόλαζον. 15. Cod. περειληφόσι.

σιωπήσω, ἀλλ' οὐδὲ μίαν ἀνέλεγκτον καταλείψω, εἴγε δυνατὸν πάσας ἀπομνημονεῦσαι καὶ τὰ τούτων ἀπόρρητα ὄργια, ἃ δικαίως ὄργια κλητέον· οὐ γὰρ μακρὰν ἀπέχουσιν ὀργῆς τοιαῦτα τετολμηκότες, ἵνα καὶ τῇ ἐτυμολογίᾳ χρήσωμαι.

7 Δοκεῖ οὖν καὶ τὰ Σίμωνος τοῦ Γειττηνοῦ, κώμης τῆς Σαμαρείας, νῦν ἐκθέσθαι, παρ' οὗ καὶ τοὺς ἀκολούθους δείξομεν ἀφορμὰς λαβόντας, ἑτέροις ὀνόμασιν ὅμοια τετολμηκέναι. Οὗτος ὁ Σίμων μαγείας ἔμπειρος ὢν, καὶ τὰ μὲν παίξας πολλοὺς κατὰ τὴν Θρασυμήδους τέχνην, ᾧ τρόπῳ ἄνωθεν ἐξεθέμεθα, τὰ δὲ καὶ διὰ δαιμόνων κακουργήσας, θεοποιῆσαι ἑαυτὸν ἐπεχείρησεν,
59 v. ἄνθρωπος γόης καὶ μεστὸς ἀπονοίας, ὃν ἐν ταῖς Πράξεσιν οἱ ἀπόστολοι ἤλεγξαν· οὗ πολλῷ σοφώτερον καὶ μετριώτερον Ἄψεθος ὁ Λίβυς ὀρεχθεὶς θεὸς νομισθῆναι ἐν Λιβύῃ ἐπεχείρησεν, οὗ τὸν μῦθον οὐ πολύ τι ἀπεμφαίνοντα τῆς Σίμωνος τοῦ ματαίου ἐπιθυμίας, δοκεῖ διηγήσασθαι ὄντα ἄξιον τῆς τούτου ἐπιχειρήσεως.

8 Ἄψεθος ὁ Λίβυς ἐπεθύμησε θεὸς γενέσθαι· ὡς δὲ πολυπραγμονῶν πάνυ ἀπετύγχανε τῆς ἐπιθυμίας, ἠθέλησε κἂν δοκεῖν γεγονέναι, καὶ ἔδοξέ γε ὡς ἀληθῶς χρόνῳ πλείονι γεγονέναι θεός. Ἔθυον γὰρ οἱ ἀνόητοι Λίβυες αὐτῷ, θείᾳ τινὶ (δυνάμει) νομίζοντες ἄνωθεν ἐξ οὐρανοῦ πεπιστευκέναι φωνῇ. Συναθροίσας γὰρ εἰς ἕνα καὶ τὸν αὐτὸν οἰκίσκον ὄρνιθας πλείστους ψιττακοὺς κατέκλεισεν· εἰσὶ δὲ πλεῖστοι κατὰ τὴν Λιβύην ψιττακοὶ, καὶ ἐναργῶς μιμούμενοι πάνυ τὴν ἀνθρωπίνην φωνήν. Οὗτος χρόνῳ διαθρέψας τοὺς ὄρνεις ἐδίδαξε

24. Cod. γειττ$^{η}$ινοῦ. (sic).
27. Cod. μαγείαν.
33. Hæc Apostolius Proverb. s. v. Ψαφῶν.
41. Haud dubie delendum δυνάμει, a scriba insertum qui φωνῇ non exspectaret.

λέγειν· Ἄψεθος θεὸς ἐστίν. Ὡς δὲ ἤσκησαν οἱ ὄρνιθες χρόνῳ πολλῷ καὶ τοῦτο ἔλεγον ὅπερ ᾤετο τὸ λεχθὲν θεὸν εἶναι ποιήσειν νομίζεσθαι τὸν Ἄψεθον, τότε ἀνοίξας τὸ οἴκημα εἴασεν ἄλλον ἀλλαχόσε τοὺς ψιττακούς. Πετομένων δὲ τῶν ὀρνίθων, ἐξῆλθεν ὁ φθόγγος εἰς πᾶσαν τὴν Λιβύην, καὶ τὰ ῥήματα αὐτῶν διῆλθε μέχρι τῆς Ἑλληνικῆς γῆς, καὶ οὕτως οἱ Λίβυες καταπλαγέντες ἐπὶ τῇ τῶν ὀρνίθων φωνῇ τό, τε πραχθὲν ὑπὸ τοῦ Ἀψέθου πανούργευμα μὴ ἐννοήσαντες, θεὸν εἶχον τὸν Ἄψεθον. Τῶν δὲ Ἑλλήνων τις ἀκριβῶς ἐννοήσας τὸ σόφισμα τοῦ νενομισμένου θεοῦ, διὰ τῶν αὐτῶν ἐκείνων ψιττακῶν, οὐκ ἐλέγχει μόνον, ἀλλὰ καὶ ἀφανίζει τὸν ἀλαζόνα καὶ φορτικὸν ἐκεῖνον ἄνθρωπον. Μετεδίδαξε δὲ ὁ Ἕλλην καθείρξας πολλοὺς ἀπὸ τῶν ψιττακῶν λέγειν· "Ἄψεθος ἡμᾶς κατακλείσας ἠνάγκασε
60 r. λέγειν, Ἄψεθος θεὸς ἐστίν." Ἀκούσαντες δὲ οἱ Λίβυες τῆς παλινῳδίας τῶν ψιττακῶν, πάντες ὁμοθυμαδὸν συνελθόντες κατέκαυσαν τὸν Ἄψεθον.

9 Οὕτως ἡγητέον Σίμωνα τὸν μάγον ἀπεικάζοντας τῷ Λίβυϊ τάχιον ἀνθρώπῳ γενομένῳ οὕτως θεῷ. Εἰ δὲ ἔχει τὰ τῆς εἰκόνος ἀκριβῶς καὶ πέπονθεν ὁ μάγος πάθος τι παραπλήσιον Ἀψέθῳ, ἐπιχειρήσωμεν μεταδιδάσκειν τοῦ Σίμωνος τοὺς ψιττακοὺς, ὅτι Χριστὸς οὐκ ἦν Σίμων ὁ ἑστὼς, στὰς, στησόμενος· ἀλλ' ἄνθρωπος ἦν ἐκ σπέρματος γέννημα γυναικὸς, ἐξ αἱμάτων καὶ ἐπιθυμίας σαρκικῆς, καθάπερ καὶ οἱ λοιποὶ, γεγεννημένος· καὶ ὅτι ταῦθ' οὕτως ἔχει, προϊόντος τοῦ λόγου ῥᾳδίως ἐπιδείξομεν. Λέγει δὲ ὁ Σίμων μεταφράσων τὸν νόμον

48. Fort. delend. τό.
55. Cod. ἐνοήσαντες.
66. Nisi amplior corruptela subest, legendum certe τάχιον [ἢ] ἀνθρώπῳ γενομένῳ ὄντως θεῷ, de Christo; confer sequentia.
68. Leg. videtur ἐπιχειρήσομεν.
74. Cod. μεταφράσσων.

Μωϋσέως ἀνοήτως τε καὶ κακοτέχνως· Μωσέως γὰρ λέγοντος ὅτι ὁ θεὸς πῦρ φλέγον ἐστὶ καὶ καταναλίσκον, δεξάμενος τὸ λεχθὲν ὑπὸ Μωσέως οὐκ ὀρθῶς, πῦρ εἶναι τῶν ὅλων λέγει τὴν ἀρχὴν, οὐ νοήσας τὸ εἰρημένον ὅτι θεὸς οὐ πῦρ, ἀλλὰ πῦρ φλέγον καὶ καταναλίσκον, οὐκ αὐτὸν διασπῶν μόνον τὸν νόμον Μωσέως, ἀλλὰ καὶ τὸν σκοτεινὸν Ἡράκλειτον συλαγωγῶν. Ἀπέραντον δὲ εἶναι δύναμιν ὁ Σίμων προσαγορεύει τῶν ὅλων τὴν ἀρχὴν, λέγων οὕτως· "Τοῦτο τὸ γράμμα ἀποφάσεως φωνῆς καὶ ὀνόματος ἐξ ἐπινοίας τῆς μεγάλης δυνάμεως τῆς ἀπεράντου. Διὸ ἔσται ἐσφραγισμένον, κεκρυμμένον, κεκαλυμμένον, κείμενον ἐν τῷ οἰκητηρίῳ οὗ ἡ ῥίζα τῶν ὅλων τεθεμελίωται." Οἰκητήριον δὲ λέγει εἶναι τὸν ἄνθρωπον τοῦτον τὸν ἐξ αἱμάτων γεγεννημένον, καὶ κατοικεῖν ἐν αὐτῷ τὴν ἀπέραντον δύναμιν, ἣν ῥίζαν εἶναι τῶν ὅλων φησίν. Ἔστι δὲ ἡ ἀπέραντος δύναμις τὸ πῦρ κατὰ τὸν Σίμωνα, οὐδὲν ἁπλοῦν, καθάπερ οἱ
60 v. πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ τέσσαρα στοιχεῖα καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλὰ γὰρ εἶναι τὴν τοῦ πυρὸς διπλῆν τινὰ τὴν φύσιν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι κρυπτὸν, τὸ δέ τι φανερόν· κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τοῦ πυρὸς, καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Ἔστι δὲ τοῦτο ὅπερ Ἀριστοτέλης δυνάμει καὶ ἐνεργείᾳ καλεῖ ἢ Πλάτων νοητὸν καὶ αἰσθητόν. Καὶ τὸ μὲν φανερὸν τοῦ πυρὸς πάντα ἔχει ἐν ἑαυτῷ ὅσα ἄν τις ἐπινοήσῃ, ἢ καὶ λάθῃ παραλιπὼν τὸν ἀόρατον. Τὸ δὲ κρυπτὸν πᾶν

75. Cod. Μωύσεος.

76. Cod. φλέγων—καταναλίσκω̊ν. Vid. Deuteron. IV, 24.

79. Cod. φλέγω̊ν καὶ καταναλίσκων.

81. Cod. συλλαγωγῶν.

83. Fort. ἀπόφασις.

85. Cod. τοῦ ἀπεράντου.

93, 94. Aut prius aut posterius τὴν est delendum.

99. Cod. Πλάττων.

2. Leg. videtur τῶν ὁρατῶν.

ὅ, τι ἐννοήσει τις νοητὸν καὶ πεφευγὸς τὴν αἴσθησιν, εἰ καὶ παραλείπει μὴ διανοηθείς. Καθόλου δέ ἐστιν εἰπεῖν, πάντων τῶν ὄντων αἰσθητῶν τε καὶ νοητῶν ὧν ἐκεῖνος κρυφίως καὶ φανερῶς προσαγορεύει, ἔστι θησαυρὸς τὸ πῦρ τὸ ὑπερουράνιον οἱονεὶ δένδρον μέγα ὡς δι' ὀνείρου βλεπόμενον τῷ Ναβουχοδονόσορ, ἐξ οὗ πᾶσα σὰρξ τρέφεται. Καὶ τὸ μὲν φανερὸν εἶναι τοῦ πυρὸς νομίζει τὸ πρέμνον, τοὺς κλάδους, τὰ φύλλα, τὸν ἔξωθεν αὐτῶν περικείμενον φλοιόν. Ἅπαντα, φησὶ, ταῦτα τοῦ μεγάλου δένδρου ἀναφθέντα ἀπὸ τῆς παμφάγου τοῦ πυρὸς ἀφανίζεται φλογός. Ὁ δὲ καρπὸς τοῦ δένδρου ἐὰν ἐξεικονισθῇ καὶ τὴν ἑαυτοῦ μορφὴν ἀπολάβῃ, εἰς ἀποθήκην τίθεται, οὐκ εἰς τὸ πῦρ. Γέγονε μὲν γὰρ, φησὶν, ὁ καρπὸς ἵνα εἰς τὴν ἀποθήκην τεθῇ, τὸ δὲ ἄχυρον, ἵνα παραδοθῇ τῷ πυρὶ, ὅπερ ἐστὶ πρέμνον, οὐκ αὐτοῦ χάριν, ἀλλὰ τοῦ καρποῦ γεγενημένον.

10 Καὶ τοῦτο ἐστὶ, φησὶ, τὸ γεγραμμένον ἐν τῇ γραφῇ· "Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ
61 r. ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον." Εἰ δὲ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον, δέδεικται, φησὶν, ὅτι ξύλον οὐκ ἄλλο τι ἀλλ' ἢ ἄνθρωπος ἐστίν. Ἀλλὰ περὶ τῆς ἐκκρίσεως αὐτοῦ καὶ διακρίσεως ἱκανῶς, φησὶν, εἴρηκεν ἡ Γραφὴ, καὶ πρὸς διδασκαλίαν ἀρκεῖ τοῖς ἐξεικονισμένοις τὸ λεχθὲν, ὅτι "πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα σαρκὸς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα." Ῥῆμα δὲ, φησὶν, ἐστὶ

3. Cod. πεφευγώς.
5. Cod. ὅλων pro ὄντων.
7. Leg. μέγα τὸ δι' ὀνείρου, vel ὡς τό.
8. Cod. τὸν Ν. pro τῷ Ν. Cf. Daniel. cap. IV, 6–9.
10. Cod. τῶν pro τόν.
14. Cod. ἀπολαύῃ.
18. Cod. γεγενήμενον.
20. Esai. V, 7.
26. Esai. XL, 6–8.

Κυρίου, τὸ ἐν στόματι γεννώμενον ῥῆμα καὶ λόγος, ἀλλ' ἡ χωρίον γενέσεως οὐκ ἔστι.

11 Τοιούτου δὲ ὄντος, ὡς δι' ὀλίγων εἰπεῖν, κατὰ τὸν Σίμωνα τοῦ πυρὸς, καὶ πάντων τῶν ὄντων ὁρατῶν καὶ ἀοράτων, ὧν αὐτὸς ἐνήχων καὶ ἤχων καὶ ἀριθμητῶν ἀριθμῶν, ἐν τῇ Ἀποφάσει τῇ μεγάλῃ καλεῖ τελείων νοερῶν οὕτως ὡς ἕκαστον τῶν ἀπειράκις ἀπείρως ἐπινοηθῆναι δυναμένων καὶ λαλεῖν καὶ διανοεῖσθαι καὶ ἐνεργεῖν, οὕτως ὥς φησιν Ἐμπεδοκλῆς·

Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
αἰθέρι δ' αἰθέρα [δῖον], ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
καὶ [στοργῇ] στοργὴν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.

12 Πάντα γὰρ, φησὶν, ἐνόμιζε τὰ μέρη τοῦ πυρὸς τὰ ἀόρατα, φρόνησιν ἔχειν καὶ γνώμην ἴσην. Γέγονεν οὖν ὁ κόσμος ὁ γεννητὸς ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δὲ, φησὶ, γενέσθαι τοῦτον τὸν τρόπον. Ἓξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γεννήσεως λαβὼν ὁ γεννητὸς ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου· γεγονέναι δὲ τὰς ῥίζας φησὶ κατὰ συζυγίας ἀπὸ τοῦ πυρὸς, ἅστινας
61 v. ῥίζας καλεῖ νοῦν καὶ ἐπίνοιαν, φωνὴν καὶ ὄνομα, λογισμὸν καὶ ἐνθύμησιν· εἶναι δὲ ἐν ταῖς ἓξ ῥίζαις ταύταις πᾶσαν ὁμοῦ τὴν ἀπέραντον δύναμιν δυνάμει, οὐκ ἐνεργείᾳ. Ἥντινα ἀπέραντον δύναμιν φησὶ τὸν ἑστῶτα στησόμενον. Ὡς ἐὰν μὲν ἐξεικονισθῇ ὧν ἐν ταῖς ἓξ δυνάμεσιν ἔσται οὐσίᾳ, δυνάμει, μεγέθει, ἀπο-

31. Fort. ἄλλο δὲ χωρίον, sive, quod malim, οὗ vel ᾧ ἄλλο χωρ.
32. Cod. ὀλίγον.
34–38. Locus corruptissimus.
39. Emped. v. 318 ed. Sturz. ib. Cod. δὲ ὕδωρ.
40. Cod. om. δῖον.
41. Cod. καὶ στοργὴν νεῖκος ἐπὶ ν. Addidi στοργῇ. In editt. στοργῇ δὲ στοργὴν, νεῖκος δέ τε νείκεϊ λυγρῷ.
46. Post γεννητὸς fort. add. γέγονεν.
53. Post ἑστῶτα excidit στάντα, quod l. 76 et alibi legitur in hac formula.
ib. ὧν delendum videtur.

τελέσματι, μία καὶ ἡ αὐτὴ τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει, καὶ οὐδὲν ὅλως ἔχουσα ἐνδεέστερον ἐκείνης τῆς ἀγεννήτου καὶ ἀπαραλλάκτου ἀπεράντου δυνάμεως. Ἐὰν δὲ μείνῃ τῇ δυνάμει μόνον ἐν ταῖς ἓξ δυνάμεσι καὶ μὴ ἐξεικονισθῇ, ἀφανίζεται, φησὶ, καὶ ἀπόλλυται οὕτως ὡς ἡ δύναμις ἡ γραμματικὴ, ἡ γεωμετρικὴ ἐν ἀνθρώπου ψυχῇ. Προσλαβοῦσα γὰρ ἡ δύναμις τέχνην, φῶς τῶν γινομένων γίνεται· μὴ προσλαβοῦσα δὲ, ἀτεχνία καὶ σκότος, καὶ ὡς ὅτε οὐκ ἦν, ἀποθνήσκοντι τῷ ἀνθρώπῳ συνδιαφθείρεται.

13 Τῶν δὲ ἓξ δυνάμεων τούτων καὶ τῆς ἑβδόμης τῆς μετὰ τῶν ἓξ καλεῖ τὴν πρώτην συζυγίαν, νοῦν καὶ ἐπίνοιαν, οὐρανὸν καὶ γῆν· καὶ τὸν μὲν ἄρσενα ἄνωθεν ἐπιβλέπειν καὶ προνοεῖν τῆς συζύγου, τὴν δὲ γῆν ὑποδέχεσθαι κάτω τοὺς ἀπὸ τοῦ οὐρανοῦ νοεροὺς καταφερομένους τῇ γῇ συγγενεῖς καρπούς. Διὰ τοῦτο, φησὶν, ἀποβλέπων πολλάκις ὁ λόγος πρὸς τὰ ἐκ νοὸς καὶ ἐπινοίας γεγεννημένα, τουτέστιν ἐξ οὐρανοῦ καὶ γῆς, λέγει, "Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλά-
62 r. λησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν." Ὁ δὲ λέγων ταῦτα, φησὶν, ἡ ἑβδόμη δύναμίς ἐστιν ἑστὼς, στὰς, στησόμενος· αὐτὸς γὰρ αἴτιος τούτων τῶν καλῶν ὧν ἐπῄνεσε Μωσῆς, καὶ εἶπε καλὰ λίαν. Ἡ δὲ φωνὴ καὶ τὸ ὄνομα, ἥλιος καὶ σελήνη. Ὁ δὲ λογισμὸς καὶ ἡ ἐνθύμησις, ἀὴρ καὶ ὕδωρ. Ἐν δὲ τούτοις ἅπασιν ἐμμέμικται καὶ κέκραται, ὡς ἔφην, ἡ μεγάλη δύναμις ἡ ἀπέραντος, ὁ ἑστώς.

14 Μωσέως οὖν εἰρηκότος, "Ἓξ ἡμέραις ἐν αἷς ὁ θεὸς

56. καὶ in marg. cod.
57. Cod. ἀπαραλάκτου.
63. Cod. ὅτι.
68. Cod. ὑποδέχεται.
72. Cod. ἐπιννοίας.
73. Es. I, 2.
77. Genes. I, 31.
82. Genes. II, 2.

ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ," τὸν εἰρημένον τρόπον μετοικονομήσας ὁ Σίμων, ἑαυτὸν θεοποιεῖ. Ὅταν οὖν λέγωσιν, ὅτι εἰσὶ τρεῖς ἡμέραι πρὸ ἡλίου καὶ σελήνης γεγενημέναι, αἰνίσσονται νοῦν καὶ ἐπίνοιαν, τουτέστιν οὐρανὸν καὶ γῆν, καὶ τὴν ἑβδόμην δύναμιν τὴν ἀπέραντον. Αὗται γὰρ αἱ τρεῖς δυνάμεις εἰσὶ πρὸ πασῶν τῶν ἄλλων γενόμεναι. Ὅταν δὲ λέγωσι, "Πρὸ πάντων τῶν αἰώνων γεννᾷ με," περὶ τῆς ἑβδόμης, φησὶ, δυνάμεως τὰ τοιαῦτα λέγεται εἶναι. Ἑβδόμη δὲ αὕτη δύναμις ἥτις ἦν δύναμις ὑπάρχουσα ἐν τῇ ἀπεράντῳ δυνάμει ἥτις γέγονε πρὸ πάντων τῶν αἰώνων, αὕτη ἐστὶ, φησὶν, ἡ ἑβδόμη δύναμις, περὶ ἧς λέγει Μωσῆς· "Καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος·" τουτέστι, φησὶ, τὸ πνεῦμα τὸ πάντα ἔχον ἐν ἑαυτῷ, εἰκὼν τῆς ἀπεράντου δυνάμεως περὶ ἧς ὁ Σίμων λέγει· Εἰκὼν ἐξ ἀφθάρτου μορφῆς, κοσμοῦσα μόνη πάντα. Αὕτη γὰρ ἡ δύναμις ἡ ἐπιφερομένη ἐπάνω τοῦ ὕδατος ἐξ ἀφθάρτου, φησὶ, γεγενημένη μορφῆς, κοσμεῖ μόνη πάντα. Τοιαύτης οὖν τινὸς καὶ παραπλησίου τῆς κατασκευῆς τοῦ κόσμου γενομένης παρ' αὐτοῖς, ἔπλασε, φησὶν, ὁ
62 v. θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβών· ἔπλασε δὲ οὐχ ἁπλοῦν, ἀλλὰ διπλοῦν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν. Εἰκὼν δέ ἐστι τὸ πνεῦμα τοῦ ἐπιφερομένου ἐπάνω τοῦ ὕδατος, ὃ ἐὰν μὴ ἐξεικονισθῇ μετὰ τοῦ κόσμου ἀπολεῖται, δυνάμει μεῖναν μόνον καὶ μὴ ἐνεργείᾳ γενόμενον. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον, "Ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν." Ἐὰν δὲ ἐξεικονισθῇ καὶ γένηται ἀπὸ στιγμῆς ἀμερίστου, ὡς γέγραπται ἐν τῇ

90. Fort. ex Psalm. CIX, 3.
95. Genes. I, 2.
97. Cod. τῷ πάντα ἔχειν.
5. Genes. II, 7.
7. Fort. τὸ ἐπιφερόμενον.
10. 1 Corinth. XI, 32.

Ἀποφάσει, τὸ μικρὸν μέγα γενήσεται. Τὸ δὲ μέγα ἔσται εἰς τὸν ἄπειρον αἰῶνα, καὶ ἀπαράλλακτον τὸ μηκέτι γινόμενον. Πῶς οὖν καὶ τίνα τρόπον, φησὶ, πλάσσει τὸν ἄνθρωπον ὁ θεὸς ἐν παραδείσῳ, οὕτως γὰρ αὐτῷ δοκεῖ. Ἔστω, φησὶ, παράδεισος ἡ μήτρα, καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς ἡ Γραφὴ διδάξει ὅτε λέγει· Ἐγώ εἰμι ὁ πλάσσων σε ἐν μήτρᾳ μητρός σου. Καὶ τοῦτο γὰρ οὕτω θέλει γεγράφθαι. Τὸν παράδεισον, φησὶν, ἀλληγορῶν ὁ Μωσῆς, τὴν μήτραν εἴρηκεν, εἴπερ δεῖ τῷ λόγῳ πιστεύειν. Εἰ δὲ πλάσσει ὁ θεὸς ἐν μήτρᾳ μητρὸς τὸν ἄνθρωπον, τουτέστιν ἐν παραδείσῳ, ὡς ἔφην, ἔστω παράδεισος ἡ μήτρα, Ἐδὲμ δὲ τὸ χωρίον· "ποταμὸς ἐκπορευόμενος ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον," ὁ ὀμφαλός· οὗτος, φησὶν, ἀφορίζεται ὁ ὀμφαλὸς εἰς τέσσαρας ἀρχὰς, ἑκατέρωθεν γὰρ τοῦ ὀμφαλοῦ δύο εἰσὶν ἀρτηρίαι παρατεταγμέναι, ὀχετοὶ πνεύματος, καὶ δύο φλέβες ὀχετοὶ αἵματος. Ἐπειδὰν δὲ, φησὶν, ἀπὸ τοῦ Ἐδὲμ χωρίου ἐκπορευόμενος ὁ ὀμφαλὸς ἐμφυῇ τῷ γενο-
63 r. μένῳ κατὰ τὸ ἐπιγάστριον * ὃν κοινῶς πάντες προσαγορεύουσιν ὀμφαλόν· αἱ δὲ δύο φλέβες, δι' ὧν ῥεῖ καὶ φέρεται ἀπὸ τοῦ Ἐδὲμ τοῦ χωρίου τὸ αἷμα κατὰ τὰς καλουμένας πύλας τοῦ ἥπατος, αἵτινες τὸ γεννώμενον τρέφουσιν· αἱ δὲ ἀρτηρίαι ἃς ἔφημεν ὀχετοὺς εἶναι πνεύματος, ἑκατέρωθεν μὲν λαβοῦσαι τὴν κύστιν κατὰ τὸ πλατὺ ὀστοῦν, πρὸς τὴν μεγάλην συνάπτουσιν ἀρτηρίαν τὴν κατὰ ῥάχιν καλουμένην ἀορτὴν, καὶ οὕτως διὰ τῶν παραθύρων ἐπὶ τὴν καρδίαν ὁδεῦσαν τὸ πνεῦμα, κίνησιν ἐργάζεται τῶν ἐμβρύων. Πλαττόμενον γὰρ τὸ βρέφος ἐν τῷ παραδείσῳ, οὔτε τῷ στόματι τροφὴν

14. Cod. ἀπαράλακτον.
15. Cod. πλάσεις.
19. Cod. πλάσων.
25. Cod. ποτίζει. Correxi ex Genes. II, 10.
31. Excidisse aliqua videntur.
36. μὲν fortasse delendum, aut leg. συνλαβοῦσαι (συλλ.).

λαμβάνει, οὔτε ταῖς ῥισὶν ἀναπνέει· ἐν ὑγροῖς γὰρ ὑπάρχοντι αὐτῷ παρὰ πόδας ἦν ὁ θάνατος εἰ ἀνέπνευσεν· ἐπεσπάσατο γὰρ ἂν ἀπὸ τῶν ὑγρῶν καὶ ἐφθάρη. Ἀλλὰ γὰρ ὅλον περιέσφιγκται τῷ καλουμένῳ χιτῶνι ἀμνίῳ, τρέφεται δὲ δι' ὀμφαλοῦ, καὶ διὰ τῆς κατὰ ῥάχιν, ὡς ἔφην, τὴν τοῦ πνεύματος οὐσίαν λαμβάνει.

15 Ὁ οὖν ποταμὸς, φησὶν, ὁ ἐκπορευόμενος ἐξ Ἐδὲμ εἰς τέσσαρας ἀφορίζεται ἀρχὰς, ὀχετοὺς τέσσαρας, τουτέστιν εἰς τέσσαρας αἰσθήσεις τοῦ γεννωμένου, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν καὶ ἁφήν. Ταύτας γὰρ ἔχει μόνας τὰς αἰσθήσεις ἐν τῷ παραδείσῳ πλασσόμενον τὸ παιδίον. Οὗτος, φησὶν, ἐστὶν ὁ νόμος ὃν ἔθηκε Μωσῆς, καὶ πρὸς τοῦτον αὐτὸν τὸν νόμον γέγραπται τῶν βιβλίων ἕκαστον, ὡς ἐπιγραφαὶ δηλοῦσι. Τὸ πρῶτον βιβλίον, Γένεσις· ἤρκει, φησὶ, πρὸς γνῶσιν τῶν ὅλων ἡ ἐπιγραφὴ τοῦ βιβλίου. Αὕτη γὰρ, φησὶν, ἐστὶν, ἡ γένεσις, ὅρασις εἰς ἣν ἀφορίζεται ποταμοῦ σχίσις ἡ μία. Ἐθεάθη γὰρ ὁ κόσμος ἐν ὁράσει. Αὖ γραφὴ βιβλίου δευτέρου Ἔξοδος. Ἔδει γὰρ τὸ γεν-
63 v. νηθὲν, τὴν Ἐρυθρὰν διοδεῦσαν θάλασσαν, ἐλθεῖν ἐπὶ τὴν ἔρημον (ἐρυθρὰν δὲ λέγει, φασὶ, τὸ αἷμα,) καὶ γεύσασθαι πικρὸν ὕδωρ. Πικρὸν γὰρ, φησὶν, ἐστὶ τὸ ὕδωρ τὸ μετὰ τὴν Ἐρυθρὰν θάλασσαν, ὅπερ ἐστὶν ὁδὸς τῆς κατὰ τὸν βίον γνώσεως τῶν ἐπιπόνων ὁδευομένη καὶ πικρῶν. Στραφὲν δὲ ὑπὸ Μωσέως, τουτέστι τοῦ λόγου, τὸ πικρὸν ἐκεῖνο γίνεται γλυκύ. Καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κοινῇ πάντων ἐστὶν ἀκοῦσαι κατὰ τοὺς ποιητὰς λεγόντων,

Ῥίζῃ μὲν μέλαν [ἔσκε], γάλακτι δὲ εἴκελον ἄνθος·

51. Delend. ἀκοὴν, ut ex sequentibus liquido apparet.
59. Leg. ἐπιγραφὴ βιβλίου.
62. Fort. φησί. Sed hæc insititia videntur.
66. Cod. πικρόν.
70. Od. K, 304.
ib. ἔσκε addidi ex Homero.

μῶλυ δέ μιν καλέουσι θεοί· χαλεπὸν δέ τ᾿ ὀρύσσειν
ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα δύνανται.

16 Ἀρκεῖ, φησὶ, λεχθὲν ὑπὸ τῶν ἐθνῶν πρὸς ἐπίγνωσιν τῶν ὅλων τοῖς ἔχουσιν ἀκοὰς . . . . . κοῆς· τούτου γὰρ, φησὶν, ὁ γευσάμενος τοῦ καρποῦ ὑπὸ τῆς Κίρκης οὐκ ἀπεθηριώθη μόνος, ἀλλὰ καὶ τοὺς ἤδη τεθηριωμένους τῇ δυνάμει χρώμενος τοῦ τοιούτου καρποῦ εἰς τὸν πρῶτον ἐκεῖνον τὸν ἴδιον αὐτῶν ἀνέπλασε καὶ ἀνετύπωσε καὶ ἀνεκαλέσατο χαρακτῆρα. Πιστὸς δὲ ἀνὴρ καὶ ἀγαπώμενος ὑπὸ τῆς φαρμακίδος ἐκείνης, διὰ τὸν γαλακτώδη καὶ θεῖον ἐκεῖνον καρπὸν, φησὶν, εὑρίσκεται. Λευϊτικὸν ὁμοίως τὸ τρίτον βιβλίον, ὅπερ ἐστὶν ἡ ὄσφρησις ἀναπνοή. Θυσιῶν γάρ ἐστι καὶ προσφορῶν ὅλον ἐκεῖνο τὸ βιβλίον. Ὅπου δέ ἐστι θυσία, ὀσμή τις εὐωδίας ἀπὸ τῆς θυσίας διὰ τῶν θυμιαμάτων γίνεται· περὶ ἣν εὐωδίαν ὄσφρησιν εἶναι δ[οκιμαστή]ριον. Ἀριθμοὶ τὸ τέταρτον τῶν βιβλίων, γεῦσιν λέγει ὅπου λόγος ἐνεργεῖ. Διὰ γὰρ τοῦ λαλεῖν πάντα, ἀριθμοῦ τάξει καλεῖται.
64 r. Δευτερονόμιον δὲ, φησὶν, ἐστὶ πρὸς τὴν ἁφὴν τοῦ πεπλασμένου παιδίου γεγραμμένον. Ὥσπερ γὰρ ἡ ἁφὴ τὰ ὑπὸ τῶν ἄλλων αἰσθήσεων ὁραθέντα θιγοῦσα ἀνακεφαλαιοῦται καὶ βεβαιοῖ, σκληρὸν ἢ θερμὸν ἢ γλίσχρον δοκιμάσασα, οὕτως τὸ πέμπτον βιβλίον τοῦ νόμου, ἀνακεφαλαίωσις ἐστὶ τῶν πρὸ αὐτοῦ γραφέντων τεσσάρων. Πάντα οὖν, φησὶ, τὰ ἀγέννητα ἐστὶν ἐν ἡμῖν δυνάμει, οὐκ ἐνεργείᾳ, ὡς ἡ γραμματικὴ, ἡ γεωμετρική. Ἐὰν οὖν τύχῃ τοῦ λόγου τοῦ προσήκοντος καὶ διδασκαλίας, καὶ στραφήσεται τὸ πικρὸν εἰς γλυκὺ,

72. Cod. δύνανταί τε.

73. Post φησὶ fort. add. τὸ vel τοῦτο.

74. Fort. ὑπακοῆς.

78. Cod. ἐνέπλασε.

82. Fort. ἡ ὄσφρησις καὶ (sive ἢ) ἀναπνοή.

93. Post γλίσχρον insere ἢ ψυχρόν.

τουτέστιν αἱ ζιβύναι εἰς δρέπανα καὶ αἱ μάχαιραι εἰς ἄροτρα, οὐκ ἔσται ἄχυρα καὶ ξύλα τὰ γεννώμενα πυρὶ, ἀλλὰ καρπὸς τέλειος ἐξεικονισμένος, ὡς ἔφην, ἴσος καὶ ὅμοιος τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει. Ἐὰν δὲ μείνῃ δένδρον μόνον καρπὸν μὴ ποιοῦν, ἐξεικονισμένον ἀφανίζεται. Ἐγγὺς γάρ που, φησὶν, ἡ ἀξίνη παρὰ τὰς ῥίζας τοῦ δένδρου· πᾶν δένδρον, φησὶ, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.

17 Ἔστιν οὖν κατὰ τὸν Σίμωνα, τὸ μακάριον καὶ ἄφθαρτον ἐκεῖνο ἐν παντὶ κεκρυμμένον, δυνάμει, οὐκ ἐνεργείᾳ, ὅπερ ἐστὶν ὁ ἑστὼς, στὰς, στησόμενος, ἑστὼς ἄνω, ἐν τῇ ἀγεννήτῳ δυνάμει, στὰς κάτω, ἐν τῇ ῥοῇ τῶν ὑδάτων ἐν εἰκόνι γεννηθεὶς, στησόμενος ἄνω, παρὰ τὴν μακαρίαν ἀπέραντον δύναμιν ἐὰν ἐξεικονισθῇ. Τρεῖς γὰρ, φησὶν, εἰσὶν ἑστῶτες, καὶ ἄνευ τοῦ τρεῖς εἶναι ἑστῶτας αἰῶνας, οὐ κοσμεῖται ὁ ἀγέννητος ὁ κατ' αὐτοὺς ἐπὶ τοῦ ὕδατος φερόμενος, ὁ καθ' ὁμοίωσιν ἀναπεπλασμένος τέλειος ἐπ[ουράνιος], κατὰ δὲ μίαν ἐπίνοιαν
64 v. ἐνδεέστερος τῆς ἀγεννήτου δυνάμεως γενόμενος, τουτέστιν ὃ λέγουσιν, ἐγὼ καὶ σὺ, ἓν πρὸ ἐμοῦ σὺ, τῷ μετὰ σὲ, ἐγώ. Αὕτη, φησὶν, ἐστὶ δύναμις μία, διῃρημένη ἄνω, κάτω, αὐτὴν γεννῶσα, αὐτὴν αὔξουσα, αὐτὴν ζητοῦσα, αὐτὴν εὑρίσκουσα, αὐτῆς μήτηρ οὖσα, αὐτῆς πατὴρ, αὐτῆς ἀδελφὴ, αὐτῆς σύζυγος, αὐτῆς θυγάτηρ, αὐτῆς υἱὸς, μήτηρ, πατὴρ, ἓν οὖσα ῥίζα τῶν ὅλων. Καὶ ὅτι, φησὶν, ἀπὸ πυρὸς ἡ ἀρχὴ τῆς γενέσεως ἐστὶ τῶν γεννωμένων, τοιοῦτον κατανόει τινὰ τρόπον. Πάντων ὅσων γένεσίς ἐστιν ἀπὸ πυρὸς, ἡ ἀρχὴ τῆς ἐπιθυμίας τῆς γενέσεως γίνεται. Τοιγαροῦν πυροῦσθαι τὸ

99. Esai. II, 4.
5. Matth. III, 10; Luc. III, 9.
19. Pro τῷ fort. leg. τό.

21. Cod. αὐτὴν et sic ubique.
24. Cod. ἑνοῦσα. Mox κατανοεῖ.
28. Cod. γενέσεως (ν superscr.).

ἐπιθυμεῖν τῆς μεταβλητῆς γενέσεως ὀνομάζεται. Ἐνδέον τὸ πῦρ τροφὰς τρέφεται. Διὸ στρέφεται γὰρ, φησὶν, ἐν τῷ ἀνδρὶ τὸ αἷμα, καὶ θερμὸν, καὶ ξανθὸν, ὡς πῦρ τυπούμενον εἰς σπέρμα· ἐν δὲ τῇ γυναικὶ, τὸ αὐτὸ τοῦτο αἷμα εἰς γάλα. Καὶ γίνεται ἡ τοῦ ἄρρενος τροπὴ, γένεσις· ἡ δὲ τῆς θηλείας τροπὴ, τροφὴ τῷ γεννωμένῳ. Αὕτη, φησὶν, ἐστὶν ἡ φλογίνη ῥομφαία ἡ στρεφομένη φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Στρέφεται γὰρ τὸ αἷμα εἰς σπέρμα καὶ γάλα, καὶ γίνεται ἡ δύναμις αὕτη, μήτηρ καὶ πατὴρ παρὰ τῶν γινομένων, καὶ αὔξησις τῶν τρεφομένων, ἀπροσδεὴς, αὐτάρκης. Φυλάσσεται δὲ, φησὶ, τὸ ξύλον τῆς ζωῆς διὰ τῆς στρεφομένης φλογίνης ῥομφαίας, ὡς εἰρήκαμεν, ἡ δύναμις ἡ ἑβδόμη ἡ ἐξ αὐτῆς, ἡ πάντας ἔχουσα, ἡ ἐν ταῖς ἓξ κατακειμένη δυνάμεσιν. Ἐὰν γὰρ μὴ στρέ-
65 r. φηται ἡ φλογίνη ῥομφαία, φθαρήσεται καὶ ἀπολεῖται τὸ καλὸν ἐκεῖνο ξύλον. Ἐὰν δὲ στρέφηται εἰς σπέρμα καὶ γάλα ὁ δυνάμει ἐν τούτοις κατακείμενος λόγος τοῦ προσήκοντος καὶ τόπου κυρίου, ἐν ᾧ γεννᾶται λόγος ψυχῶν, ἀρξάμενος ὢν ἀπὸ σπινθῆρος ἐλαχίστου, παντελῶς μεγαλυνθήσεται καὶ αὐξήσει, καὶ ἔσται δύναμις ἀπέραντος, ἀπαράλλακτος αἰῶνι ἀπαραλλάκτῳ μηκέτι γινομένῳ εἰς τὸν ἀπέραντον αἰῶνα.

18 Γέγονεν οὖν ὁμολογουμένως κατὰ τοῦτον τὸν λόγον τοῖς ἀνοήτοις Σίμων θεὸς, ὥσπερ ὁ Λίβυς ἐκεῖνος ὁ καὶ Ἄψεθος, γεννητὸς μὲν καὶ παθητὸς, ὅταν ᾖ ἐν δυνάμει, ἀπαθὴς δὲ ἐκ γεννητοῦ, ὅταν ἐξεικονισθῇ καὶ γενό-

29. Fort. ἐνθέον [δὲ] τὸ πῦρ στροφῇ τρέφεται δᾳδός. Στρέφεται γάρ.
34. Cod. γένεσις (ν superscr.).
ib. Cod. τρυφή.
35. Vide Genes. III, 24.
45. Cod. στρέφεται.
47. Fort. τοῦ προσήκοντος ὢν τόπου κύριος ἐν — et infra ὢν delendum.
50. Cod. ἀπαράλλακτος — ἀπαραλλάκτῳ.
54. Cod. ὅτε ἄν.

μενος τέλειος ἐξέλθῃ τῶν δυνάμεων τῶν πρώτων δύο, τουτέστιν οὐρανοῦ καὶ γῆς. Λέγει γὰρ Σίμων διαρρήδην περὶ τούτου ἐν τῇ Ἀποφάσει οὕτως· Ὑμῖν οὖν λέγω ἃ λέγω, καὶ γράφω ἃ γράφω. Τὸ γράμμα τοῦτο· δύο εἰσὶ παραφυάδες τῶν ὅλων αἰώνων, μήτε ἀρχὴν μήτε πέρας ἔχουσαι, ἀπὸ μιᾶς ῥίζης, ἥτις ἐστὶ δύναμις, σιγὴ, ἀόρατος, ἀκατάληπτος, ὧν ἡ μία φαίνεται ἄνωθεν, ἥτις ἐστὶ μεγάλη δύναμις, νοῦς τῶν ὅλων, διέπων τὰ πάντα, ἄρσην. Ἡ δὲ ἑτέρα, κάτωθεν, ἐπίνοια μεγάλη, θήλεια, γεννῶσα τὰ πάντα. Ἔνθεν ἀλλήλοις ἀντιστοιχοῦντες, συζυγίαν ἔχουσι, καὶ τὸ μέσον διάστημα ἐμφαίνουσιν, ἀέρα ἀκατάληπτον, μήτε ἀρχὴν μήτε πέρας ἔχοντα. Ἐν δὲ τούτῳ πατὴρ ὁ βαστάζων πάντα καὶ τρέφων τὰ ἀρχὴν καὶ πέρας ἔχοντα. Οὗτος ἐστὶν ὁ ἑστὼς, στὰς, στησόμενος, ὢν ἀρσενό-
65 v. θηλυς δύναμις κατὰ τὴν προϋπάρχουσαν δύναμιν ἀπέραντον, ἥτις οὔτ' ἀρχὴν οὔτε πέρας ἔχει, ἐν μονότητι οὖσαν· ἀπὸ γὰρ ταύτης προελθοῦσα ἡ ἐν μονότητι ἐπίνοια, ἐγένετο δύο. Κἀκεῖνος ἦν εἷς· ἔχων γὰρ ἐν ἑαυτῷ αὐτὴν, ἦν μόνος, οὐ μέντοι πρῶτος, καίπερ προϋπάρχων, φανεὶς δὲ αὐτὸς ἀπὸ ἑαυτοῦ, ἐγένετο δεύτερος. Ἀλλ' οὐδὲ πατὴρ ἐκλήθη, πρὶν αὐτὴ αὐτὸν ὀνομάσει πατέρα. Ὡς οὖν αὐτὸς ἑαυτὸν ὑπὸ ἑαυτοῦ προαγαγὼν ἐφανέρωσεν ἑαυτῷ τὴν ἰδίαν ἐπίνοιαν, οὕτως καὶ ἡ φανεῖσα ἐπίνοια οὐκ ἐποίησεν, ἀλλὰ ἰδοῦσα αὐτὸν, ἐνέκρυψε τὸν πατέρα ἐν ἑαυτῇ, τουτέστι τὴν δύναμιν, καὶ ἔστιν ἀρσενόθηλυς δύναμις καὶ ἐπίνοια, ὅθεν ἀλλήλοις ἀντιστοιχοῦσιν· οὐδὲν γὰρ διαφέρει δύναμις ἐπινοίας, ἓν ὄντες. Ἐκ μὲν τῶν ἄνω εὑρίσκεται

62. Cod. ὢν, ἡ μία.
68. Cod. πατέρα βαστάζων πάντα καὶ τρέφοντα.
76. Cod. αὐτῷ pro αὐτός.
78. Fort. ὀνομάσειε.
80. Cod. ἐπίνοιαν.

δύναμις, ἐκ δὲ τῶν κάτω ἐπίνοια. Ἔστιν οὖν οὕτως καὶ τὸ φανὲν ἀπ' αὐτῶν ἓν ὄν, δύο εὑρίσκεσθαι, ἀρσενόθηλυς ἔχων τὴν θήλειαν ἐν ἑαυτῷ. Οὗτος ἐστὶ νοῦς ἐν ἐπινοίᾳ, ἀχώριστα ἀπ' ἀλλήλων ἓν ὄντες, δύο εὑρίσκονται.

19 Ταῦτα μὲν οὖν ὁ Σίμων ἐφευρὼν οὐ μόνον τὰ Μωσέως κακοτεχνήσας εἰς ὃ ἐβούλετο μεθηρμήνευσεν, ἀλλὰ καὶ τὰ τῶν ποιητῶν. Καὶ γὰρ τὸν δούρειον ἵππον ἀλληγορεῖ, καὶ τὴν Ἑλένην ἅμα τῇ λαμπάδι, καὶ ἄλλα πλεῖστα, ὅσα μεταγ[γίζων εἰς] τὰ αὐτοῦ καὶ τῆς ἐπινοίας. Πλείστους λέγει. ειν . . . . . ἐτε ταύτην τὸ πρόβατον τὸ πεπλανημένον· ἥτις ἀεὶ καταγινομένη ἐν γυναιξὶν,
66 r. ἐτάρασσε τὰς ἐν κόσμῳ δυνάμεις διὰ τὸ ἀνυπέρβλητον αὐτῆς κάλλος. Ὅθεν καὶ ὁ Τρωϊκὸς πόλεμος δι' αὐτὴν γεγένηται. Ἐν γὰρ τῇ κατ' ἐκεῖνο καιροῦ γενομένῃ Ἑλένῃ, ἐνῴκησεν ἐν αὐτῇ ἡ ἐπίνοια, καὶ οὕτως πασῶν ἐπιδικαζομένων αὐτῆς τῶν ἐξουσιῶν, στάσις καὶ πόλεμος ἐπανέστη, ἐν οἷς ἐφάνη ἔθνεσιν. Οὕτως γοῦν τὸν Στησίχορον διὰ τῶν ἐπῶν λοιδορήσαντα αὐτὴν, τὰς ὄψεις τυφλωθῆναι· αὖθις δὲ, μεταμεληθέντος αὐτοῦ καὶ γράψαντος τὰς παλινῳδίας ἐν αἷς ὕμνησεν αὐτὴν, ἀναβλέψαι· μετενσωματουμένην ὑπὸ τῶν ἀγγέλων καὶ τῶν κάτω ἐξουσιῶν, οἳ καὶ τὸν κόσμον, φησὶν, ἐποίησαν ὕστερον, ἐπί τε τοὺς ἐν Τύρῳ τῆς Φοινίκης πόλει στῆναι, ἣν κατελθὼν, εὗρεν. Ἐπὶ γὰρ τὴν ταύτης πρώτην ζήτησιν ἔφη παραγεγονέναι, ὅπως ῥύσηται αὐτὴν τῶν δεσμῶν, ἣν λυτρωσάμενος ἅμα ἑαυτῷ περιῆγε, φάσκων

86. Cod. φανὲν ἂν αὐτῶν.

88. Fort. ἀχώριστα [δ' sive γὰρ] ἀπ' ἀλλ.

92. Cod. καὶ τὰς τῶν π.

94. Cod. μεταγ . . . . . τὲ αὐτοῦ.

ib. Fort. καὶ τῆς ἐπινοίας ἀπάγων sive ἀποσπάσας λέγει.

95. Fort. εἶναι δ' ἔλεγε.

99. Cod. κατ' ἐκείνου καίρου. Fort. κατ' ἐκεῖνον καιρόν.

ib. Cod. γενομένου.

1. Pro ἐν αὐτῇ fort. ἐναντία.

9–10. Depravatione et lacuna hæc laborant.

τοῦτο εἶναι τὸ ἀπολωλὸς πρόβατον, ἑαυτὸν δὲ λέγων τὴν ὑπὲρ πάντα δύναμιν εἶναι. Ὁ δὲ ψυχρὸς ἐρασθεὶς τοῦ γυναίου τούτου, Ἑλένης καλουμένης, ὠνησάμενος εἶχε, καὶ τοὺς μαθητὰς αἰδούμενος, τοῦτον τὸν μῦθον ἔπλασεν. Οἱ δὲ αὖθις μιμηταὶ τοῦ πλάνου καὶ Σίμωνος μάγου γινόμενοι, τὰ ὅμοια δρῶσιν, ἀλογίστως φάσκοντες δεῖν μίγνυσθαι, λέγοντες πᾶσα γῆ γῆ, καὶ οὐ διαφέρει ποῦ τις σπείρει, πλὴν ἵνα σπείρῃ, ἀλλὰ καὶ μακαρίζουσιν ἑαυτοὺς ἐπὶ τῇ [ξένῃ] μίξει, ταύτην εἶναι λέγοντες τὴν τελείαν ἀγάπην, καὶ τὸ, ἅγιος ἁγίων 66 v. ...λλη.ος ἁγιασθήσεται. Οὐ γὰρ μὴ κρατεῖσθαι αὐτοὺς ἐπί τινι νομιζομένῳ κακῷ, λελύτρωνται γάρ. Τὴν δὲ Ἑλένην λυτρωσάμενος, οὕτως τοῖς ἀνθρώποις σωτηρίαν παρέσχε διὰ τῆς ἰδίας ἐπιγνώσεως. Κακῶς γὰρ διοικούντων τῶν ἀγγέλων τὸν κόσμον, διὰ τὸ φιλαρχεῖν αὐτοὺς, εἰς ἐπανόρθωσιν ἐληλυθέναι αὐτὸν ἔφη μεταμορφούμενον καὶ ἐξομοιούμενον ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις, καὶ τοῖς ἀγγέλοις, ὡς καὶ ἄνθρωπον φαίνεσθαι αὐτὸν, μὴ ὄντα ἄνθρωπον, καὶ παθεῖν δὲ ἐν τῇ Ἰουδαίᾳ καὶ δεδοκηκέναι μὴ πεπονθότα, ἀλλὰ φανέντα Ἰουδαίοις μὲν, ὡς Υἱὸν, ἐν δὲ τῇ Σαμαρείᾳ, ὡς Πατέρα, ἐν δὲ τοῖς λοιποῖς ἔθνεσιν, ὡς Πνεῦμα ἅγιον. Ὑπομένειν δὲ αὐτὸν καλεῖσθαι οἵῳ ἂν ὀνόματι καλεῖν βούλωνται οἱ ἄνθρωποι. Τοὺς δὲ προφήτας ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων ἐμπνευσθέντας εἰρηκέναι τὰς προφητείας. Διὸ μὴ φροντίζειν αὐτῶν τοὺς εἰς τὸν Σίμωνα καὶ τὴν Ἑλένην πεπιστευκότας, ἕως νῦν πράσσειν τὰ σὰ βούλονται ὡς ἐλευθέρους. Κατὰ γὰρ τὴν αὐτοῦ χάριν σώζεσθαι αὐτοὺς φάσκουσι. Μηδὲν γὰρ εἶναι αἴτιον δίκης εἰ

20. Cod. ποῦ τι.
21. Vox ξένῃ prorsus evanida.
35. Cod. βούλονται.
39. Fort. leg. τὰ ἃ vel ὅσα βούλονται.
41. Cod. εἰσπράξει pro εἰ πράξει.

πράξει τις κακῶς, οὐ γάρ ἐστι φύσει κακὸς, ἀλλὰ θέσει. Ἔθεντο γὰρ, φησὶν, οἱ ἄγγελοι οἱ τὸν κόσμον ποιήσαντες, ὅσα ἐβούλοντο, διὰ τῶν τοιούτων λόγων δουλοῦν νομίζοντες τοὺς αὐτῶν ἀκούοντας. Φύσιν δὲ αὖθις λέγουσι τὸν κόσμον ἐπὶ λυτρώσει τῶν ἰδίων ἀνθρώπων.

20 Οἱ οὖν τούτου μαθηταὶ μαγείαις ἐπιτελοῦσι καὶ ἐπαοιδαῖς· φίλτρα τε καὶ ἀγώγιμα καὶ τοὺς λεγομένους
67 r. ὀνειροπόμπους δαίμονας ἐπιπέμπουσι πρὸς τὸ ταράσσειν οὓς βούλονται. Ἀλλὰ καὶ παρέδρους τοὺς λεγομένους ἀσκοῦσιν. Εἰκόνα τε τοῦ Σίμωνος ἔχουσιν εἰς Διὸς μορφὴν καὶ τῆς Ἑλένης ἐν μορφῇ Ἀθηνᾶς, καὶ ταύτας προσκυνοῦσι, τὸν μὲν καλοῦντες κύριον, τὴν δὲ, κυρίαν. Εἰ δέ τις ὀνόματι καλέσει παρ' αὐτοῖς ἰδὼν τὰς εἰκόνας ἢ Σίμωνος ἢ Ἑλένης, ἀπόβλητος γίνεται, ὡς ἀγνοῶν τὰ μυστήρια. Οὗτος ὁ Σίμων πολλοὺς πλανῶν ἐν τῇ Σαμαρείᾳ μαγείαις, ὑπὸ τῶν ἀποστόλων ἠλέγχθη, καὶ ἐπάρατος γενόμενος καθὼς ἐν ταῖς Πράξεσι γέγραπται, ὕστερον ἀπευδοκήσας ταῦτα, ἐπεχείρησεν ἕως καὶ τῆς Ῥώμης ἐπιδημήσας, ἀντέπεσε τοῖς ἀποστόλοις· πρὸς ὃν πολλὰ Πέτρος ἀντικατέστη, μαγείαις πλανῶντα πολλούς. Οὗτος ἐπὶ τέλει ἐλθὼν ἐν τ....τη, ὑπὸ πλάτανον καθεζόμενος ἐδίδασκε. Καὶ δὴ λοιπὸν ἐγγὺς τοῦ ἐλέγχεσθαι γινόμενος, δὶς τὸ ἐγχρονίζειν ἔφη ὅτι εἰ χωσθείη ζῶν, ἀναστήσεται τῇ τρίτῃ ἡμέρᾳ. Καὶ δὴ τάφρον κελεύσας ὀρυγῆναι ὑπὸ τῶν μαθητῶν, ἐκέλευσε χωσθῆναι. Οἱ μὲν οὖν τὸ προσταχθὲν ἐποίησαν, ὁ δὲ ἀπέμεινεν ἕως νῦν· οὐ γὰρ ἦν ὁ Χριστός. Οὗτος δὴ καὶ ὁ κατὰ τὸν Σίμωνα μῦθος, ἀφ' οὗ Οὐαλεντῖνος τὰς ἀφορμὰς λαβὼν, ἄλλοις ὀνόμασι καλεῖ. Ὁ γὰρ

61. Fort. ἐπιδημῆσαι· ἀντέπεσε [δὲ] τοῖς.
65. Pro δὶς fort. διά.

νοῦς καὶ ἡ ἀλήθεια καὶ λόγος καὶ ζωὴ καὶ ἄνθρωπος καὶ ἐκκλησία, οἱ Οὐαλεντίνου αἰῶνες, ὁμολογουμένως εἰσὶν οἱ Σίμωνος ἓξ ῥίζαι, νοῦς, ἐπίνοια, φωνὴ, ὄνομα, λογισμὸς καὶ ἐνθύμησις. Ἀλλ' ἐπεὶ ἱκανῶς ἡμῖν δοκεῖ ἐκτεθεῖσθαι τὴν Σίμωνος μυθοποιΐαν, ἴδωμεν τί λέγει καὶ Οὐαλεντῖνος.

67 v.

21 Ἔστι μὲν οὖν ἡ Οὐαλεντίνου αἵρεσις Πυθαγορικὴν ἔχουσα καὶ Πλατωνικὴν τὴν ὑπόθεσιν. Καὶ γὰρ Πλάτων ὅλως ἐν τῷ Τιμαίῳ τὸν Πυθαγόραν ἀπεμάξατο· τοιγαροῦν καὶ ὁ Τίμαιος αὐτός ἐστιν αὐτῷ Πυθαγόρειος ξένος. Διὸ δοκεῖ ὀλίγα τῆς Πυθαγορείου καὶ Πλατωνικῆς ὑπομνησθέντας ὑποθέσεως ἄρξασθαι καὶ τὰ Οὐαλεντίνου λέγειν. Εἰ γὰρ καὶ ἐν τοῖς πρότερον ὑφ' ἡμῶν πεπονημένοις ἔγκεινται καὶ τὰ Πυθαγόρᾳ καὶ Πλάτωνι δεδοκημένα, ἀλλά γε καὶ νῦν οὐκ ἀλόγως ὑπομνησθήσομαι δι' ἐπιτομῆς τὰ κορυφαιότατα τῶν αὐτοῖς ἀρεσκομένων, πρὸς τὸ εὐεπίγνωστα γενέσθαι τὰ Οὐαλεντίνῳ δόξαντα διὰ τῆς ἐγγίονος παραθέσεως καὶ ὁμοίας συγκρίσεως, τῶν μὲν πάλαι ἀπ' Αἰγυπτίων ταῦτα παραλαβόντων καὶ εἰς Ἕλληνας μεταδιδαξάντων, τοῦ δὲ, παρὰ τούτων, ὅτι παρ' αὐτῶν διαψευσαμένου ἰδίαν τε δόξαν συστῆσαι πεπειραμένου, σπαράξαντα μὲν τὰ ἐκείνων ὀνόμασι καὶ ἀριθμοῖς, ἰδίως δὲ καλέσαντα καὶ μέτροις διορίσαντα, ὅπως αἵρεσιν Ἑλληνικὴν ποικίλην μὲν, ἀσύστατον δὲ, καὶ οὐκ ἀνήκουσαν Χριστῷ συστήσῃ.

22 Ἡ μὲν οὖν ἀρχὴ τῆς ὑποθέσεώς ἐστιν [ἡ] ἐν τῷ

78. Pro titulo litteris rubricatis: Περὶ Οὐαλεντίνου.

80. Cod. ὅλ$^{ω}$ος.

ib. Cod. ἀπομάξατο.

82. In cod. prius erat Πλατωνικὴν; altera manus correxit Πλάτωνος.

92. Fort. ἔτι [τὰ] παρ' αὐτῶν διαψ. aut ἔτι περὶ αὐτῶν διαψ.

98. Addidi [ἡ].

Τιμαίῳ τῷ Πλάτωνος σοφία Αἰγυπτίων· ἐκεῖθεν γὰρ ὁ Σόλων τὴν ὅλην ὑπόθεσιν περὶ τῆς κόσμου γενήσεως καὶ φθορᾶς, παλαιῷ τινὶ λόγῳ καὶ προφητικῷ, ὥς φησιν ὁ Πλάτων, τοὺς Ἕλληνας ἐδίδαξε, παῖδας νέους ὄντας,
68 r. καὶ πρεσβύτερον ἐπισταμένους μάθημα οὐδὲν θεολογούμενον. Ἵν' οὖν παρακολουθήσωμεν τοῖς λόγοις οἷς καταβέβληται Οὐαλεντῖνος, προεκθήσομαι νῦν τίνα ἐστὶν ἃ Πυθαγόρας ὁ Σάμιος μετὰ τῆς ὑμνουμένης ἐκείνης παρὰ τοῖς Ἕλλησι γῆς φιλοσοφεῖ· εἶθ' οὕτως ταῦτα ἃ Πυθαγόρου λαβὼν καὶ Πλάτωνος Οὐαλεντῖνος σεμνολογῶν ἀνατίθησι Χριστῷ καὶ πρὸ τοῦ Χριστοῦ τῷ Πατρὶ τῶν ὅλων, καὶ σιγῇ τῇ συνεζευγμένῃ τῷ Πατρί.

23 Πυθαγόρας τοίνυν ἀρχὴν τῶν ὅλων ἀγέννητον ἀπεφήνατο τὴν μονάδα, γεννητὴν δὲ τὴν δυάδα καὶ πάντας τοὺς ἄλλους ἀριθμούς. Καὶ τῆς μὲν δυάδος πατέρα φησὶν εἶναι τὴν μονάδα, πάντων δὲ τῶν γεννωμένων μητέρα δυάδα, γεννητὴν γεννητῶν. Καὶ Ζαράτας ὁ Πυθαγόρου διδάσκαλος ἐκάλει τὸ μὲν ἓν πατέρα, τὰ δὲ δύο, μητέρα. Γεγέννηται γὰρ ἐκ μὲν μονάδος δυὰς κατὰ τὸν Πυθαγόραν, καὶ ἔστιν ἡ μὲν μονὰς, ἄρρεν καὶ πρώτη· ἡ δὲ δυὰς, θῆλυ. Παρὰ τῆς δυάδος δὲ πάλιν, ὡς ὁ Πυθαγόρας λέγει, ἡ τριὰς καὶ οἱ ἐφεξῆς ἀριθμοὶ μέχρι τῶν δέκα. Τοῦτον γὰρ οἶδε μόνον τέλειον ἀριθμὸν Πυθαγόρας τὸν δέκα· τὸν γὰρ ἕνδεκα καὶ δώδεκα, προσθήκην καὶ ἐπαναποδισμὸν τῆς δεκάδος, οὐκ ἄλλου τινὸς ἀριθμοῦ γέννησιν, τὸ προστιθέμενον, πάντα τὲ σώματα στερεὰ ἐξ ἀσωμάτων γεννᾷ. Τῶν τε γὰρ σωμάτων καὶ ἀσωμάτων ὁμοῦ σημεῖον εἶναι φησὶ καὶ ἀρχὴν τὸ

99. Cod. Πλάτωνι.
1. Cod. Σολομῶν. Vid. Tim. p. 21 med.
9. Fort. ἃ in ἀπὸ mutandum aut delendum.
10. Cod. Χριστῷ pro Χριστοῦ.
24. Vox addenda lexicis.
25. Pro τὸ προστιθέμενον fort. νομιστέον vel potius νομίζει μόνον. Mox leg. δὲ pro τέ.

σημεῖον ὅ ἐστιν ἀμερὲς, γίνεται δὲ, φησὶν, ἐκ σημείου γραμμὴ, καὶ ἐπιφάνεια δὲ ῥυεῖσα εἰς βάθος στερεὸν ὑφέστηκε, φησὶ, σῶμα. Ὅθεν καὶ ὅρκος τίς ἐστι τοῖς
68 v. Πυθαγορικοῖς ἡ τῶν τεσσάρων στοιχείων συμφωνία. Ὀμνύουσι δ' οὕτως·

> Ναὶ μὰ τὸν ἀμετέρᾳ κεφαλᾷ παραδόντα τετρακτὺν,
> Πηγὴν ἀενάου φύσεως [ῥιζώματ'] ἔχουσαν.

Ἔστι δὲ ἡ τετρακτὺς, τῶν φυσικῶν καὶ στερεῶν σωμάτων ἀρχὴ, ὡς ἡ μονὰς, τῶν νοητῶν. Ὅτι δὲ καὶ ἡ τετρακτὺς γεννᾷ, φησὶ, τὸν τέλειον ἀριθμὸν ὡς ἐν τοῖς νοητοῖς τὸν δέκα, διδάσκουσιν οὕτως. Εἰ ἀρξάμενος ἀριθμεῖν λέγει τις ὅτι ἓν, καὶ ἐπιφέρει δύο, ἔπειτα ὁμοίως, τρία, ἔσονται ταῦτα ἕξ· πρὸς δὲ τούτοις, ἔτι τέσσαρα, ἔσται ὁμοίως τὸ πᾶν, δέκα. Τὸ γὰρ ἓν, δύο, τρία, τέσσαρα γίνεται δέκα, ὁ τέλειος ἀριθμός. Οὕτως, φησὶ, κατὰ πάντα ἐμιμήσατο ἡ τετρακτὺς τὴν νοητὴν μονάδα, τέλειον ἀριθμὸν γεννῆσαι δυνηθεῖσαν.

24 Δύο οὖν κατὰ τὸν Πυθαγόραν εἰσὶ κόσμοι, εἷς μὲν νοητὸς, ὃς ἔχει τὴν μονάδα ἀρχὴν, εἷς δὲ αἰσθητὸς, τοῦτο δέ ἐστι τετρακτὺς ἔχουσα ἰῶτα τὴν μίαν κεραίαν ἀριθμὸν τέλειον· καὶ ἔστι κατὰ τοὺς Πυθαγορικοὺς τὸ ῑ, ἡ μία κεραία, πρώτη καὶ κυριωτάτη, καὶ τῶν νοητῶν οὐσία νοητῶς καὶ αἰσθητῶς λαμβανομένη· [ᾗ] συμβεβηκότα γένη ἀσώματα ἐννέα ἃ χωρὶς εἶναι τῆς οὐσίας οὐ δύναται, ποιὸν καὶ ποσὸν καὶ πρός τι καὶ ποῦ καὶ πότε, καὶ κεῖσθαι καὶ ἔχειν καὶ ποιεῖν καὶ πάσχειν. Ἔστιν οὖν ἐννέα τὰ συμβεβηκότα τῇ οὐσίᾳ, οἷς ἀριθμουμένη συνέχει τὸν τέλειον ἀριθμὸν τὸν ῑ. Διόπερ διῃρημένου

33. De his duobus versibus cf. Fabric. in Sext. Emp. p. 332.
ib. Cod. ἀμάτερα κεφαλη. (sic).
34. ἀεννάου cod., in quo deest ῥιζώματ', spatio vacuo relicto.
38. Fort. ὡς ἐν τοῖς νοητοῖς [ἡ μονὰς] τὸν δέκα.
42. Cod. γίνεται δὲ καὶ ὁ τέλ.
50. Addidi [ᾗ].
51. Cod. γέννη.

69 r. τοῦ παντὸς, ὡς εἴπομεν, εἰς νοητὸν καὶ αἰσθητὸν κόσμον, ἔχομεν καὶ ἡμεῖς ἀπὸ τοῦ νοητοῦ τὸν λόγον, ἵνα τῷ λόγῳ τὴν τῶν νοητῶν καὶ ἀσωμάτων καὶ θείων ἐποπτεύωμεν οὐσίαν. Αἰσθήσεις δὲ, φησὶν, ἔχομεν πέντε, ὄσφρησιν, ὅρασιν, ἀκοὴν, γεῦσιν καὶ ἁφήν. Ἐν οἷς τῶν αἰσθητῶν ἐρχόμεθα εἰς γνῶσιν, καὶ οὕτω, φησὶν, ἐστὶ διῃρημένος αἰσθητὸς ἀπὸ τοῦ νοητοῦ κόσμου· καὶ ὅτι ἔχομεν γνώσεως ὄργανον πρὸς ἑκάτερον αὐτῶν, ἐντεῦθεν κατανοῶμεν. Οὐδὲν, φησὶ, τῶν νοητῶν γνωστὸν ἡμῖν δύναται γενέσθαι δι' αἰσθήσεως. Ἐκεῖνο γὰρ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτ' ἔγνω, φησὶ, τῶν ἄλλων αἰσθήσεων οἱαδητισοῦν. Οὐδ' αὖ πάλιν τῷ λόγῳ εἰς γνῶσιν τῶν αἰσθητῶν οὐχ οἷόν τε ἐλθεῖν τινὸς, ἀλλὰ δεῖ ὅτι λευκόν ἐστιν ἰδεῖν, καὶ γεύσασθαι ὅτι γλυκὺ, καὶ ὅτι δίκαιον ἢ ἄδικον ἀκούσαντας εἰδέναι. Καὶ εἴ τι τῶν ὀσμῶν ἐστὶν εὐῶδες ἢ ἀηδὲς, ὀσφρήσεως ἔργον, οὐ λόγου. Ὡσαύτως δὲ ἔχει καὶ τὰ τῆς ἁφῆς· σκληρὸν γὰρ ἢ ἁπαλὸν, ἢ θερμὸν, ἢ ψυχρὸν, οὐχ οἷόν τε ἐστὶν ἀκούσαντα εἰδέναι, ἀλλὰ γὰρ τῶν τοιούτων ἐστὶ κρίσις ἡ ἁφή. Τούτων οὕτως ὑφεστηκότων, ἡ διακόσμησις τῶν γεγονότων καὶ γινομένων ἀριθμητικῶς γινομένη θεωρεῖται. Ὃν γὰρ τρόπον ἀπὸ μονάδος ἀρξάμενοι κατὰ προσθήκην μονάδων ἢ τριάδων καὶ τῶν ἑξῆς ἀθροιζομένων ἀριθμῶν ἕν τι σύστημα ποιοῦμεν μέγιστον ἀριθμοῦ, εἶτα πάλιν ἀπὸ τοῦ κατὰ τὴν σύνθεσιν ἀθροισθέντος ἀναιρέσει τινὶ καὶ ἀναλογισμῷ, λύσιν τῶν συνεστώτων ἀριθμητικῶς ἐργαζόμεθα.

25 Οὕτω φησὶ καὶ τὸν κόσμον ἀριθμητικῷ τινὶ καὶ
69 v. μουσικῷ δεσμῷ δεδεμένον ἐπιτάσει καὶ ἀνέσει καὶ προσ-

58. Cod. ἐπιπτεύωμεν. 62. Leg. [ὁ] αἰσθητός.

θήκῃ καὶ ἀφαιρέσει ἀεὶ καὶ διὰ παντὸς ἀδιάφθορον φυλαχθῆναι. Τοιγαροῦν καὶ περὶ τῆς διαμονῆς τοῦ κόσμου ἀποφαίνονται τοιοῦτόν τινα τρόπον οἱ Πυθαγορικοί·

ἦν γὰρ καὶ πάρος ἦν καὶ ἔσται· οὐδέποτ᾽, οἴω,
τούτων ἀμφοτέρων κενὸς ἔσται ἄσβεστος αἰών.

Τίνων δὲ τούτων; τοῦ νείκους καὶ τῆς φιλίας. Ἀπεργάζεται δὲ αὐτοῖς ἡ φιλία ἄφθαρτον, ἀΐδιον τὸν κόσμον, ὡς ὑπονοοῦσιν. Ἔστι γὰρ ἡ οὐσία καὶ ὁ κόσμος, ἕν· τὸ δὲ νεῖκος διασπᾷ καὶ διαφέρει καὶ πολλὰ πειρᾶται καταδιαιροῦσα τὸν κόσμον ποιεῖν. Ὥσπερ εἴ τις ἀριθμητικῶς τὴν μυριάδα εἰς χιλιάδας καὶ ἑκατοντάδας καὶ δεκάδας καὶ δραχμὰς καὶ ὀβολοὺς καὶ κοδράντας μικροὺς κατακερματίσας τέμνει, οὕτω τὴν εἰκοστὴν οὐσίαν τοῦ κόσμου, φησὶ, τέμνει εἰς ζῷα, φυτὰ, μέταλλα καὶ τὰ τούτοις παραπλήσια. Καὶ ἔστι τῆς γενέσεως τῶν γινομένων πάντων κατ᾽ αὐτοὺς δημιουργὸς τὸ νεῖκος, ἡ δ᾽ αὖ φιλία ἐπιτροπεύουσα καὶ προνοουμένη τοῦ παντὸς, ἵνα μένῃ. Καὶ εἰς τὸ ἓν διῃρημένα καὶ τοῦ παντὸς ἀπεσπασμένα συνάγουσα καὶ ἐξάγουσα τοῦ βίου, συνάγει καὶ προστίθησι τῷ παντὶ, ἵνα μένῃ, καὶ ἔστιν ἕν. Οὐ παύσεται οὖν οὔτε τὸ νεῖκος τὸν κόσμον διαιροῦν οὔτε ἡ φιλία τὰ διῃρημένα τῷ κόσμῳ προσνέμουσα. Αὕτη τὶς ἐστὶν, ὡς ἔοικε, κατὰ Πυθαγόραν ἡ τοῦ κόσμου διανομή. Λέγει δὲ Πυθαγόρας εἶναι ἀπορραγάδας τοῦ ἡλίου τοὺς ἀστέρας, καὶ τὰς ψυχὰς τῶν ζῴων ἀπὸ τῶν ἄστρων φέρεσθαι. Εἶναι δὲ αὐτὰς θνητὰς μὲν ὅταν ὦσιν ἐν τῷ σώματι, οἱονεὶ ἐγκατορωρυγμένας ὡς ἐν

90. Cod. οὐδέπω τοίω. Fort. ἦ γὰρ κ. π. ἦν καὶ ἔσσεται—κεινώσεται ἄσπετος αἰών.
91. Cod. καινός.
ib. Fort. ἄσπετος.
99. Cod. τὸν.
ib. Fort. εἰκαστήν.
1. Cod. μετ᾽ ἄλλα.
5. Leg. εἰς τὸ ἓν [τὰ] διῃρ., ut infra lin. 9.
14. Cod. εἰσίν.

τάφῳ, ἀνίστασθαι δὲ καὶ γίνεσθαι ἀθανάτους, ὅταν τῶν 70 r. σωμάτων ἀπολυθῶμεν. Ὅθεν ὁ Πλάτων ἐρωτηθεὶς ὑπό τινος τί ἐστι φιλοσοφία, ἔφη, χωρισμὸς ψυχῆς ἀπὸ σώματος.

26 Πυθαγόρας οὖν καὶ τούτων τῶν λόγων γενόμενος μαθητὴς, ἐν οἷς λέγει καὶ δι' αἰνιγμάτων καὶ τοιούτων λόγων· Ἐκ τῆς ἰδίας ἐὰν ἀποδημῇς, μὴ ἐπιστρέφου· εἰ δὲ μὴ, Ἐρινύες Δίκης ἐπίκουροί σε μετελεύσονται· ἰδίην καλῶν τὸ σῶμα, ἐρινύας δὲ, τὰ πάθη. Ἐὰν οὖν, φησὶν, ἀποδημῇς, τουτέστιν ἐὰν ἐξέρχῃ ἐκ τοῦ σώματος, μὴ αὐτοῦ ἀντιποιοῦ· ἐὰν δὲ ἀντιποιήσῃ, πάλιν σε τὰ πάθη καθείρξουσιν εἰς σῶμα. Εἶναι γὰρ οὗτοι τῶν ψυχῶν μετενσωμάτωσιν νομίζουσιν, ὡς καὶ ὁ Ἐμπεδοκλῆς πυθαγορίζων λέγει. Δεῖ γὰρ, φησὶ, τὰς φιληδόνους ψυχὰς, ὡς ὁ Πλάτων λέγει, ἐὰν ἐν ἀνθρώπου πάθει γενόμεναι μὴ φιλοσοφήσωσι, διὰ πάντων ζῴων ἐλθεῖν καὶ φυτῶν πάλιν εἰς ἀνθρώπινον σῶμα· καὶ ἐὰν μὲν φιλοσοφήσῃ, κατὰ τὸ αὐτὸ τρὶς εἰς τὴν τοῦ συννόμου ἄστρου φύσιν ἀνελθεῖν· ἐὰν δὲ μὴ φιλοσοφήσῃ, πάλιν ἐπὶ τὰ αὐτά. Δύνασθαι οὖν φησὶ ποτὲ τὴν ψυχὴν καὶ θνητὴν γενέσθαι, ἐὰν ὑπὸ τῶν ἐρινύων κρατῆται, τουτέστι τῶν παθῶν, καὶ ἀθάνατον ἐὰν τὰς ἐρινῦς ἐκφύγῃ, ἅ ἐστι πάθη.

27 Ἀλλ' ἐπεὶ καὶ τὰ σκοτεινῶς ὑπὸ τοῦ Πυθαγόρου λεγόμενα πρὸς τοὺς μαθητὰς δι' ὑποσυμβόλων ἐνήρμεθα λέγειν, δοκεῖ καὶ τῶν ἑτέρων ὑπομνησθῆναι, διὰ τὸ καὶ τοὺς αἱρεσιάρχας τοιούτῳ τινὶ τρόπῳ ἐπικεχειρηκέναι ὁμιλεῖν διὰ ὑποσυμβόλων, καὶ τοῦτο οὐκ ἰδίων, ἀλλὰ Πυθαγορείων πλεονεκτήσαντες λόγων. Διδάσκει οὖν ὁ Πυθαγόρας τοὺς μαθητὰς λέγων τὸν στρωματό-

22. Cod. ἐριννύες.
29. Plato Phædr. p. 249, B.
35. Cod. prima manu κρατεῖται.
36. Cod. ἐριννῦς.
39. Leg. videtur ἀνῃρήμεθα.
42. Cod. οὐχ ἰδίων.

δεσμον δῆσον· ἐπεὶ οἱ ὁδοιπορεῖν μέλλοντες εἰς δέρμα
70 v. δεσμοῦσι τὰ ἱμάτια αὐτῶν πρὸς ἑτοιμασίαν τῆς ὁδοῦ· οὕτως ἑτοίμους εἶναι θέλει τοὺς μαθητὰς ὡς καθ' ἑκάστην στιγμὴν τοῦ θανάτου ἐφεστηκέναι μέλλοντος, μηδὲν ἔχοντας τῶν μαθητῶν ἐνδεές. Διόπερ ἐξ ἀνάγκης ἅμα τῷ ἡμέραν γενέσθαι, ἐδίδασκε διακελεύεσθαι αὐτοῖς τοὺς Πυθαγορείους δεσμεύειν τὸν στρωματόδεσμον, τουτέστιν ἑτοίμους εἶναι πρὸς θάνατον. Πῦρ μαχαίρῃ μὴ σκάλευε, τὸν τεθυμωμένον ἄνθρωπον λέγων μὴ ἐρέθιζε· πυρὶ γὰρ ἔοικεν ὁ θυμούμενος, μάχαιρα δὲ, λόγος. Ἄσαρον μὴ ὑπέρβαινε, μικροῦ πράγματος μὴ καταφρόνει. Φοίνικα ἐν οἰκίᾳ μὴ φύτευε, φιλονεικίαν ἐν οἰκίᾳ μὴ κατασκεύαζε· μάχης γὰρ καὶ διαφθορᾶς ἐστὶν ὁ φοῖνιξ σημεῖον. Ἀπὸ δίφρου μὴ ἔσθιε, βάναυσον τέχνην μὴ μεταχειρίζου, ἵνα μὴ δουλεύσῃς τῷ σώματι ὄντι φθαρτῷ, ἀλλὰ ποιοῦ τὸν βίον ἀπὸ λόγων. Ἐνέσται γάρ σοι καὶ τρέφειν τὸ σῶμα καὶ τὴν ψυχὴν ποιεῖν κρείττονα. Ἀπὸ ὅλου ἄρτου μὴ ἀπόδακνε· τὰ ὑπάρχοντά σου μὴ μειοῦ, ἀλλὰ ἀπὸ τῆς προσόδου ζῆθι, φύλασσε δὲ τὴν οὐσίαν ὡς ἄρτον ὁλόκληρον. Κυάμους μὴ ἔσθιε· ἀρχὴν πόλεως μὴ ἀποδέχου· κυάμοις γὰρ ἐκληροῦντο τὰς ἀρχὰς κατ' ἐκεῖνον τὸν χρόνον.

28 Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα οἱ Πυθαγόρειοι λέγουσιν, οὓς μιμούμενοι οἱ αἱρετικοὶ μεγάλα νομίζονται τισὶ λέγειν. Δημιουργὸν δὲ εἶναι τῶν λεγομένων πάντων φησὶν ὁ Πυθαγόρειος λόγος τὸν μέγαν γεωμέτρην καὶ ἀριθμητὴν ἥλιον, καὶ ἐστηρίχθαι τοῦτον ἐν ὅλῳ τῷ κόσμῳ, καθάπερ ἐν τοῖς σώμασι ψυχὴν, ὥς φησιν ὁ

47. Cod. θέλειν.
49. Leg. μηδὲν ἔχοντας τῶν παθητῶν ἐν δέει.
50. Cod. διακελεύεσθε.
ib. Cod. αὐτοῖς.
60. Cod. τῶν βίων ἀπόλογον.
66. Cod. κατ' ἐκείνων τῶν χρόνων.

Πλάτων. Πῦρ γάρ ἐστιν ἥλιος, ψυχή· σῶμα, σελήνη. Χωρισθέντων δὲ πυρὸς, οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο, οὐδὲ ἁπτὸν ἄνευ τινὸς στερεοῦ· στερεὸν δὲ 71 r. οὐκ ἄνευ γῆς· ὅθεν ἐκ πυρὸς καὶ γῆς ἀέρα τε ὁ θεὸς ἐν μέσῳ θέμενος τὸ τοῦ παντὸς ἐδημιούργησε σῶμα. Ἀριθμεῖ δὲ, φησὶ, καὶ γεωμετρεῖ τὸν κόσμον ὁ ἥλιος τοιοῦτόν τινα τρόπον. Ὁ μὲν κόσμος ἐστὶν ὁ αἰσθητὸς εἷς, περὶ οὗ λέγομεν ταννῦν. Διῄρηκε δ' αὐτὸν ἀριθμητικός τις ὢν καὶ γεωμέτρης εἰς μοίρας ιβ̄. Καὶ ἔστι ταῖς μοίραις ταύταις ὀνόματα, κριὸς, ταῦρος, δίδυμοι, καρκίνος, λέων, παρθένος, ζυγὸς, σκορπίος, τοξότης, αἰγόκερως, ὑδροχόος, ἰχθύες. Πάλιν τῶν δώδεκα μοιρῶν ἑκάστην διαιρεῖ εἰς μοίρας τριάκοντα, αἵτινες εἰσὶν ἡμέραι μηνός. Πάλιν αὐτῶν τῶν τριάκοντα μοιρῶν ἑκάστην μοῖραν διαιρεῖ εἰς λεπτὰ ἑξήκοντα, καὶ τῶν λεπτῶν λεπτὰ καὶ ἔτι λεπτότερα. Καὶ τοῦτο ἀεὶ ποιῶν καὶ μὴ παυόμενος, ἀλλ' ἀθροίζων ἐκ τούτων μοιρῶν τῶν διῃρημένων καὶ ποιῶν ἐνιαυτὸν, καὶ αὖθις ἀναλύων καὶ διαιρῶν τὸ συγκείμενον, τὸν μέγαν ἀθάνατον ἀπεργάζεται κόσμον.

29 Τοιαύτη τις, ὡς ἐν κεφαλαίοις εἰπεῖν ἐπελθόντα, ἡ Πυθαγόρου καὶ Πλάτωνος συνέστηκε δόξα, ἀφ' ἧς Οὐαλεντῖνος οὐκ ἀπὸ τῶν Εὐαγγελίων τὴν αἵρεσιν τὴν ἑαυτοῦ συναγαγὼν, ὡς ἐπιδείξομεν, δικαίως Πυθαγορικὸς καὶ Πλατωνικὸς, οὐ Χριστιανὸς, λογισθείη. Οὐαλεντῖνος τοίνυν καὶ Ἡρακλέων καὶ Πτολεμαῖος καὶ πᾶσα ἡ τούτων σχολὴ, οἱ Πυθαγόρου καὶ Πλάτωνος μαθηταὶ, ἀκολουθήσαντες τοῖς καθηγησαμένοις, ἀριθμητικὴν τὴν

73. Fort. ἥλιος καὶ ψυχὴ, vel, ἡ ψυχή.
74. Fort. χωρισθὲν vel χωρισθέντος.
82. Cod. δίδυμος.
86. Leg. πάλιν αὖ τῶν τριακ.
89. Cod. ἐκ τοῦ τῶν.

διδασκαλίαν τὴν ἑαυτῶν κατεβάλοντο. Καὶ γὰρ τούτων ἔστιν ἀρχὴ τῶν πάντων μονὰς ἀγέννητος, ἄφθαρτος, ἀκατάληπτος, ἀπερινόητος, γόνιμος, καὶ πάντων τῆς γενέσεως αἰτία τῶν γενομένων. Καλεῖται δὲ ὑπ' αὐτῶν ἡ προειρημένη μονὰς, πατήρ. Διαφορὰ δέ τις εὑρίσκεται πολλὴ παρ' αὐτοῖς· οἱ μὲν γὰρ αὐτῶν, ἵν' ᾖ παντάπασι καθαρὸν τὸ δόγμα τοῦ Οὐαλεντίνου πυθαγορικὸν, ἄθηλυ καὶ ἄζυγον, καὶ μόνον τὸν πατέρα
71 v. νομίζουσιν εἶναι· οἱ δὲ ἀδύνατον νομίζοντες δύνασθαι ἐξ ἄρρενος μόνου γένεσιν ὅλως τῶν γεγενημένων γενέσθαι τινὸς, καὶ τῷ πατρὶ τῶν ὅλων, ἵνα γένηται πατὴρ, σιγὴν ἐξ ἀνάγκης συναριθμοῦσι τὴν σύζυγον. Ἀλλὰ περὶ μὲν σιγῆς, πότερόν ποτε σύζυγός ἐστιν ἢ οὐκ ἔστιν, αὐτοὶ πρὸς ἑαυτοὺς τοῦτον ἐχέτωσαν τὸν ἀγῶνα. Τὰ δὲ νῦν αὐτοὶ ἡμεῖς φυλάττοντες τὴν Πυθαγόρειον ἀρχὴν, μίαν οὐσίαν καὶ ἄζυγον, ἄθηλυ, ἀπροσδεῆ μνημονεύσαντες ὡς ἐκεῖνοι διδάσκουσιν, ἐροῦμεν. Ὅλως, φησὶ, γεννητὸν οὐδὲν, πατὴρ δὲ ἦν μόνος ἀγέννητος, οὐ τόπον ἔχων, οὐ χρόνον, οὐ σύμβουλον, οὐκ ἄλλην τινὰ κατ' οὐδένα τῶν τρόπων νοηθῆναι δυναμένην οὐσίαν· ἀλλὰ ἦν μόνος ἠρεμῶν ὡς λέγουσι καὶ ἀναπαυόμενος αὐτὸς ἐν ἑαυτῷ μόνος. Ἐπεὶ δὲ ἦν γόνιμος, ἔδοξεν αὐτῷ ποτὲ τὸ κάλλιστον καὶ τελεώτατον ὃ εἶχεν ἐν αὐτῷ γεννῆσαι καὶ προαγαγεῖν· φιλέρημος γὰρ οὐκ ἦν. Ἀγάπη γὰρ, φησὶν, ἦν ὅλος, ἡ δὲ ἀγάπη οὐκ ἔστιν ἀγάπη, ἐὰν μὴ ᾖ τὸ ἀγαπώμενον. Προέβαλεν οὖν καὶ ἐγέννησεν αὐτὸς ὁ πατὴρ, ὥσπερ ἦν μόνος, νοῦν καὶ ἀλήθειαν, τουτέστι δυάδα, ἥτις κυρία καὶ ἀρχὴ γέγονε

15. Cod. αὐτοῖς.
16. Cod. αὐτοῖς ἡμεῖς.
18. Cod. ἐροῦμέν τε ὅλως.
19. Cod. γενητόν.
24. Cod. ὃν εἶχεν.
ib. Cod. αὐτῷ.
26. Cod. ὅλως (sic).
27. Cod. ἦν pro ᾖ.
28. Cod. ἐγένησεν.
ib. Cod. αὐτὴν pro αὐτός.

καὶ μήτηρ πάντων τῶν ἐντὸς πληρώματος καταριθμουμένων αἰώνων ὑπ᾽ αὐτῶν. Προβληθεὶς δὲ ὁ νοῦς καὶ ἡ ἀλήθεια ἀπὸ τοῦ πατρὸς, ἀπὸ γονίμου γόνιμος, προέβαλε καὶ αὐτὸς λόγον καὶ ζωὴν, τὸν πατέρα μιμούμενος· ὁ δὲ λόγος καὶ ἡ ζωὴ προβάλλουσιν ἄνθρωπον καὶ ἐκκλησίαν. Ὁ δὲ νοῦς καὶ ἡ ἀλήθεια, ἐπεὶ εἶδον τοῦ λόγου καὶ τῆς ζωῆς τὰ ἴδια γεννήματα γόνιμα γεγεννημένα, ηὐχαρίστησαν τῷ πατρὶ τῶν ὅλων, καὶ προσφέρουσιν αὐτῷ τέλειον ἀριθμὸν, αἰῶνας δέκα. Τούτου γὰρ, φησὶ, τελειότερον ἀριθμοῦ ὁ νοῦς καὶ ἡ ἀλήθεια τῷ πατρὶ προσενεγκεῖν οὐκ ἠδυνήθησαν. Ἔδει γὰρ τέλειον ὄντα τὸν πατέρα, ἀριθμῷ δοξάζεσθαι τελείῳ, τέλειος δέ ἐστιν ὁ δέκα, ὅτι πρῶτος τῶν κατὰ πλῆθος γενομένων οὗτος ἐστὶ τέλειος. Τελειότερος δὲ ὁ πατὴρ, ὅτι ἀγέννητος ὢν μόνος, διὰ πρώτης τῆς μιᾶς συζυγίας τοῦ νοῦ καὶ τῆς ἀληθείας, πάσας τὰς τῶν γενομένων
72 r. προβαλεῖν εὐπόρησε ῥίζας.

30 Ἰδὼν οὖν καὶ αὐτὸς ὁ λόγος καὶ ἡ ζωὴ ὅτι ὁ νοῦς καὶ ἡ ἀλήθεια δεδόξακαν τὸν πατέρα τῶν ὅλων ἐν ἀριθμῷ τελείῳ, δοξάσαι καὶ αὐτὸς ὁ λόγος μετὰ τῆς ζωῆς ἠθέλησε τὸν ἑαυτοῦ πατέρα καὶ τὴν μητέρα, τὸν νοῦν καὶ τὴν ἀλήθειαν. Ἐπεὶ δὲ γεννητὸς ἦν ὁ νοῦς καὶ ἡ ἀλήθεια, καὶ οὐκ εἶχε τὸν πατρικὸν τέλειον τὴν ἀγεννησίαν, οὐκέτι τελείῳ ἀριθμῷ ὁ λόγος καὶ ἡ ζωὴ δοξάζουσι τὸν ἑαυτῶν πατέρα τὸν νοῦν. Ἀλλὰ γὰρ ἀνατελεῖ, δώδεκα γὰρ αἰώνων προφέρουσιν ὁ λόγος καὶ ἡ ζωὴ τῷ νοΐ καὶ τῇ ἀληθείᾳ. Αὗται γὰρ πρῶται κατὰ Οὐαλεντῖνον ῥίζαι τῶν αἰώνων γεγόνασι, νοῦς καὶ ἀλήθεια, λόγος καὶ ζωὴ, ἄνθρωπος καὶ ἐκκλησία. Δώδεκα δὲ, οἱ τοῦ

30. Cod. καταριθμουμένων.
39. Fort. ἀριθμόν.
51. Cod. γενητός.
52. Fort. τὸ πατρικόν.
53. Cod. τῶν pro τόν.

νοὸς καὶ τῆς ἀληθείας δύο, καὶ δέκα δὲ οἱ τοῦ λόγου καὶ τῆς ζωῆς. Εἴκοσι καὶ ὀκτὼ οἱ πάντες, οἷς καλοῦσιν ὀνόματα ταῦτα, βυθὸς, καὶ μίξις ἀκήρατος, καὶ ἕνωσις αὐτοφυὴς καὶ ἡδονὴ ἀκίνητος, καὶ σύγκρισις μονογενὴς καὶ μακαρία. Οὗτοι δώδεκα αἰῶνες, οὓς τινὲς μὲν ὑπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας λέγουσι, τινὲς δὲ ὑπὸ τοῦ λόγου καὶ τῆς ζωῆς, ἕτεροι δὲ τοὺς δώδεκα, ὑπὸ τοῦ ἀνθρώπου καὶ τῆς ἐκκλησίας, ἕτεροι δὲ ὑπὸ τοῦ λόγου καὶ τῆς ζωῆς. Οἷς ταῦτα τὰ ὀνόματα χαρίζονται, παράκλητος καὶ πίστις πατρικῶς καὶ ἐλπὶς μητρικῶς καὶ ἀγάπη αἰῶνος καὶ σύνεσις ἐκκλησιαστικὸς καὶ μακαριστὸς θελητὸς καὶ σοφία. Ἀπὸ δὲ τῶν δεκαδύο ὁ δωδέκατος καὶ νεώτατος πάντων τῶν εἰκοσιοκτὼ αἰώνων, θῆλυς ὢν καὶ καλούμενος σοφία, κατενόησε τὸ πλῆθος καὶ τὴν δύναμιν τῶν γεγεννηκότων αἰώνων, καὶ ἀνέδραμεν εἰς τὸ βάθος τὸ τοῦ πατρός. Καὶ ἐνόησεν ὅτι οἱ μὲν ἄλλοι πάντες αἰῶνες γεννητοὶ ὑπάρχοντες, κατὰ συζυγίαν γεννῶσιν, ὁ δε πατὴρ μόνος ἄζυγος ἐγέννησεν. Ἠθέλησε μιμήσασθαι τὸν πατέρα, καὶ ἐγέννησε καθ' ἑαυτὴν δίχα τοῦ συζύγου, ἵνα μηδὲν ᾖ ἔργον ὑποδεέστερον τοῦ πατρὸς εἰργασμένη, ἀγνοοῦσα
72 v. ὅτι ὁ μὲν ἀγέννητος ὑπάρχων ἀρχὴ τῶν ὅλων καὶ ῥίζα καὶ βάθος καὶ βυθὸς, δυνατῶς ἔχει γεννῆσαι μόνος. Γεννητὴ δὲ οὖσα ἡ σοφία, καὶ μετὰ πλείονας γενομένη, τὴν τοῦ ἀγεννήτου δύναμιν οὐ δύναται ἔχειν. Ἐν μὲν γὰρ τῷ ἀγεννήτῳ, φησὶν, ἔστι πάντα ὁμοῦ· ἐν δὲ τοῖς γεννητοῖς, τὸ μὲν θῆλυ ἔστιν οὐσίας προβλητικὸν, τὸ δὲ ἄρρεν μορφωτικὸν τῆς ὑπὸ τοῦ θήλεως προβαλλομένης οὐσίας. Προσέβαλεν οὖν ἡ σοφία τοῦτο μόνον ὅπερ

69. Fort. ἐκκλησιαστικὴ καὶ μακαρισμός.
73. Cod. γεγενηκότων.
78. Cod. ἡ.
82. Cod. γενητή.
84. Cod. ἀγενήτῳ.
85. Cod. γενητοῖς.

ἠδύνατο, οὐσίαν εὔμορφον καὶ εὐκατασκεύαστον. Καὶ τοῦτο ἐστὶ, φησὶν, ὃ λέγει Μωϋσῆς· "ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος." Αὕτη ἐστὶ, φησὶν, ἡ ἀγαθὴ ἡ ἐπουράνιος Ἱερουσαλὴμ, εἰς ἣν ἐπηγγείλατο ὁ θεὸς εἰσαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ, λέγων· "Εἰσάξω ὑμᾶς εἰς γῆν ἀγαθὴν ῥέουσαν μέλι καὶ γάλα."

31 Γενομένης οὖν ἐντὸς πληρώματος ἀγνοίας κατὰ τὴν σοφίαν, καὶ ἀμορφίας κατὰ τὸ γέννημα τῆς σοφίας, θόρυβος ἐγένετο ἐν τῷ πληρώματι * οἱ αἰῶνες οἱ γενόμενοι ὅτι παραπλησίως ἄμορφα καὶ ἀτελῆ γενήσεται τῶν αἰώνων τὰ γεννήματα, καὶ φθορά τις καταλήψεται οὐκ εἰς μακράν ποτε τοὺς αἰῶνας. Κατέφυγον οὖν πάντες οἱ αἰῶνες ἐπὶ δέησιν τοῦ πατρὸς, ἵνα λυπουμένην τὴν σοφίαν ἀναπαύσῃ· ἔκλαιε γὰρ καὶ κατωδύρετο ἐπὶ τῷ γεγενημένῳ ὑπ' αὐτῆς ἐκτρώματι· οὕτω γὰρ καλοῦσιν. Ἐλεήσας οὖν ὁ πατὴρ τὰ δάκρυα τῆς σοφίας καὶ προσδεξάμενος τῶν αἰώνων τὴν δέησιν, ἐπιπροβαλεῖν κελεύει· οὐ γὰρ αὐτὸς, φησὶ, προέβαλεν, ἀλλὰ ὁ νοῦς καὶ ἡ ἀλήθεια, Χριστὸν καὶ Πνεῦμα ἅγιον, εἰς μόρφωσιν καὶ διαίρεσιν τοῦ ἐκτρώματος καὶ παραμυθίαν, καὶ διανάπαυσιν τῶν τῆς σοφίας στεναγμῶν. Καὶ γίνονται τριάκοντα αἰῶνες μετὰ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τινὲς μὲν οὖν αὐτῶν ταύτην εἶναι θέλουσι τὴν τριακοντάδα τῶν αἰώνων, τινὲς δὲ συνυπάρχειν
73 r. τῷ πατρὶ εἰς γῆν, καὶ σὺν αὐτοῖς καταριθμεῖσθαι τοὺς αἰῶνας θέλουσιν. Ἐπιπροβληθεὶς οὖν ὁ Χριστὸς καὶ τὸ ἅγιον Πνεῦμα ὑπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας, εὐθέως τὸ ἔκτρωμα τὸ ἄμορφον τοῦτο τῆς σοφίας μονογενὲς

88. Cod. εὐκατάσβεστον.
89. Genes. I, 2.
92. Exod. XXXIII, 3.
95. Cod. γένημα.
96. Fort. Ἐφοβοῦντο γὰρ οἱ αἰῶνες οἱ γεννώμενοι, vel simile quid.
2. Cod. ἔκλεαι.
12. Cod. τριαντακοντάδα.

καὶ δίχα συζύγου γεγεννημένον, ἀποχωρίζει τῶν ὅλων αἰώνων, ἵνα μὴ βλέποντες αὐτὸ ταράσσωνται διὰ τὴν ἀμορφίαν οἱ τέλειοι αἰῶνες. Ἵν' οὖν μηδ' ὅλως τοῖς αἰῶσι τοῖς τελείοις καταφανῇ τοῦ ἐκτρώματος ἡ ἀμορφία, πάλιν καὶ ὁ πατὴρ ἐπιπροβάλλει αἰῶνα ἕνα τὸν σταυρὸν, ὃς γεγεννημένος μέγας ὡς μεγάλου καὶ τελείου πατρὸς, εἰς φρουρὰν καὶ χαράκωμα τῶν αἰώνων προβεβλημένος, ὅρος γίνεται τοῦ πληρώματος, ἔχων ἐντὸς ἑαυτοῦ πάντας ὁμοῦ τοὺς τριάκοντα αἰῶνας· οὗτοι γάρ εἰσιν οἱ προβεβλημένοι. Καλεῖται δὲ ὅρος μὲν οὗτος ὅτι ἀφορίζει ἀπὸ τοῦ πληρώματος ἔξω τὸ ὑστέρημα· μετοχεὺς δὲ ὅτι μετέχει καὶ τοῦ ὑστερήματος· σταυρὸς δὲ ὅτι πέπηγεν ἀκλινῶς καὶ ἀμετανοήτως, ὡς μὴ δύνασθαι μηδὲν τοῦ ὑστερήματος, καὶ γενέσθαι ἐγγὺς τῶν ἐντὸς πληρώματος αἰώνων. Ἔξω οὖν τοῦ ὅρου τοῦ σταυροῦ, τοῦ μετοχέως, ἐστὶν ἡ καλουμένη κατ' αὐτοὺς ὀγδοὰς, ἥτις ἐστὶν ἡ ἐκτὸς πληρώματος σοφία, ἣν ὁ Χριστὸς ἐπιπροβληθεὶς ἀπὸ τοῦ νοῦ καὶ τῆς ἀληθείας, ἐμόρφωσε καὶ ἀπειργάσατο τέλειον αἰῶνα οὐδενὶ τῶν ἐντὸς πληρώματος χείρονουν....ον γενέσθαι. Ἐπειδὴ δὲ μεμόρφωτο ἡ σοφία ἔξω, καὶ οὐχ οἷόν τε ἦν ἴσον τὸν Χριστὸν καὶ τὸ ἅγιον [Πνεῦμα] ἐκ τοῦ νοὸς προβεβλημένα καὶ τῆς ἀληθείας, ἔξω τοῦ πληρώματος μένειν, ἀνέδραμεν ἀπὸ τῆς μεμορφωμένης ὁ Χριστὸς καὶ τὸ ἅγιον Πνεῦμα πρὸς τὸν νοῦν καὶ τὴν ἀλήθειαν ἐντὸς τοῦ ὅρου ἢ μετὰ τῶν ἄλλων αἰώνων δοξάζων τὸν πατέρα.

73 v.

32 Ἐπεὶ οὖν μία τις ἦν εἰρήνη καὶ συμφωνία πάντων τῶν ἐντὸς πληρώματος αἰώνων, ἔδοξεν αὐτοῖς μὴ μόνον

17. Cod. γεγενημένον.
21. Cod. ἐπεὶ προβάλλει.
22. Cod. τὸν σταυρός.
30. Cod. ἐντὸς ἐγγὺς, sed ἐντὸς eras.
36. Fort. πληρώματος πρόχειρον δυνάμενον γενέσθαι.
37. Fort. ἡ σοφία [ἦ] ἔξω.
38. Addidi πνεῦμα.
42. Fort. ἵν' ᾖ μετὰ, vel potius ἢ delendum.

κατὰ συζυγίαν δεδοξακέναι τὸν υἱὸν, δοξάσαι [δὲ] καὶ διὰ προσφορᾶς καρπῶν πρεπόντων τῷ πατρί. Πάντες οὖν ηὐδόκησαν οἱ τριάκοντα αἰῶνες ἕνα προβαλεῖν αἰῶνα, κοινὸν τοῦ πληρώματος καρπόν· ἵν' ᾖ τῆς νεότητος αὐτῶν καὶ τῆς ὁμοφροσύνης καὶ εἰρήνης. Καὶ μόνος ὑπὸ πάντων αἰώνων προβεβλημένος τῷ πατρὶ, οὗτος ἐστὶν ὁ καλούμενος παρ' αὐτοῖς κοινὸς τοῦ πληρώματος καρπός. Ταῦτα μὲν οὖν ἐντὸς πληρώματος ἦν οὕτως. Καὶ προβέβλητο ὁ κοινὸς τοῦ πληρώματος καρπὸς, ὁ Ἰησοῦς (τοῦτο γὰρ ὄνομα αὐτῷ), ὁ ἀρχιερεὺς ὁ μέγας. Ἡ δὲ ἔξω τοῦ πληρώματος σοφία ἐπιζητοῦσα τὸν Χριστὸν τὸν μεμορφωκότα καὶ τὸ ἅγιον Πνεῦμα, ἐν φόβῳ μεγάλῳ κατέστη, ὅτι ἀπολεῖται κεχωρισμένου τοῦ μορφώσαντος αὐτὴν καὶ στηρίσαντος. Καὶ ἐλυπήθη καὶ ἐν ἀπορίᾳ ἐγένετο πολλῇ, λογιζομένη τίς ἦν ὁ μορφώσας, τί τὸ ἅγιον Πνεῦμα, ποῦ ἀπῆλθε, τίς ὁ κωλύσας αὐτοὺς συμπαρεῖναι, τίς ἐφθόνησε τοῦ καλοῦ καὶ μακαρίου θεάματος ἐκείνου. Ἐπὶ τούτοις καθεστῶσα τοῖς πάθεσι τρέπεται ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ ἀπολιπόντος αὐτήν. Δεομένης οὖν αὐτῆς, κατηλέησεν ὁ Χριστὸς ὁ ἐντὸς πληρώματος ὤν, καὶ οἱ ἄλλοι πάντες αἰῶνες, καὶ ἐκπέμπουσιν ἔξω τοῦ πληρώματος τὸν κοινὸν τοῦ πληρώματος καρπὸν, σύζυγον τῆς ἔξω σοφίας, καὶ διορθωτὴν παθῶν ὧν ἔπαθεν ἐπιζητοῦσα τὸν Χριστόν. Γενόμενος οὖν ἔξω τοῦ πληρώματος καρπὸς, καὶ εὑρὼν αὐτὴν ἐν πάθεσι τοῖς πρώτοις τέτρασι, καὶ φόβῳ καὶ λύπῃ καὶ ἀπορίᾳ καὶ δεήσει, διωρθώσατο
74 r. τὰ πάθη αὐτῆς, διορθούμενος δὲ ἑώρα ὅτι ἀπολέσθαι αὐτὰ αἰώνια ὄντα καὶ τῆς σοφίας ἴδια, οὐ καλὸν, οὔτε ἐν πάθεσιν εἶναι τὴν σοφίαν τοιούτοις, ἐν φόβῳ καὶ λύπῃ,

45. Addidi δέ.
47. Cod. ηὐδίκησαν.
49. Deest substantivum σημεῖον.
62. Cod. ἐπεὶ τούτοις καθεσπῶσα.
71. Cod. διορθώσατο.

ἱκετείᾳ, ἀπορίᾳ. Ἐποίησεν οὖν ὡς τηλικοῦτος αἰὼν καὶ παντὸς τοῦ πληρώματος ἔκγονος, ἐκστῆναι τὰ πάθη ἀπ' αὐτῆς· καὶ ἐποίησεν αὐτὰ ὑποστάτας οὐσίας, καὶ τὸν μὲν φόβον, ψυχικὴν ἐποίησεν ἐπιθυμίαν, τὴν δὲ λύπην ὑλικὴν, τὴν δὲ ἀπορίαν δαιμόνων, τὴν δὲ ἐπιστροφὴν καὶ δέησιν καὶ ἱκετείαν, ὁδὸν καὶ μετάνοιαν καὶ δύναμιν ψυχικῆς οὐσίας, ἥτις καλεῖται δεξιὰ ὁ δημιουργὸς, ἀπὸ τοῦ φόβου· τουτέστιν ὃ λέγει, φησὶν, ἡ γραφὴ, Ἀρχὴ σοφίας, φόβος Κυρίου. Αὕτη γὰρ ἀρχὴ τῶν τῆς σοφίας παθῶν· ἐφοβήθη γὰρ, εἶτα ἐλυπήθη, εἶτα ἠπόρησε· καὶ οὕτως ἐπὶ δέησιν καὶ ἱκετείαν κατέφυγεν. Ἔστι δὲ πυρώδης, φησὶν, ἡ ψυχικὴ οὐσία, καλεῖται δὲ καὶ τόπος ὑπ' αὐτῶν καὶ ἑβδομὰς, καὶ παλαιὸς τῶν ἡμερῶν, καὶ ὅσα τοιαῦτα λέγουσι περὶ τούτου, ταῦτα εἶναι τοῦ ψυχικοῦ ὅν φησιν εἶναι τοῦ κόσμου δημιουργόν· ἔστι δὲ πυρώδης. Λέγει, φησὶ, καὶ Μωϋσῆς, "Κύριος ὁ θεός σου πῦρ ἐστι φλέγον καὶ καταναλίσκον." Καὶ γὰρ τοῦτο οὕτως γεγράφθαι θέλει. Διπλῆ δέ τις ἐστὶ, φησὶν, ἡ δύναμις τοῦ πυρός· ἔστι γὰρ πῦρ παμφάγον, κατασβεσθῆναι μὴ δυνάμενον. Κατὰ τοῦτο τοίνυν τὸ μέρος, θνητή τις ἐστὶν ἡ ψυχὴ μεσότης τις οὖσα· ἔστι γὰρ ἑβδομὰς καὶ κατάπαυσις. Ὑποκάτω γάρ ἐστι τῆς ὀγδοάδος, ὅπου ἐστὶν ἡ σοφία, ἡμέρα μεμορφωμένη καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπός. Ὑπεράνω δὲ τῆς ὕλης ἥ ἐστι δημιουργὸς, ἐὰν ἐξομοιωθῇ τοῖς ἄνω
74 v. τῇ ὀγδοάδι, ἀθάνατος ἐγένετο καὶ ἦλθεν εἰς τὴν ὀγδοάδα, ἥτις ἐστὶ, φησὶν, Ἱερουσαλὴμ ἐπουράνιος. Ἐὰν δὲ ἐξομοιωθῇ τῇ ὕλῃ, τουτέστι τοῖς πάθεσι τοῖς ὑλικοῖς, φθαρτὴ ἔσται καὶ ἀπώλετο.

82. Prov. I, 7.
87. Cod. εὔδομας.
90. Deut. IX, 3.
94. Fort. [καὶ] κατασβε.
96. Cod. εὐδομάς.
97. Cod. μορφωμένη.

33 Ὥσπερ οὖν τῆς ψυχικῆς οὐσίας ἡ πρώτη καὶ μεγίστη δύναμις γέγονεν * εἰκὼν διάβολος, ὁ ἄρχων τοῦ κόσμου τούτου· τῆς δὲ τῶν δαιμόνων οὐσίας ἥτις ἐστὶν ἐκ τῆς ἀπορίας ὁ Βεελζεβοὺλ, ἡ σοφία ἄνωθεν ἀπὸ τῆς ὀγδοάδος ἐνεργοῦσα, ἕως τῆς ἑβδομάδος. Οὐδὲν οἶδεν, λέγουσιν, ὁ δημιουργὸς ὅλως, ἀλλ᾽ ἔστιν ἄνους καὶ μωρὸς κατ᾽ αὐτοὺς, καὶ τί πράσσει ἢ ἐργάζεται οὐκ οἶδεν. Ἀγνοοῦντι δὲ αὐτῷ ὅτι δὲ ποιεῖ, ἡ σοφία ἐνήργησε πάντα καὶ ἐνίσχυσε, καὶ ἐκείνης ἐνεργούσης, αὐτὸς ᾤετο ἀφ᾽ ἑαυτοῦ ποιεῖν τὴν κτίσιν τοῦ κόσμου· ὅθεν ἤρξατο λέγειν· "ἐγὼ ὁ θεὸς, καὶ πλὴν ἐμοῦ ἄλλος οὐκ ἔστιν."

34 Ἔστιν οὖν ἡ κατὰ Οὐαλεντῖνον τετρακτὺς πηγὴ τῆς ἀενάου φύσεως ῥιζώματ᾽ ἔχουσα καὶ ἡ σοφία, ἀφ᾽ ἧς ἡ κτίσις ἡ ψυχικὴ καὶ ὑλικὴ συνέστηκε νῦν. Καλεῖται δὲ ἡ μὲν σοφία πνεῦμα, ὁ δὲ δημιουργὸς ψυχὴ, ὁ διάβολος δὲ ὁ ἄρχων τοῦ κόσμου Βεελζεβοὺλ ὁ τῶν δαιμόνων. Ταῦτά ἐστιν ἃ λέγουσιν· ἔτι [δὲ] πρὸς τούτοις, ἀριθμητικὴν ποιούμενοι τὴν πᾶσαν αὐτῶν διδασκαλίαν, ὡς προεῖπον [προβεβηκέναι] ἐντὸς πληρώματος αἰῶνας τριάκοντα· πάλιν ἐπιπροβεβηκέναι αὐτοῖς κατὰ ἀναλογίαν αἰῶνας ἄλλους, ἵν᾽ ᾖ τὸ πλήρωμα ἐν ἀριθμῷ τελείῳ συνηθροισμένον. Ὡς γὰρ οἱ Πυθαγορικοὶ διεῖλον εἰς δώδεκα καὶ τριάκοντα καὶ ἑξήκοντα, καὶ λεπτὰ λεπτῶν εἰσὶν ἐκείνοις, δεδήλωται· οὕτως οὗτοι τὰ ἐντὸς πλη-
75 r. ρώματος ὑποδιαιροῦσιν. Ὑποδιῄρηται δὲ καὶ τὰ ἐν τῇ ὀγδοάδι, καὶ προβεβήκασιν ἡ σοφία, ἥτις ἐστὶ μήτηρ πάντων τῶν ζῴων τῶν κατ᾽ αὐτοὺς, καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς ὁ λόγος, οἵτινες εἰσὶν ἄγγελοι

6. Exciderunt quædam ob ὁμοιοτέλευτον, ut videtur.
9. Cod. εὐδομάδος.
12. Leg. ὅ, τι δὴ pro δέ.
15. Deuteron. XXXII, 39.
17. Cod. ῥίζωμά τε ἔχ.
21–23. Addidi δὲ et προβεβηκέναι.
30. Cod. προβεβληκάσιν.

ἐπουράνιοι, πολιτευόμενοι ἐν Ἱερουσαλὴμ τῇ ἄνω, τῇ ἐν οὐρανοῖς· αὕτη γάρ ἐστιν Ἱερουσαλὴμ ἡ ἔξω σοφία, καὶ ὁ νυμφίος αὐτῆς ὁ κοινωνὸς τοῦ πληρώματος καρπός. Προέβαλε καὶ ὁ δημιουργὸς ψυχάς· αὕτη γὰρ οὐσία ψυχῶν, οὗτός ἐστι κατ' αὐτοὺς Ἀβραὰμ, καὶ ταῦτα τοῦ Ἀβραὰμ τὰ τέκνα. Ἐκ τῆς ὑλικῆς οὐσίας οὖν καὶ διαβολικῆς ἐποίησεν ὁ δημιουργὸς ταῖς ψυχαῖς τὰ σώματα. Τοῦτό ἐστι τὸ εἰρημένον· "Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς λαβὼν, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς· καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν." Οὗτός ἐστι κατ' αὐτοὺς ὁ ἔσω ἄνθρωπος ὁ ψυχικὸς ἐν τῷ σώματι κατοικῶν τῷ ὑλικῷ, ὅ ἐστιν ὑλικὸς, φθαρτὸς, τέλειος ἐκ τῆς διαβολικῆς οὐσίας πεπλασμένος. Ἔστι δὲ οὗτος ὁ ὑλικὸς ἄνθρωπος οἱονεὶ κατ' αὐτοὺς πανδοχεῖον ἢ κατοικητήριον, ποτὲ μὲν ψυχῆς μόνης, ποτὲ δὲ ψυχῆς καὶ δαιμόνων, ποτὲ δὲ ψυχῆς καὶ λόγων, οἵτινές εἰσι λόγοι ἄνωθεν κατεσπαρμένοι ἀπὸ τοῦ κοινοῦ τοῦ πληρώματος καρποῦ καὶ τῆς σοφίας εἰς τοῦτον τὸν κόσμον, κατοικοῦντες ἐν [σώμα]τι χοϊκῷ μετὰ ψυχῆς, ὅταν δαίμονες μὴ συνοικῶσι τῇ ψυχῇ. Τοῦτο ἐστὶ, φησὶ, τὸ γεγραμμένον ἐν τῇ Γραφῇ· "Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν θεὸν καὶ πατέρα καὶ κύριον τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα δῴη ὑμῖν ὁ θεὸς κατοικῆσαι τὸν Χριστὸν εἰς τὸν ἔσω ἄνθρωπον, τουτέστι
75 v. τὸν ψυχικὸν, οὐ τὸν σωματικὸν, ἵνα ἐξισχύσητε νοῆσαι τί τὸ βάθος, ὅπερ ἐστὶν ὁ πατὴρ τῶν ὅλων, καὶ τί τὸ πλάτος, ὅπερ ἐστὶν ὁ σταυρὸς, ὁ ὅρος τοῦ πληρώματος, ἢ τί τὸ μῆκος, τουτέστι τὸ πλήρωμα τῶν αἰώνων." Διὰ

38. Cod. Ἀβράμ.
40. Genes. II, 7.
45. Fort. τελέως.
54. Ephes. III, 14–18.
56. Cod. ἡμῖν.

τοῦτο [ὁ] ψυχικὸς, φησὶν, ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστί· μωρία δὲ, φησὶν, ἐστὶν ἡ δύναμις τοῦ δημιουργοῦ, μωρὸς γὰρ ἦν καὶ ἄνους, καὶ ἐνόμιζεν αὐτὸς δημιουργεῖν τὸν κόσμον, ἀγνοῶν ὅτι πάντα ἡ σοφία ἡ μήτηρ ἡ ὀγδοὰς ἐνεργεῖ αὐτῷ πρὸς τὴν κτίσιν τοῦ κόσμου οὐκ εἰδότι.

35 Πάντες οὖν οἱ προφῆται καὶ ὁ νόμος ἐλάλησαν ἀπὸ τοῦ δημιουργοῦ, μωροῦ λέγει θεοῦ, μωροὶ οὐδὲν εἰδότες. Διὰ τοῦτο, φησὶ, λέγει ὁ Σωτὴρ, "Πάντες οἱ πρὸ ἐμοῦ ἐληλυθότες, κλέπται καὶ λησταὶ εἰσί." Καὶ ὁ ἀπόστολος "τὸ μυστήριον ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη." Οὐδεὶς γὰρ, φησὶ, τῶν προφητῶν εἴρηκε περὶ τούτων οὐδὲν ὧν ἡμεῖς λέγομεν· ἠγνοεῖτο γὰρ πάντα, ἅτε δὴ ἀπὸ μόνου τοῦ δημιουργοῦ λελαλημένα. Ὅτε οὖν τέλος ἔλαβεν ἡ κτίσις, καὶ ἔδει λοιπὸν γενέσθαι τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ, τουτέστι τοῦ δημιουργοῦ, τὴν ἐγκεκαλυμμένην ἣν, φησὶν, ἐγκεκάλυπτο ὁ ψυχικὸς ἄνθρωπος, καὶ εἶχε κάλυμμα ἐπὶ τὴν καρδίαν· ὁπότε οὖν ἔδει ἀρθῆναι τὸ κάλυμμα καὶ ὀφθῆναι ταῦτα τὰ μυστήρια, γεγέννηται ὁ Ἰησοῦς διὰ Μαρίας τῆς παρθένου κατὰ τὸ εἰρημένον· "Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ·" πνεῦμα ἐστὶν ἡ σοφία· "καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι·" ὕψιστός ἐστιν ὁ δημιουργός. "Διὸ
76 r. τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται." Γεγένηται γὰρ οὐκ ἀπὸ ὑψίστου μόνον, ὥσπερ οἱ κατὰ τὸν Ἀδὰμ κτισθέντες ἀπὸ μόνου ἐκτίσθησαν τοῦ ὑψίστου, τουτέστι τῆς σοφίας καὶ τοῦ δημιουργοῦ. Ὁ δὲ Ἰησοῦς ὁ καινὸς

62. Addidi [ὁ].
69. Cod. οἰδότες.
70. Joan. X, 8.
72. Ephes. III, 9–10; Rom. XVI, 25.
77. Fort. τῇ ἐγκεκαλυμμένῃ.
81. Cod. γεγένηται.
82. Luc. I, 35.
88. Scrib. videtur τουτέστι τοῦ δημιουργοῦ, ὁ Ἰησοῦς, deletis τῆς σοφίας καὶ et δέ. Cf. p. 195, l. 2, 3, 11 et p. 196, l. 40.

ἄνθρωπος, ὁ ἀπὸ Πνεύματος ἁγίου, τουτέστι τῆς σοφίας καὶ τοῦ δημιουργοῦ, ἵνα τὴν μὲν πλάσιν καὶ κατασκευὴν τοῦ σώματος αὐτοῦ ὁ δημιουργὸς καταρτίσῃ, τὴν δὲ οὐσίαν αὐτοῦ τὸ Πνεῦμα παράσχῃ τὸ ἅγιον, καὶ γένηται λόγος ἐπουράνιος ἀπὸ τῆς ὀγδοάδος γεννηθεὶς διὰ Μαρίας. Περὶ τούτου ζήτησις μεγάλη ἐστὶν αὐτοῖς, καὶ σχισμάτων καὶ διαφορᾶς ἀφορμή. Καὶ γέγονεν ἐντεῦθεν ἡ διδασκαλία αὐτῶν διῃρημένη, καὶ καλεῖται ἡ μὲν ἀνατολική τις διδασκαλία κατ' αὐτοὺς, ἡ δὲ ἰταλιωτική. Οἱ μὲν ἀπὸ τῆς Ἰταλίας, ὧν ἐστὶν Ἡρακλέων καὶ Πτολεμαῖος, ψυχικόν φασι τὸ σῶμα τοῦ Ἰησοῦ γεγονέναι, καὶ διὰ τοῦτο ἐπὶ τοῦ βαπτίσματος τὸ Πνεῦμα ὡς περιστερὰ κατελήλυθε, τουτέστιν ὁ λόγος ὁ τῆς μητρὸς ἄνωθεν τῆς σοφίας, καὶ γέγονε τῷ ψυχικῷ, καὶ ἐγήγερκεν αὐτὸν ἐκ νεκρῶν. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον· "Ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν καὶ τὰ ψυχικά." Ὁ χοῦς γὰρ ὑπὸ κατάραν ἐλήλυθε. "Γῆ γὰρ, φησὶν, εἶ καὶ εἰς γῆν ἀπελεύσῃ." Οἱ δ' αὖ ἀπὸ τῆς ἀνατολῆς λέγουσιν, ὧν ἐστὶν Ἀξιόνικος καὶ Ἀρδησιάνης, ὅτι πνευματικὸν ἦν τὸ σῶμα τοῦ Σωτῆρος· πνεῦμα γὰρ ἅγιον ἦλθεν ἐπὶ τὴν Μαρίαν, τουτέστιν ἡ σοφία καὶ ἡ δύναμις τοῦ ὑψίστου ἡ δημιουργικὴ τέχνη, ἵνα διαπλασθῇ τὸ ὑπὸ τοῦ πνεύματος τῇ Μαρίᾳ δοθέν.

36 Ταῦτα οὖν ἐκεῖνοι ζητείτωσαν κατ' αὐτοὺς καὶ εἴ τινι
76 v. ἄλλῳ γένηται φίλον ζητεῖν. Ἀλλ' ἐπεὶ λέγει ὡς διώρθωτο μὲν τὰ κατὰ τοὺς αἰῶνας ἔσω σφάλματα· διώρθωτο δὲ καὶ κατὰ τὴν ὀγδοάδα τὴν ἔξω σοφίαν· διώρθωτο δὲ καὶ κατὰ τὴν ἑβδομάδα· ἐδιδάχθη γὰρ ὑπὸ τῆς σοφίας ὁ δημιουργὸς, ὅτι οὐκ ἔστιν αὐτὸς θεὸς μόνος ὡς ἐνό-

93. Cod. γενηθείς.
5. Rom. VIII, 11.
7. Genes. III, 19.
14. Cod. ζητήτωσαν.
15. Fort. Ἀλλ' ἐπιλέγει ὡς.

μιζε, καὶ πλὴν αὐτοῦ ἕτερος οὐκ ἔστιν. Ἀλλ' ἔγνω διδαχθεὶς ὑπὸ τῆς σοφίας τὸν κρείττονα· κατήχθη γὰρ ὑπ' αὐτῆς, καὶ ἐμυήθη καὶ ἐδιδάχθη τὸ μέγα τοῦ πατρὸς καὶ τῶν αἰώνων μυστήριον, καὶ ἐξεῖπεν αὐτὸ οὐδενὶ, τουτέστιν, ὥς φησιν, ὃ λέγει πρὸς Μωϋσῆν, "Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακὼβ, καὶ τὸ ὄνομά μου οὐκ ἀπήγγειλα αὐτοῖς," τουτέστι τὸ μυστήριον οὐκ εἶπα, οὐδὲ ἐξηγησάμην τίς ἐστὶν ὁ θεὸς, ἀλλ' ἐφύλαξα παρ' ἐμαυτῷ ἐν ἀποκρύφῳ τὸ μυστήριον ὃ ἤκουσα παρὰ τῆς σοφίας. Ἔδει οὖν διωρθωμένων τῶν ἄνω κατὰ τὴν αὐτὴν ἀκολουθίαν καὶ τὰ ἐνθάδε τυχεῖν διορθώσεως. Τούτου χάριν ἐγεννήθη Ἰησοῦς ὁ Σωτὴρ διὰ τῆς Μαρίας, ἵνα διορθώσηται ἐνθάδε ὥσπερ ὁ Χριστὸς, ὁ ἄνωθεν ἐπιπροβληθεὶς ὑπὸ τοῦ νοὸς καὶ τῆς ἀληθείας, διωρθώσατο τὰ πάθη τῆς ἔξω σοφίας, τουτέστι τοῦ ἐκτρώματος· καὶ πάλιν ὁ διὰ Μαρίας γεγεννημένος ὁ Σωτὴρ ἦλθε διορθώσασθαι τὰ πλήθη τῆς ψυχῆς. Εἰσὶν οὖν [κατ' αὐτοὺς] τρεῖς Χριστοὶ, ὁ ἐπιπροβληθεὶς ὑπὸ τοῦ νοὸς καὶ τῆς ἀληθείας μετὰ τοῦ ἁγίου Πνεύματος· καὶ ὁ κοινὸς τοῦ πληρώματος καρπὸς ἰσόζυγος τῆς ἔξω σοφίας, ἥτις καλεῖται καὶ αὐτὴ πνεῦμα ἅγιον ὑποδεέστερον τοῦ πρώτου· καὶ τρίτος ὁ διὰ Μαρίας γεννηθεὶς εἰς ἐπανόρθωσιν τῆς κτίσεως τῆς καθ' ἡμᾶς.

37 Διὰ πλειόνων νομίζω αὐτάρκως τὴν Οὐαλεντίνου αἵ-
77 r. ρεσιν Πυθαγόρειον οὖσαν ὑποτετυπῶσθαι. Δοκεῖ δὲ καὶ δι' ἐλέγχων τὰ δοκοῦντα αὐτοῖς ἐκθέμενον παύσασθαι. Πλάτων τοίνυν περὶ τοῦ παντὸς ἐκτιθέμενος μυστήρια, γράφει πρὸς Διονύσιον τοιοῦτον τινὰ τρόπον λέγων·

29. Cod. διορθωμένων.

37. ψυχῆς corruptum; an κτίσεως? cf. l. 42.

40. Cod. αὔτη.

46. Cod. διελέγχων.

48. Epist. II, p. 312, D.

"Φραστέον δή σοι δι' αἰνιγμάτων, ἵν' ἄν τι ἡ δέλτος ἢ πόντου [ἢ γῆς] ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ· ὧδε γὰρ ἔχει· περὶ τὸν πάντων βασιλέα πάντα ἐστὶ, κἀκείνου ἕνεκα πάντα· κἀκεῖνος αἴτιος πάντων τῶν καλῶν. Δεύτερον περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. Τοῦ δὲ βασιλέως πέρι [καὶ] ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτον. Τὸ δὲ μετὰ τοῦτο, ἡ ψυχὴ ἐπιζητεῖ μαθεῖν ὁποῖα ἄττα ἐστὶ, βλέπουσα εἰς τὰ ἑαυτῆς συγγενῆ, ὧν οὐδὲν ἱκανῶς ἔχει. Τουτέστιν, ὦ παῖ Διονυσίου καὶ Δωρίδος, τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν· μᾶλλον δὲ ἡ περὶ τούτου φροντὶς ἐν τῇ ψυχῇ ἐγγινομένη, ἣν ἐὰν μή τις ἐξαιρεθῇ, τῆς ἀληθείας ὄντως οὐ μή ποτε τύχῃ. Ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, [ἄκουσον]. Εἰσὶ γὰρ ἄνδρες ταῦτα ἀκηκοότες μαθεῖν [μὲν δυνατοὶ], δυνατοὶ δὲ μνημονεῦσαι καὶ βασανίσαντες πάντη πάντως κρῖναι γέροντες ἤδη· οἵ φασι τὰ μὲν τότε πιστὰ εἶναι δόξαντα, νῦν ἄπιστα, τὰ δὲ τότε ἄπιστα, νῦν τοὐναντίον. Πρὸς ταῦτα οὖν σκοπῶν εὐλαβοῦ μή ποτε σοὶ μεταμελήσῃ τῶνδε ἀναξίως ἐκπεσόντων. Διὰ τοῦτο ἐγὼ περὶ τούτων γέ[γραφα οὐ]δὲν, οὐδὲ ἔστι Πλάτωνος σύγγραμμα οὐδὲν, οὐδὲ ἔσται πώποτε. Τὰ δὲ νῦν λεγόμενα, Σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος." Τούτοις περιτυχὼν Οὐαλεντῖνος, ὑπεστήσατο τὸν πάντων βασιλέα, ὃν ἔφη Πλάτων, οὗτος πατέρα καὶ βυθὸν καὶ πᾶσι γῆν τῶν ὅλων αἰώνων. Δεύτερον

49. Ed. *αἰνιγμῶν.*
ib. Cod. *ἵν†ή* (sic).
50. Addidi *ἢ γῆς* ex edit.
51. Ed. *πάντ' ἐστι, καὶ ἐκείνου.*
52. Ed. *καὶ ἐκεῖνο αἴτιον ἁπάντων.*
53. Ed. *δεύτερον δὲ περί.*
54. Ed. *Τοῦ δὴ βασ.* Cod. *περὶ ὧν—Τοῦ δέ.*
55. Cod. *μετὰ τοῦτον.*
59. Cod. *ἐνγινομένη.* Ed. *ἐγγιγνομένη· ἣν εἰ μή τις ἐξαιρεθήσεται.*
61. Cod. *γεγόνασιν. Εἰ γάρ.*
62. Addidi *μὲν δυνατοὶ* ex edit.
63. Cod. *βασανίσαι.*
ib. Cod. *κρίνει γέροντος.*
64. Ed. *τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι, νῦν πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι· ἃ δὲ τότε πιστότατα, νῦν τοὐναντίον.*
66. Ed. *τῶν νῦν ἀναξ.*
67. Ed. *οὐδ' ἔστι σύγγραμμα Πλάτωνος οὐδὲν, οὐδ' ἔσται. Τὰ δέ.*
68. Cod. *Ἃ δέ.*

περὶ τὰ δεύτερα τοῦ Πλάτωνος εἰρηκότος, τὰ δεύτερα Οὐαλεντῖνος τοῦ ἐντὸς ὅρου τὸν ὅρον ὑπέθετο πάντας
77 v. αἰῶνας, καὶ τρίτον περὶ τὰ τρίτα τὴν ἔξω τοῦ ὅρου καὶ τοῦ πληρώματος διαταγὴν συνέθηκε πᾶσαν· καὶ δεδήλωκεν αὐτὴν δι' ἐλαχίστων Οὐαλεντῖνος ἐν ψαλμῷ κάτωθεν ἀρξάμενος, οὐχ ὥσπερ ὁ Πλάτων ἄνωθεν, λέγων οὕτως· "Θέρος πάντα κρεμάμενα πνεύματι βλέπω. Πάντα δ' ὀχούμενα πνεύματι νοῶ, σάρκα μὲν ἐκ ψυχῆς κρεμαμένην, ψυχὴν δὲ ἀέρος ἐξοχουμένην, ἀέρα δὲ ἐξ αἴθρης κρεμάμενον, ἐκ δὲ βυθοῦ καρποὺς φερομένους, ἐκ μήτρας δὲ βρέφος φερόμενον." Οὕτως ταῦτα νοῶν σὰρξ ἐστὶν ἡ ὕλη κατ' αὐτούς, ἥτις κρέμαται ἐκ τῆς ψυχῆς τοῦ δημιουργοῦ. Ψυχὴ δὲ ἀέρος ἐξοχεῖται, τουτέστιν ὁ δημιουργὸς τοῦ πνεύματος ἔξω πληρώματος. Ἀὴρ δὲ αἴθρης ἐξέχεται, τουτέστιν ἡ ἔξω σοφία τοῦ ἐντὸς ὅρου καὶ παντὸς πληρώματος. Ἐκ δὲ βυθοῦ καρποὶ φέρονται, ἡ ἐκ τοῦ πατρὸς πᾶσα προβολὴ τῶν αἰώνων γενομένη. Τὰ μὲν οὖν τῷ Οὐαλεντίνῳ δοκοῦντα ἱκανῶς λέλεκται σχολῆς προκύψασιν ἐξειπεῖν, ἄλλου ἄλλως δογματίσαντος τὰ δόξαντα αὐτοῖς.

38 Σεκοῦνδος μέν τις κατὰ τὸ αὐτὸ ἅμα τῷ Πτολεμαίῳ γενόμενος· οὗτος λέγει τετράδα εἶναι δεξιὰν καὶ τετράδα ἀριστερὰν, καὶ φῶς, καὶ σκότος· καὶ τὴν ἀποστᾶσαν δὲ καὶ ὑστερήσασαν δύναμιν οὐκ ἀπὸ τῶν τριάκοντα αἰώνων λέγει γεγενῆσθαι, ἀλλὰ ἀπὸ τῶν καρπῶν αὐτῶν. Ἄλλος δέ τις Ἐπιφανὴς διδάσκαλος αὐτῶν οὕτως λέγει· "Ἦν ἡ πρώτη ἀρχὴ ἀνεννόητος, ἄρρητός τε καὶ ἀνωνόμαστος, ἣν μονότητα καλεῖ· ταύτῃ [δὲ

77. Prior manus καὶ αὐτὴν διελεγχί τοῦ.
79. Fort. Θέρους.
80. Cod. δοχούμενα.
81. Cod. ἐξειχουμένην.
88. Cod. σοροῦ.
93. Pro titulo Περὶ Σεκούνδου.
99. Cod. ἀννενόητος.
ib. Cod. ἄρεντος δὲ καί.
1. Cod. ἣν μονότατα.

συνυπάρχ]ειν δύναμιν, ἣν ὀνομάζει ἑνό[τητα]. Αὕτη ἡ ἑνότης εἴτε μονότης, προήκαντο μὴ προέμεναι ἀρχὴν ἐπὶ πάντων νοητῶν ἀγέννητόν τε καὶ ἀόρατον, ἣν μονάδα καλεῖ. Ταύτῃ τῇ δυνάμει συνυπάρχει δύναμις ὁμοούσιος· αὕτη, ἣν καὶ αὐτὴν ὀνομάζω τὸ ἕν. Αὗται αἱ τέσσαρες δυνάμεις προήκαντο τὰς λοιπὰς τῶν αἰώνων 78 r. προβολάς. Ἄλλοι δὲ πάλιν αὐτῶν τὴν πρώτην καὶ ἀρχαιόγονον ὀγδοάδα τούτοις τοῖς ὀνόμασιν ἐκάλεσαν τετάρτην ἀόρατον. Καὶ ἐκ μὲν τῆς πρώτης προαρχῆς προβεβλῆσθαι πρώτῳ καὶ πέμπτῳ τόπῳ ἀρχήν· ἐκ δὲ τῆς ἀνεννοήτου, δευτέρῳ καὶ ἕκτῳ [τόπῳ], ἀκατάληπτον· ἐκ δὲ τῆς ἀρρήτου, τρίτῳ καὶ ἑβδόμῳ τόπῳ, ἀνωνόμαστον· ἐκ δὲ τῆς ἀοράτου, ἀγέννητον πλήρωμα τῆς πρώτης ὀγδοάδος. Ταύτας βούλονται τὰς δυνάμεις προϋπάρχειν τοῦ βυθοῦ καὶ τῆς γῆς. Ἄλλοι δὲ περὶ αὐτοῦ τοῦ βυθοῦ ἀδιαφόρως κινούμενοι, οἱ μὲν αὐτὸν ἄζυγον λέγουσι, μήτε ἄρρενα μήτε θῆλυν, ἄλλοι δὲ τὴν σιγὴν θήλειαν αὐτῷ συμπαρεῖναι καὶ εἶναι ταύτην πρώτην συζυγίαν. Οἱ δὲ περὶ τὸν Πτολεμαῖον, δύο συζύγους αὐτὸν ἔχειν λέγουσιν, ἃς καὶ διαθέσεις καλοῦσιν, ἔννοιαν καὶ θέλησιν. Πρῶτον γὰρ ἐνενοήθη τι προβαλεῖν, ὥς φασιν, ἔπειτα ἠθέλησε. Διὸ καὶ τῶν δύο τούτων διαθέσεων καὶ δυνάμεων, τῆς τε ἐννοίας καὶ τῆς θελήσεως, ὥσπερ κραθεισῶν εἰς ἀλλήλας, ἡ προβολὴ τοῦ τε μονογενοῦς καὶ τῆς ἀληθείας κατὰ συζυγίαν ἐγένετο, ὥς τινας τύπους καὶ εἰκόνας τῶν δύο διαθέσεων τοῦ πατρὸς διελθεῖν ἐκ τῶν ἀοράτων ὁρατὰς, τοῦ μὲν θελήματος, τὸν νοῦν, τῆς δὲ ἐννοίας, τὴν ἀλήθειαν· καὶ

3. Fort. ἥ τε μονότης.
4. Cod. ἀγένητον.
6. Cod. ἣν—ὀνομάζων.
8. Cod. προσβολάς.
12. Addidi τόπῳ.
17. Fort. διαφόρως μυούμενοι.
19. Cod. σὺν παρεῖναι.
22. Cod. πρῶτος.
24. Cod. διαθέσεως καὶ δυνάμεως.
25. Cod. ὡς περικραθείς.

διὰ τοῦτο τοῦ ἐπιγεννητοῦ θελήματος, ὁ ἀρρενικός· τῆς δὲ ἀγεννήτου ἐννοίας ὁ θῆλυς ἐπὶ τὸ θέλημα, ὥσπερ δύναμις ἐγένετο τῆς ἐννοίας. Ἐννοεῖν μὲν γὰρ ἀεὶ ἡ ἔννοια τὴν προβολὴν, οὐ μέντοι γε προβάλλειν αὐτὴν κατ' αὐτὴν ἠδύνατο, ἀλλὰ ἐνενοεῖτο. Ὅτε δὲ ἡ τοῦ θελήματος δύναμις . . . . . τότε [ὃ] ἐνενοεῖτο προβάλλει.

39 Ἄλλος δέ τις διδάσκαλος αὐτῶν Μάρκος, μαγικῆς ἔμπειρος, ἃ μὲν διὰ κυβείας δώρων, ἃ δὲ καὶ διὰ δαιμόνων ἠπάτα πολλούς. Οὗτος ἔλεγεν ἐν αὐτῷ τὴν μεγίστην ἀπὸ τῶν ἀοράτων καὶ ἀκατονομάστων τόπων
78 v. εἶναι δύναμιν. Καὶ δὴ πολλάκις λαμβάνων ποτήριον ὡς εὐχαριστῶν, καὶ ἐπὶ πλεῖον ἐκτείνων τὸν λόγον τῆς ἐπικλήσεως, πορφύρεον τὸ κέρασμα ἐποίει φαίνεσθαι, καί ποτε ἐρυθρὸν, ὡς δοκεῖν τοὺς ἀπατωμένους χάριν τινὰ κατιέναι καὶ αἱματώδη δύναμιν παρέχειν τῷ πόματι. Ὁ δὲ πανοῦργος τότε μὲν πολλοὺς ἔλαθε, νυνὶ δὲ ἐλεγχόμενος παύσεται· φάρμακον γάρ τι τοιαύτην δυνάμενον χροὰν παρασχεῖν λαθραίως ἐνιῶν τῷ κεράσματι, ἐπιπολὺ φλυαρῶν ἀνέμενεν, ὅπως τῆς ὑγρότητος μεταλαβὸν λυθῇ καὶ ἀναμιγὲν ἐπιχρωτίσῃ τὸ πόμα. Τὰ δὲ δυνάμενα τοῦτο παρασχεῖν φάρμακα ἐν τῇ κατὰ μάγων βίβλῳ προείπομεν ἐκθέμενοι, ὡς πολλοὺς πλανῶντες ἀφανίζουσιν, οἷς εἰ φίλον περιεργότερον τῷ εἰρημένῳ προσεπισχεῖν, εἴσονται τὴν Μάρκου πλάνην.

40 Ὃς καὶ ποτήριον παρ' ἑτέρου κιρνῶν, ἐδίδου γυναικὶ εὐχαριστεῖν, αὐτὸς παρεστὼς, καὶ ἕτερον κρατῶν ἐκείνου μεῖζον κενὸν καὶ εὐχαριστησάσης τῆς ἀπατωμένης δεξά-

33. Malim αὐτὴ καθ' αὐτήν.
35. Addidi ὅ.
37. Titulus rubricatus : Περὶ Μάρκου.
40. Cod. ἀκατανομάστων.
48. Cod. λαθρέως.
50. Cod. μεταβαλών.
ib. Cod. ἐπιχωρίσῃ.
53. Cf. Suicer. s. v. Ἀφανίζω.

μενος ἐπέχει εἰς τὸν μείζω, καὶ πολλάκις ἀντεπιχέων ἕτερον εἰς ἕτερον, ἐπέλεγεν οὕτως· "Ἡ πρὸ τῶν ὅλων ἀνεννόητος καὶ ἄρρητος χάρις πληρῶσαι σου τὸν ἔσω ἄνθρωπον, καὶ πληθύναι ἐν σοὶ τὴν γνῶσιν αὐτῆς, ἐγκατασπείρουσα τὸν κόκκον τοῦ σινάπεως εἰς τὴν ἀγαθὴν γῆν." Καὶ τοιαῦτα τινὰ ἐπειπὼν καὶ ἐκστήσας τήν τε ἀπατωμένην καὶ τοὺς παρόντας, ὡς θαυματοποιὸς ἐνομίζετο, τοῦ μείζονος ποτηρίου πληρουμένου ἐκ τοῦ μικροτέρου, ὡς καὶ ὑπερχεῖσθαι πλεονάζον. Καὶ τούτου δὲ τὴν τέχνην ὁμοίως ἐν τῇ προειρημένῃ βίβλῳ ἐξεθέμεθα, δείξαντες πλεῖστα φάρμακα δυνάμενα αὔξησιν παρασχεῖν ἐπιμιγέντα οὕτως ὑγραῖς οὐσίαις, μάλιστα οἴνῳ κεκερασμένῳ, ὧν ἕν τι φάρμακον ἐν τῷ κενῷ ποτηρίῳ κρύβδην ἐ...ος ....... χρισ.. ὡς μηδὲν ἔχον δείξας, ἐπιχέων ἐκ τ.......... καὶ ἐπαναχέων ἀναδυομένου τοῦ φαρμάκου ὑπὸ τῆς τοῦ ὑγροῦ μίξεως, ὄντος φυσώδους, πλεονασμὸς τοῦ κεράσματος ἐγίνετο καὶ ἐπὶ τοσοῦτον ηὔξανεν, ἐς ὅσον ἐπαναχυνόμενον ἐκινεῖτο, τοιαύτης οὔσης τῆς τοῦ φαρμάκου φύσεως· ὃ εἰ ἀπόθοιτό τις πληρωθὲν, μετ' οὐ πολὺ εἰς τὸ κατὰ φύσιν μέτρον πάλιν τραπήσεται, τῆς τοῦ φαρμάκου δυνάμεως
79 r. σβεσθείσης τῇ τοῦ ὑγροῦ παραμονῇ. Διὸ μετὰ σπουδῆς τοῖς παροῦσι προσεδίδου πίνειν· οἱ δὲ ὡς θεῖόν τι καὶ θεῷ μεμελετημένον φρίσσοντες ἅμα καὶ σπεύδοντες ἔπινον.

41 Τοιαῦτα δὲ καὶ ἕτερα ἐπεχείρει ὁ πλάνος ποιεῖν· διὸ ὑπὸ τῶν ἀπατωμένων ἐδοξάζετο, καὶ ποτὲ [μὲν] αὐτὸς ἐνομίζετο προφητεύειν, ποτὲ δὲ καὶ ἑτέρους ἐποίει, ὅτε μὲν καὶ διὰ δαιμόνων ταῦτα ἐνεργῶν, ὅτε δὲ καὶ κυβεύων

67. Cod. ὡμοίωσε τῇ.
71. Fort. ἔμπροσθεν ἐπιχρίσας καὶ.
72. Fort. τοῦ ἑτέρου ὀλίγον.
76. Cod. ἀποίθοιτο.
84. Addidi μέν.

ὡς προείπομεν. Πολλοὺς τοίνυν ἐξαφανίσας, καὶ πολλοὺς τοιούτους μαθητὰς αὐτοῦ γενομένους προεβίβασεν, εὐκόλους μὲν εἶναι διδάξας πρὸς τὸ ἁμαρτάνειν, ἀκινδύνους δὲ διὰ τὸ εἶναι τῆς τελείας δυνάμεως, καὶ μετέχειν τῆς ἀνεννοήτου ἐξουσίας, οἷς καὶ μετὰ τὸ βάπτισμα ἕτερον ἐπαγγέλλονται, ὃ καλοῦσιν ἀπολύτρωσιν, καὶ ἐν τούτῳ ἀναστρέφοντες κακῶς τοὺς αὐτοῖς παραμένοντας, ἐπ' ἐλπίδι τῆς ἀπολυτρώσεως δυναμένους μετὰ τὸ ἅπαξ βαπτισθέντας πάλιν τυχεῖν ἀφέσεως, καὶ διὰ τοῦ τοιούτου πανουργήματος συνέχειν δοκοῦσι τοὺς ἀκροατάς, οὓς ἐπὰν νομίσωσι δεδοκιμάσθαι καὶ δύνασθαι φυλάσσειν αὐτοῖς τὰ πιστά, τότε ἐπὶ τοῦτο ἄγουσι, μηδὲ τούτῳ μόνῳ ἀρκούμενοι, ἀλλὰ καὶ ἕτερόν τι ἐπαγγελλόμενοι, πρὸς τὸ συγκρατεῖν αὐτοὺς τῇ ἐλπίδι, ὅπως ἀχώριστοι ὦσι· λέγουσι γάρ τι φωνῇ ἀρρήτῳ, ἐπιτιθέντες χεῖρα τῷ τὴν ἀπολύτρωσιν λαβόντι, ὃ φάσκουσιν ἐξειπεῖν εὐκόλως μὴ δύνασθαι, εἰ μή τις εἴη ὑπερδόκιμος, ἢ ὅτε τελευτᾷ πρὸς τὸ οὖς ἐλθὼν λέγει ὁ ἐπίσκοπος. Καὶ τοῦτο δὲ πανούργημα, πρὸς τὸ ἀεὶ παραμένειν τοὺς μαθητὰς τῷ ἐπισκόπῳ, γλιχομένους μαθεῖν τὸ τί ποτε εἴη τοῦτο ἐπ' ἐσχάτων λεγόμενον, δι' οὗ [τῶν] τελείων ἔσται ὁ μανθάνων· ἃ τούτου χάριν ἐσιώπησα, μή ποτέ τις κακοηθίζεσθαί με αὐτοὺς νομίσῃ. Καὶ γὰρ οὐ τοῦτο ἡμῖν πρόκειται, ἀλλ' ἢ τὸ δεῖξαι ὅθεν τὰς ἀφορμὰς λαβόντες αὐτοῖς τὰ δόξαντα ἐνεστήσαντο.

79 v.
42 Καὶ γὰρ καὶ ὁ μακάριος πρεσβύτερος Εἰρηναῖος, παρρησιαίτερον τῷ ἐλέγχῳ προσενεχθείς, τὰ τοιαῦτα λούσματα καὶ ἀπολυτρώσεις ἐξέθετο, ἁδρομερέστερον εἰπών, ἃ πράσσουσιν οἱ ἐντυχόντες τινὲς αὐτῶν ἤρνην-

87. Cod. Πολλάς.
95. Fort. βαπτισθέντας [πεσεῖν] πάλιν τυχ.
99. Cod. ἐπαγγελόμενοι.
8. Addidi τῶν.
10. Cod. κακοηθείζεσθαι.
16. Fort. οἱ ἐντυχόντες, [εἰ καὶ] τινές.

ται οὕτως παρειληφέναι, ἀεὶ ἀρνεῖσθαι μανθάνοντες· διὸ φροντὶς ἡμῖν γεγένηται ἀκριβέστερον ἐπιζητῆσαι καὶ ἀνευρεῖν λεπτομερῶς, ἃ καὶ ἐν τῷ πρώτῳ λουτρῷ παραδιδόασι, τὸ τοιοῦτο καλοῦντες, καὶ ἐν τῷ δευτέρῳ, ὃ ἀπολύτρωσιν καλοῦσιν. Ἀλλ' οὐδὲ τὸ ἄρρητον αὐτῶν ἔλαθεν ἡμᾶς. Ταῦτα δὲ συγκεχωρήσθω Οὐαλεντίνῳ καὶ τῇ αὐτοῦ σχολῇ. Ὁ δὲ Μάρκος μιμούμενος τὸν διδάσκαλον, καὶ αὐτὸς ἀναπλάσσει ὅραμα νομίζων οὕτως δοξασθήσεσθαι. Καὶ γὰρ Οὐαλεντῖνος φάσκει ἑαυτὸν ἑωρακέναι παῖδα νήπιον ἀρτιγέννητον, οὗ πυθόμενος ἐπιζητεῖ τίς ἂν εἴη. Ὁ δὲ ἀπεκρίνατο λέγων, ἑαυτὸν εἶναι τὸν λόγον· ἔπειτα προσθεὶς τραγικόν τινα μῦθον, ἐκ τούτου συνιστᾶν βούλεται τὴν ἐπικεχειρημένην αὐτῷ αἵρεσιν. Τούτῳ τὰ ὅμοια τολμῶν ὁ Μάρκος λέγει ἐληλυθέναι πρὸς αὐτὸν σχήματι γυναικείῳ τὴν τετράδα. Ἐπειδή, φησί, τὸ ἄρρεν αὐτῆς ὁ κόσμος φέρειν οὐκ ἠδύνατο, καὶ μηνῦσαι αὐτὴν ἥτις ἦν, καὶ τὴν τῶν πάντων γένεσιν, ἣν οὐδενὶ πώποτε οὔτε θεῶν οὔτε ἀνθρώπων ἀπεκάλυψε, τούτῳ μόνῳ διηγήσασθαι, οὕτως εἰποῦσα· ὅτε τὸ πρῶτον ὁ Πατὴρ αὐτοῦ ὁ ἀνεννόητος καὶ ἀνούσιος, ὁ μήτε ἄρρεν, μήτε θῆλυ, ἠθέλησεν αὐτοῦ τὸ ἄρρητον ῥητὸν γενέσθαι καὶ τὸ ἀόρατον μορφωθῆναι, ἤνοιξε τὸ στόμα καὶ προήκατο λόγον ὅμοιον αὐτῷ· ὃς παραστὰς ἐπέδειξεν αὐτῷ ὃ ἦν, αὐτὸς τοῦ ἀοράτου

26. Cod. ἄρτι γένητον.
27. Cod. εἶναι pro εἴη.
28. Cod. ἑαυτῶν.
ib. Prius erat λέγων post τινά.
32. Hæc ap. S. Iren. I, p. 66.
33. Ed. αὐτῇ τί ἦν.
36. Ed. εἰποῦσαν.
ib. Pro αὐτοῦ edit. habet ὤδινεν, de quo annot.: "verbum ὤδινεν, licet omiserit interpres, retineo, invito licet Billio: nihil enim habet incommodi, modo addatur καὶ ante ἠθέλησεν."
ib. Cod. ἀνενόητος.
38. Ed. τὸ ἄρρητον γεννηθῆναι. Et annot.: "Lege cum interprete, τὸ ἄρρητον ῥητὸν γεννηθῆναι. Legisse tamen videtur interpres γενηθῆναι pro γεννηθῆναι."
39. Cod. αὐτῷ.
40. ὑπέδειξεν ed.

μορφὴ φανείς. Ἡ δὲ ἐκφώνησις τοῦ ὀνόματος ἐγένετο τοιαύτη· ἐλάλησε λόγον τὸν πρῶτον τοῦ ὀνόματος αὐτοῦ, ἥτις ἦν ἀρχὴ, καὶ ἦν ἡ συλλαβὴ αὐτοῦ στοιχείων
80 r. τεσσάρων· ἔπειτα συνῆψε τὴν δευτέραν, καὶ ἦν καὶ αὐτὴ στοιχείων τεσσάρων. Ἑξῆς ἐλάλησε τὴν τρίτην, ἥτις ἦν στοιχείων δέκα, καὶ τὴν τετάρτην ἐλάλησε, καὶ ἦν καὶ αὐτὴ στοιχείων δώδεκα. Ἐγένετο οὖν τοῦ ὀνόματος ὅλου ἡ ἐκφώνησις, στοιχείων [μὲν] τριάκοντα, συλλαβῶν δὲ τεσσάρων· ἕκαστον δὲ τῶν στοιχείων ἴδια γράμματα καὶ ἴδιον χαρακτῆρα, καὶ ἰδίαν ἐκφώνησιν, καὶ σχήματα, καὶ εἰκόνας ἔχειν, καὶ μηθὲν αὐτῶν εἶναι, ὃ τὴν ἐκείνου καθορᾷ μορφὴν, οὗπερ αὐτὸ στοιχεῖόν ἐστιν, οὐδὲ μὴν τὴν τοῦ πλησίον αὐτοῦ ἕκαστον ἐκφώνησιν γινώσκειν, ἀλλὰ μηδὲ ἐκφωνεῖν ὡς τὸ πᾶν ἐκφωνοῦντα, ὅτι τὸ ἡγεῖσθαι ὀνομάζειν αὐτόν· ἕκαστον γὰρ αὐτῶν μέρος ὄντα τοῦ ὅλου, τὸν ἴδιον ἦχον ὡς τὸ πᾶν ὀνομάζειν καὶ μὴ παύσασθαι ἠχοῦντα, μέχρις ὅτου ἐπὶ τὸ ἔσχατον γράμμα τοῦ ἐσχάτου στοιχείου μονογλωττήσαντι καταντῆσαι. Τότε δὲ τὴν ἀποκατάστασιν τῶν ὅλων ἔφη γενέσθαι, ὅταν τὰ πάντα κατελθόντα εἰς τὸ ἓν γράμμα, μίαν καὶ τὴν αὐτὴν ἐκφώνησιν ἠχήσῃ,

41. Cod. μορφῇ.
44. Pro ἔπειτα συνῆψε edit. habet ἐπισυνῆψε.
45. Pro ἑξῆς ἐλάλησε cod. ἐξελάλησε.
46. Cod. στοιχείω.
ib. Ed. τὴν μετὰ ταῦτα pro τὴν τετάρτην.
47. Ed. δεκαδύο.
ib. Ed. ἡ ἐκφ. τοῦ ὅλου ὀνόμ.
48. Ex edit. addidi μέν.
51. Ed. μηδέν.
52. Ed. αὐτός. Cf. Annot.
ib. Cod. ἐστι, τόνου δὲ μήν. Plura habet editio: στοιχεῖον ἐστίν· ἀλλὰ οὐδὲ γινώσκει αὐτὸν, οὐδὲ μὴν τήν.
53. Cod. αὐτοῦ.
54. Cod. ἄλλο pro ἀλλά. Ed. ἐκφώνησιν πολιορκεῖ, ἀλλὰ ὁ αὐτὸς ἐκφωνεῖ.
55. Pro ὅτι τὸ fort. leg. τὸ ὅλον ex edit.
ib. Ed. omittit αὐτόν.
56. Ed. ὂν pro ὄντα.
57. Cod. παύσας pro παύσασθαι.
58. Ed. μονογλωσσήσαντος καταστῆσαι. Et in not. "Legit interpres, ἐσχάτου—μονογλωσσήσαντα."
59. Ed. τότε δὲ καὶ τήν.
61. Cod. ἐκφώνησιν ἠχήσῃ, τήν τε ἐκφώνησιν ἠχήσῃ. Sic.

τῆς τε ἐκφωνήσεως εἰκόνα, τὸ ἀμὴν ὁμοῦ λεγόντων ἡμῶν, ὑπέθετο εἶναι. Τοὺς δὲ ὑπάρχειν τοὺς μορφοῦντας τὸν ἀνούσιον καὶ ἀγέννητον Αἰῶνα, καὶ εἶναι τούτους μορφὰς, ἃς ὁ Κύριος Ἀγγέλους εἴρηκε, τὰς διηνεκῶς βλεπούσας τὸ πρόσωπον τοῦ Πατρός.

43 Τὰ δὲ ὀνόματα τῶν στοιχείων τὰ κοινὰ καὶ ῥήματα, αἰῶνας, καὶ λόγους, καὶ ῥίζας, καὶ σπέρματα, καὶ πληρώματα, καὶ καρποὺς ὠνόμασε· τὰ δὲ καθ᾽ ἕνα αὐτῶν, καὶ ἑκάστου ἰδίᾳ, ἐν τῷ ὀνόματι τῆς ἐκ[κλησίας] ἐμπεριεχόμενα νοεῖσθαι τῶν στοιχείων. Τοῦ ἐσχάτου στοιχείου τὸ ὕστατον [γράμμα] φωνὴν προήκατο τὴν ἑαυτοῦ, οὗ ὁ ἦχος ἐξελθὼν εἰκόνας τῶν στοιχείων στοιχεῖα ἴδια ἐγέννησεν. Ἐξ ὧν τά τε ἐνταῦθα διακεκοσμῆσθαι, φησὶ, καὶ τὰ πρὸ τούτων γεγενῆσθαι. Τὸ μέντοι γράμμα αὐτὸ οὗ ὁ ἦχος ἦν συνεπακολουθῶν τῷ ἤχῳ κάτω,
80 v. ὑπὸ τῆς συλλαβῆς τῆς ἑαυτοῦ ἀνειλῆφθαι ἄνω λέγει εἰς ἀναπλήρωσιν τοῦ ὅλου· μεμενηκέναι δὲ εἰς τὰ κάτω τὸν ἦχον, ὥσπερ ἔξω ῥιφέντα. Τὸ δὲ στοιχεῖον αὐτὸ, ἀφ᾽ οὗ τὸ γράμμα σὺν τῇ ἐκφωνήσει τῇ ἑαυτοῦ κατῆλθε

62. Cod. ἱκανὰ pro εἰκόνα. Ed. ῆς ἐκφωνήσεως εἰκόνα, τό.
63. Supple ex edit. τοὺς δὲ φθόγγους ὑπ.
64. Cod. ἀγένητον.
65. Ed. τὰς δὲ διηνεκῶς.
67. Ed. τὰ ῥητὰ καὶ κοινά.
69. Pro ὠνόμασε· τὰ δὲ καθ᾽ ἕνα αὐτῶν cod. habet τὸ καθ᾽ ἑαυτῶν.
70. Ed. ἴδια.
71. Ed. νοεῖσθαι ἔφη. ὡς στοιχείου τὸ ὕστερον. Et Annot.: "Lege cum interp. ὧν στοιχείων τὸ τοῦ ἐσχάτου στοιχείου ὕστατον γράμμα."
72. Cod. ὕστερον.
ib. Ed. αὐτοῦ· οὗ ἦχος.
73. Ed. κατ᾽ εἰκόνα. Cod. ἱκανά.
74. Cod. διακεκομεῖσθαι. Ed. κατακεκοσμῆσθαι.
75. Ed. καὶ τῶν. et in Annot.: "Leg. καὶ τά."
76. Cod. καὶ τῷ pro κάτω. Ed. αὐτὸ, (τὸ ἦχος τῷ ἤχει) οὗ ὁ ἦχος ἦν συνεπ. τῷ ἤχει, καὶ τὸ ὑπό. Ad quæ: "Corruptum hunc locum sic ex veteri versione emendo. Expunctis superfluis quatuor prioribus vocibus, sequentes sic lego: οὗ ὁ ἦχος ἦν συνεπ. τῷ ἤχῳ κάτω, ὑπό."
77. Ed. λέγειν. Annot.: "Leg. λέγει."
78. Pro τοῦ ὅλου cod. τούτου ὅλου.
80. Cod. συνέστη. Correxi σὺν τῇ ex edit.
ib. Ed. συγκατῆλθε κάτω, ὃ γραμμάτων. Annot.: "Dele ὃ, quod non legit interpres." Recte delet.

κάτω, γραμμάτων φησὶν εἶναι τριάκοντα (γραμμάτων), καὶ ἓν ἕκαστον τῶν τριάκοντα γραμμάτων ἐν ἑαυτῷ ἔχειν ἕτερα γράμματα, δι' ὧν τὸ ὄνομα τοῦ γράμματος ὀνομάζεται. Καὶ μὴν πάλιν τὰ ἕτερα δι' ἄλλων ὀνομάζεσθαι γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων, ὥστε εἰς ἄπειρον ἐκπίπτειν τὸ πλῆθος, διὰ τῶν γραμμάτων γραφέντος. Οὕτως δ' ἂν σαφέστερον μάθοι τις τὸ λεγόμενον. Τὸ δέλτα στοιχεῖον γράμματα ἔχειν ἐν ἑαυτῷ πέντε, τὸ δέλτα, καὶ τὸ ε̄, καὶ τὸ λάμβδα, καὶ τὸ ταῦ, καὶ τὸ ἄλφα, καὶ αὐτὰ ταῦτα τὰ γράμματα δι' ἄλλων. Εἰ οὖν ἡ πᾶσα ὑπόστασις τοῦ δέλτα εἰς ἄπειρον ἐκπίπτει, ἀεὶ ἄλλων ἄλλα γράμματα γεννώντων καὶ διαδεχομένων ἄλληλα, πόσῳ μᾶλλον ἐκείνου τοῦ στοιχείου μεῖζον εἶναι τὸ πέλαγος τῶν γραμμάτων; καὶ εἰ τὸ ἓν γράμμα ἄπειρον οὕτως, ὁρᾶτε, ὅλου τοῦ ὀνόματος τὸν βυθὸν τῶν γραμμάτων, ἐξ ὧν τὸν Προπάτορα ἡ Μάρκου φιλοπονία μᾶλλον δὲ ματαιοπονία βούλεται συνιστᾶν· διὸ καὶ τὸν Πατέρα ἐπιστάμενον τὸ ἀχώρητον αὐτοῦ δεδωκέναι τοῖς στοιχείοις, ἃ καὶ Αἰῶνας καλεῖ, ἑνὶ ἑκάστῳ αὐτῶν τὴν ἰδίαν ἐκφώνησιν ἐκβοᾶν, διὰ τὸ μὴ δύνασθαι ἕνα τὸ ὅλον ἐκφωνεῖν.

44 Ταῦτα δὲ σαφηνίσασαν αὐτῷ τὴν τετρακτὺν εἶπε.

81. Ed. εἶναί φησι.
ib. γραμμάτων recte deest in ed.
83. Ed. δι' οὗ. Annot.: "Lege cum interp. δι' ὧν."
84. Ed. καὶ αὖ πάλιν.
85. Ed. ὡς εἰς.
86. Ed. τὸ πλῆθος τῶν γραμμάτων. Οὕτω δ' ἄν. Fort. ἰδίᾳ τῶν γραμμάτων γραφέντων.
87. Ed. μάθοις τό.
88. Ed. γράμματα ἐν ἑαυτῷ ἔχει πέντε, αὐτὸ δὲ τὸ δέλτα. Annot.: "Leg. αὐτό τε."
89. Cod. τὸ ε̄ι.
ib. Cod. τὸ λάβδα.
90. Ed. καὶ ταῦτα πάλιν τὰ γράμματα δι' ἄλλων γράφεται γραμμάτων, καὶ τὰ ἄλλα δι' ἄλλων.
94. Pro τὸ πέλαγος cod. τὸν τόπον.
95. Cod. ὡς ὁρᾶται. Ed. οὕτως ἄπειρον, ὅρα ὅλου. Fort. ὅρα δὴ ὅλου.
97. Ed. ἡ Μάρκου Σιγὴ συνεστάναι ἐδογμάτισε. διὸ καί.
98. Cod. ἐπιστάμενος.
99. Ed. αὐτοῦ.
2. Cod. τὸ ὅλων.
3. Leg. εἰπεῖν, ut in ed.

Θέλω δέ σοι καὶ αὐτὴν ἐπιδεῖξαι τὴν Ἀλήθειαν· κατήγαγον γὰρ αὐτὴν ἐκ τῶν ὕπερθεν δομάτων, ἵνα ἴδῃς αὐτὴν γυμνὴν, καὶ καταμάθῃς αὐτῆς τὸ κάλλος, ἀλλὰ καὶ ἀκούσῃς αὐτῆς λαλούσης, καὶ θαυμάσῃς τὸ φρόνημα αὐτῆς. Ὅρα οὖν κεφαλὴν, φησὶν, ἄνω, τὸ πρῶτον ἄλφα ω, τράχηλον τὸ δὲ β ψ, ὤμους γχ, στήθη δέλτα
81 r. φ, φράγμα ε, κοιλίαν βτ, αἰδοῖα κσ, μηροὺς θρ, γόνατα ιπ, κνήμας κο, σφυρὰ λξ, πόδας μν. Τουτέστι τὸ σῶμα τῆς κατὰ τὸν Μάρκον Ἀληθείας. Τοῦτο τὸ σχῆμα τοῦ στοιχείου, οὗτος ὁ χαρακτὴρ τοῦ γράμματος. Καὶ καλεῖ τὸ στοιχεῖον τοῦτο, Ἄνθρωπον· εἶναί τε πηγήν φησι παντὸς λόγου, καὶ ἀρχὴν πάσης φωνῆς, καὶ παντὸς ἀρρήτου ῥῆσιν, καὶ τῆς σιωπωμένης Σιγῆς στόμα. Καὶ τοῦτο τὸ σῶμα αὐτῆς. Σὺ δὲ μετάρσιον ἐγείρας [τὸ] τῆς διανοίας νόημα, τὸν γεννήτορα καὶ προπάτορα λόγον ἀπὸ στομάτων Ἀληθείας ἄκουε.

45 Ταῦτα δὲ ταύτης εἰπούσης, προσβλέψασαν αὐτῷ τὴν Ἀλήθειαν καὶ ἀνοίξασαν τὸ στόμα λαλῆσαι λόγον· τὸν δὲ λόγον ὄνομα γενέσθαι, καὶ τὸ ὄνομα εἶναι τοῦτο, ὃ γινώσκομεν καὶ λαλοῦμεν, Χριστὸν Ἰησοῦν, ὃ καὶ ὀνομάσασαν αὐτὴν, παραυτίκα σιωπῆσαι. Προσδο-

4. Ed. θέαν δή σοι. Annot.: "Leg. θέλω cum vet."

5. Ed. ἵνα ἐσίδῃς.

6. Ed. καταμάθοις—τὸ κάλλος αὐτῆς.

8. Ed. om. φησίν.

9. Ed. τὸ ἄλφα καὶ τὸ ω, τραχ. δὲ β καὶ ψ, ὤμους ἅμα χερσὶ γ καὶ χ.

ib. Ed. δέλτα καὶ φ, διάφραγμα ε καὶ υ, νῶτον ζ καὶ τ, κοιλίαν η καὶ σ, μηροὺς θ καὶ ρ, et sic ubique cum copula καί.

11. Ed. τοῦτό ἐστι.

12. Ed. μάγον pro Μάρκον.

15. Cod. φήσει. Correxi φησί, ut in ed. quæ habet φησιν αὐτὸ παντός.

17. Ed. καὶ τοῦτο μὲν τό.

18. Spatium vacuum in cod. Ed. ἐγείρας διανοίας.

ib. Ed. τὸν αὐτὸν γεννήτορα καὶ πατροδότορα. Annot.: "Leg. cum interpr. τὸν αὐτογεννήτορα καὶ πατροδότορα. At in Basil. Epiphanii edit. et cod. Reg. legitur πατρόδορα."

22. Ed. γενέσθαι pro εἶναι.

24. Ed. παρ' αὐτῇ καὶ σιωπήν. Annot.: "Leg. cum interpr. παραυτίκα σιωπᾶν, vel σιωπῆσαι."

ib. Cod. προσδοκοῦντος.

κῶντος δὲ τοῦ Μάρκου πλεῖον αὐτὴν μέλλειν τι λέγειν, πάλιν ἡ τετρακτὺς παρελθοῦσα εἰς τὸ μέσον φησὶν οὕτως· Ἦ πηλὸν ἡγήσω τὸν λόγον τοῦτον [ὃν] ἀπὸ στομάτων τῆς Ἀληθείας ἤκουσας; οὐ τοῦτο ὅπερ οἶδας καὶ δοκεῖς ἔχειν πάλαι τουτέστιν ὄνομα· φωνὴν γὰρ ἔχεις μόνον αὐτοῦ, τὴν δὲ δύναμιν ἀγνοεῖς. Ἰησοῦς μὲν γάρ ἐστιν ἐπίσημον ὄνομα ἓξ ἔχον γράμματα, ὑπὸ πάντων τῆς κλήσεως ἐγκαλούμενα. Τὸ δὲ παρὰ τοῖς πέντε Αἰῶσι τοῦ Πληρώματος πολυμερὲς τυγχάνον, ἄλλης ἐστὶ μορφῆς, καὶ ἑτέρου τύπου γινωσκόμενον ὑπ' ἐκείνων τῶν συγγενῶν, ὧν τὰ μεγέθη παρ' αὐτῷ ἐστι διὰ παντός.

46 Ταῦτα τὰ παρ' ὑμῖν εἰκοσιτέσσαρα γράμματα ἀπορροίας γίνωσκε ὑπάρχειν τῶν τριῶν δυνάμεων [καὶ εἰκόν]ας τῶν ἐμπεριεχουσῶν τὸν ὅρον καὶ [τὸν] τῶν ἄνω στοιχείων ἀριθμόν· τὰ μὲν γὰρ ἄφωνα γράμματα ἐννέα νόμισον εἶναι τοῦ Πατρὸς καὶ τῆς Ἀληθείας, διὰ τὸ ἀφώνους αὐτοὺς εἶναι, τουτέστιν ἀρρήτους καὶ ἀνεκλαλήτους· τὰ δὲ ἡμίφωνα ὀκτώ, ὄντα τοῦ Λόγου καὶ τῆς Ζωῆς, διὰ τὸ μέσας ὥσπερ ὑπάρχειν τῶν τε ἀφώνων
81 v. καὶ τῶν φωνηέντων, καὶ ἀναδεδέχθαι τῶν μὲν ὕπερθεν τὴν ἀπόρροιαν, τῶν δὲ ὑπ' αὐτὰ τὴν ἀναφοράν· τὰ δὲ

25. Ed. πλεῖόν τι μέλλειν αὐτὴν λέγειν.

27. Cod. Ἡπηθνήγησω—τοῦτον ἀπὸ—τῆς Ἀλ. Ἤκουσά σου τοῦτο. Ed. habet: φησίν· ὡς εὐκαταφρόνητον ἡγήσω τὸν λόγον, ὃν ἀπὸ στομάτων τῆς Ἀληθείας ἤκουσας. οὐ τοῦθ' ὅπερ.

29. Ed. δοκεῖς· παλαιόν ἐστιν ὄνομα.

ib. Ed. μόνον ἔχεις.

31. Ed. ἓξ ὧν γράμματα. Annot.: "Leg. ἓξ ἔχον vel ἓξ ὂν γραμμάτων."

32. Ed. γινωσκόμενον pro ἐγκαλούμενα.

ib. πέντε deest in ed.

35. Ed. Annot.: "Adde cum interpr. αὐτοῦ vel αὐτῷ."

ib. Ed. παρ' αὐτῶν. Annot.: "Leg. αὐτῷ."

37. Ed. Ταῦτ' οὖν τά.

38. Ed. ὑπάρχειν γίνωσκε.

39. Cod. καὶ τῶν ἄνω. Ed. περιεχουσῶν—τὸν ὅλον τῶν ἄνω στοιχ. τὸν ἀριθμόν.

44. Ed. μέσα.

45. Ed. ἀναδέχεσθαι.

46. Cod. ἀπορίαν.

ib. Ed. ὑπὲρ αὐτήν. Annot.: "Leg. ὑπενέρθεν."

φωνήεντα, καὶ αὐτὰ ἑπτὰ ὄντα, τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας, ἐπεὶ καὶ τοῦ Ἀνθρώπου ἡ φωνὴ προελθοῦσα, ἐμόρφωσε τὰ ὅλα· ὁ γὰρ ἦχος τῆς φωνῆς, μορφὴν αὐτοῖς περιεποίησεν. Ἔστιν οὖν ὁ μὲν Λόγος ἔχων καὶ ἡ Ζωὴ τὰ ὀκτὼ, ὁ δὲ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία τὰ ἑπτὰ, ὁ δὲ Πατὴρ καὶ ἡ Ἀλήθεια τὰ ἐννέα. Ἐπὶ δὲ τοῦ ὑστερήσαντος λόγου, ὁ ἀφεδρασθεὶς ἐν τῷ Πατρὶ κατῆλθεν ἐκπεμφθεὶς ἐπὶ τὸν ἀφ' οὗ ἐχωρίσθη, ἐπὶ διορθώσει τῶν πραχθέντων, ἵνα ἡ τῶν πληρωμάτων ἑνότης ἐν τῷ ἀγαθῷ οὖσα, καρποφορῇ μίαν ἐν πᾶσι τὴν ἐκ πάντων δύναμιν. Καὶ οὕτως ὁ τῶν ἑπτὰ τὴν τῶν ὀκτὼ ἐκομίσατο δύναμιν, καὶ ἐγένοντο οἱ τρεῖς τόποι ὅμοιοι τοῖς ἀριθμοῖς, ὀγδοάδες ὄντες· οἵτινες τρεῖς ἐφ' ἑαυτοὺς ἐλθόντες, τὸν τῶν εἰκοσιτεσσάρων ἀνεδέξαντο ἀριθμόν. Τὰ μέντοι τρία στοιχεῖα ([ἅ] φησιν αὐτὸς τῶν τριῶν ἐν συζυγίᾳ δυνάμεων ὑπάρχειν, ἅ ἐστιν ἓξ, ἀφ' ὧν ἀπερρύη τὰ εἰκοσιτέσσαρα στοιχεῖα) τετραπλασιασθέντα τῷ τῆς ἀρρήτου τετράδος λόγῳ τὸν αὐτὸν αὐτοῖς ἀριθμὸν ποιεῖ, ἅπερ φησὶ τοῦ ἀνονομάστου ὑπάρχειν. Φορεῖσθαι δὲ αὐτὰ ὑπὸ τῶν ἓξ δυνάμεων εἰς ὁμοιότητα τοῦ ἀοράτου, ὧν στοιχείων εἰκόνες εἰκόνων,

48. Ed. διὰ pro καί.
ib. Ed. τοῦ ἀνθρώπου φωνή.
50. Ed. om. οὖν.
51. Cod. male λόγος ὁ ἔχων καὶ ἡ ζωὴ ἡ τά.
53. Ed. ἐπειδὴ τοῦ ὑστερ. Annot.: "Malo, inquit Billius, ἐκ δὲ τοῦ ὑστερ., cum veteri. Neque enim quadrat ἐπειδὴ cum his quæ præcedunt."
ib. Cod. ὑστερίσαντος.
54. Ed. κατῆλθε, πεμφθείς.
55. Cod. ἐχωρήθη.
56. Ed. ἑνότης ἰσότητα ἔχουσα καρπ.
ib. Cod. καρποφορεῖ.
58. Pro τῶν ὀκτὼ cod. τῷ νοητῷ.
ib. Ed. οἱ τόποι. Annot.: "Τρεῖς adde ex vet. interp."
60. Cod. ἀφ' ἑαυτούς.
ib. Ed. ἀνέδειξαν, et sic leg. Cf. infra p. 213, 42.
61. Cod. αὐτῶν pro αὐτός. Addidi ἅ. Ed. ἀφίησιν αὐτὸς τῶν τρ. Annot.: "Leg. cum interp. ἅ φησιν."
63. Cod. ἀπερύη.
64. Cod. τῶν—λόγων.
65. Cod. male τοῖς pro αὐτοῖς.
ib. Cod. ἀνωνομάστου.
66. Ed. τριῶν pro ἕξ.
67. Cod. ἀοράτον.
ib. Cod. εἰκόνων, ὧν ἕξ. Ed. εἰκόνων τὰ παρ' ἡμῖν διπλᾶ.

ἓξ διπλᾶ γράμματα ὑπάρχειν, ἃ συναριθμούμενα τοῖς εἰκοσιτέσσαρσι στοιχείοις δυνάμει τῇ κατὰ ἀναλογίαν τὸν τῶν τριάκοντα ποιεῖται ἀριθμόν.

47 Τούτου τοῦ λόγου καὶ τῆς ἀναλογίας ταύτης καρπόν φησιν ἐν ὁμοιώματι εἰκόνος πεφηνέναι, ἐκεῖνον τὸν μετὰ τὰς ἓξ ἡμέρας τέταρτον ἀναβάντα εἰς τὸ ὄρος, καὶ γενόμενον ἕκτον τὸν καταβάντα καὶ κρατηθέντα ἐν τῇ ἑβδομάδι, ἐπίσημον ὀγδοάδα ὑπάρχοντα, καὶ ἔχοντα ἐν ἑαυτῷ τὸν ἀριθμὸν ἅπαντα τῶν στοιχείων, ὃν ἐφανέ-
82 r. ρωσεν, ἐλθόντος αὐτοῦ ἐπὶ τὸ βάπτισμα, ἡ τῆς περιστερᾶς κάθοδος, ἥτις ἐστὶν ω̄ καὶ ἄλφα δι' ἀριθμοῦ δηλουμένου ὀκτακοσίων ἑνὸς, καὶ διὰ τοῦτο Μωσέα ἐν τῇ ἕκτῃ ἡμέρᾳ λέγειν τὸν ἄνθρωπον γεγονέναι. Καὶ τὴν οἰκονομίαν δὲ τοῦ πάθους, ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν, ἥτις ἐστὶν ἡ παρασκευή, ᾗ τὸν ἔσχατον ἄνθρωπον εἰς ἀναγέννησιν τοῦ πρώτου ἀνθρώπου πεφηνέναι. Ταύτης τῆς οἰκονομίας ἀρχὴν καὶ τέλος, τὴν ἕκτην ὥραν εἶναι, ἐν ᾗ προσηλώθη τῷ ξύλῳ. Τὸν γὰρ τέλειον νοῦν, ἐπιστάμενον τὸν τῶν ἓξ ἀριθμὸν δύναμιν ποιήσεως καὶ ἀναγεννήσεως ἔχοντα, φανερῶσαι τοῖς υἱοῖς τοῦ φωτὸς τὴν διὰ τοῦ φανέντος ἐπισήμου εἰς τὴν δι' αὐτοῦ ἐπιγενομένην ἀναγέννησιν. Ἔνθεν καὶ τὰ διπλᾶ γράμματα

69. Cod. δύναμιν τήν. Ed. δυνάμει τῶν κατὰ ἀναλογίαν τῶν τριακ. ποιεῖ ἀριθμόν. Annot.: "Leg. cum interp. δυνάμει τῇ κατ' ἀναλ."

71. Ed. οἰκονομίας pro ἀναλογίας.

74. Ed. τὸν κρατηθέντα καὶ καταβάντα.

76. Ed. τὸν ἅπαντα τῶν στοιχείων ἀριθμὸν, ἐφανέρ. Annot.: "Leg. cum interp. ὃν ἐφανέρ."

78. Cod. ο καὶ ἄλφα.

ib. Ed. ὁ γὰρ ἀριθμὸς αὐτῆς, μία καὶ ὀκτακόσιαι. καὶ διὰ τοῦτο Μωϋσέα.

80. Ed. ἐν τῇ ἕκτῃ τῶν ἡμερῶν εἰρηκέναι τὸν ἄνθ.

81. Ed. omittit τοῦ πάθους. Cf. notam.

82. Delendum videtur ᾗ. Ed. ἐστὶ παρασκευή, τὸν ἔσχατον.

83. Ed. πεφηνέναι, ἧς οἰκονομίας.

84. Ed. καὶ τὴν ἕκτ. Annot.: "Dele καὶ cum vet. interp."

ib. εἶναι deest in ed.

86. Cod. ἀριθμῶν, δύναμιν ποιῆσαι καὶ ἀναγεννῆσαι ὡς ἔχοντα.

88. Ed. δι' αὐτοῦ.

ib. Cod. ἐπισήμως. Ed. ἐπισήμου εἰς αὐτὸν ἀριθμὸν γενομένην.

89. Cod. πράγματα.

τὸν ἀριθμὸν ἐπίσημον ἔχειν φησίν. Ὁ γὰρ ἐπίσημος ἀριθμὸς συγκερασθεὶς τοῖς εἰκοσιτέσσαρσι στοιχείοις τὸ τριακονταγράμματον ὄνομα ἀπετέλεσε.

48 Κέχρηται δὲ διακόνῳ τῷ τῶν ἑπτὰ ἀριθμῶν μεγέθει, ἵνα τῆς αὐτοβουλήτου [βουλῆς] φανερωθῇ ὁ καρπός. Τὸν μέντοι ἐπίσημον ἐπὶ τοῦ παρόντος, φησὶ, τὸν ἐπὶ τοῦ ἐπισήμου μορφωθέντα, νόησον, τὸν ὥσπερ μερισθέντα καὶ ἔξω μείναντα, ὃς τῇ αὐτοῦ δυνάμει τε καὶ φρονήσει, διὰ τῆς ἑαυτοῦ προβολῆς, τοῦτον τὴν ζωὴν τῶν ἑπτὰ δυνάμεων, μιμήσει τῆς ἑπταδυνάμου δυνάμεως, ἐψύχωσε κόσμον, καὶ ψυχὴν ἔθετο εἶναι τοῦ ὁρωμένου παντός. Κέχρηται μὲν οὖν καὶ οὗτος τῷδε τῷ ἔργῳ, ὡς αὐθαιρέτως ὑπ' αὐτοῦ γενόμενα τὰ δι' εἰκόνων, μιμήματα ὄντα τῶν ἀμιμήτων τῆς ἐνθυμήσεως τῆς μητρός. Καὶ ὁ μὲν πρῶτος οὐρανὸς φθέγγεται τὸ ἄλφα, ὁ δὲ μετὰ τοῦτον τὸ ε̄ι, ὁ δὲ τρίτος τὸ ἦτα, ὁ δὲ τέταρτος καὶ ὁ μέσος τῶν ἑπτὰ, τὴν τοῦ ἰῶτα δύναμιν, ὁ δὲ πέμπτος τὸ ο̄, ἕκτος δὲ τὸ ῡ, ἕβδομος δὲ καὶ τέταρτος ἀπὸ τοῦ μέσου τὸ ω̄. Αἵ τε δυνάμεις πᾶσαι εἰς ἓν συμπλακεῖσαι, ἠχοῦσι καὶ δοξά-

91. Ed. συγκραθείς.

93. Fort. ἀριθμοῦ. Post μεγέθει ed. addit ὥς φησιν ἡ Μάρκου Σιγή.

94. Addidi βουλῆς ex edit.

95. Ed. ἐπίσημον τοῦτον ἀριθμὸν ἐπί.

ib. Annot. in ed.: "Lege cum vet. ἀπὸ τοῦ ἐπισήμου."

96. Ed. addit καὶ διχοτομηθέντα.

97. Ed. ἑαυτοῦ, bene.

ib. Ed. διὰ τῆς ἀπ' αὐτοῦ.

98. τὴν ζωὴν ex margine illatum videtur, pertinens fortasse ad ψυχὴν lin. 1. Ed. τοῦτον τὸν τῶν ἑπτὰ δυνάμεων, κατὰ μίμησιν.

99. Ed. ἑβδομάδος pro ἑπταδυνάμου.

1. Cod. κέχριται. Ed. κέχρηται μὲν οὖν καὶ αὐτός.

2. Cod. τῷδε ἔργῳ.

3. Ed. γενομένῳ· τάδε διακονεῖ, μιμήματα. Annot.: "Post τάδε add. ἄλλα ex vet."

4. Ed. τὴν ἐνθύμησιν.

5. Cod. φαίνεται.

6. Ed. ὁ δὲ τρίτος η, τέταρτος δὲ καὶ μέσος.

7. Ed. δύναμιν ἐκφωνεῖ.

ib. Cod. τὸ ο̄υ pro τὸ ο̄.

8. Ed. ἕβδομος καὶ τέταρτος ἀπὸ μέρους τὸ ω στοιχεῖον ἐκβοᾷ, καθὼς ἡ Μάρκου Σιγὴ, ἡ πολλὰ μὲν φλυαροῦσα, μηδὲν δὲ ἀληθὲς λέγουσα, διαβεβαιοῦται. αἵτινες δυνάμεις ὁμοῦ, φησὶ, πᾶσαι εἰς ἀλλήλας συμπλακεῖσαι.

ζουσιν ἐκεῖνον, ὑφ' οὗ προεβλήθησαν. Ἡ δὲ δόξα τῆς 82 v. ἠχήσεως ἀνεπέμφθη πρὸς τὸν Προπάτορα. Ταύτης μέντοι τῆς δοξολογίας τὸν ἦχον, εἰς τὴν γῆν φερόμενον, φησὶ, πλάστην γίνεσθαι, καὶ γεννήτορα τῶν ἐπὶ τῆς γῆς· τὴν δὲ ἀπόδειξιν ἀπὸ τῶν ἄρτι γεννωμένων βρεφῶν, ὧν ἡ ψυχὴ, ἅμα τῷ ἐκ μήτρας προελθεῖν, ἐπιβοᾷ ὁμοίως ἑνὸς ἑκάστου τῶν στοιχείων τοῦτον τὸν ἦχον. Καθὼς οὖν [αἱ] ἑπτὰ, φησὶ, δυνάμεις δοξάζουσι τὸν Λόγον, οὕτω καὶ ἡ ψυχὴ ἐν τοῖς βρέφεσι κλαίουσα· διὰ τοῦτο δὲ, φησὶ, καὶ τὸν Δαβὶδ εἰρηκέναι· "Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον." Καὶ πάλιν· "Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ." Ἐπὰν δὲ ἐν πόνοις γένηται ἡ ψυχὴ ὡς ἐπιβοᾷ οὐδὲν ἕτερον ἢ τὸ ω̄ ἐφ' ᾧ ἀνιᾶται, ὀπίσω γνωρίσασα ἡ ἄνω ψυχὴ τὸ συγγενὲς αὐτῆς, βοηθὸν αὐτῇ καταπέμψῃ.

49 Καὶ περὶ τούτων μὲν οὕτως. Περὶ δὲ τῆς τῶν εἰκοσιτεσσάρων στοιχείων γενέσεως οὕτως λέγει· τῇ μονότητι συνυπάρχειν ἑνότητα, ἐξ ὧν δύο προβολαὶ, μονάς τε καὶ τὸ ἓν, δὶς δύο οὖσαι τέσσαρες ἐγένοντο· δὶς γὰρ

11. Ed. τῆς ἠχῆς ἀναπέμπεται εἰς τόν.

13. Ed. γενέσθαι.

14. Cod. male τῶν δέ.

ib. Cod. γενωμένων.

15. Ed. ὧν ἠχή. Annot.: "Vetus interp. legit, ὧν ἡ ψυχή."

ib. Ed. omittit ὁμοίως.

16. Ed. τούτων.

17. Addidi αἱ ex edit.

18. Ed. addit καὶ θρηνοῦσα Μάρκον, δοξάζει αὐτόν.

19. φησι deest in ed. Psalm. VIII, 3.

20. Cod. κατηρτήσω.

ib. Ed. οἱ οὐρανοὶ (τῶν οὐρανῶν). Et annot.: "Dele τῶν οὐρανῶν." Cf. Psalm. XVIII, 2.

21. Ed. καὶ διὰ τοῦτο ἔν τε πόνοις —καὶ ταλαιπωρίαις ψυχὴ γενομένη, εἰς διυλισμὸν αὐτῆς, ἐπιφωνεῖ τὸ ω εἰς σημεῖον αἰνέσεως (al. ἀνέσεως)· ἵνα γνωρίσασα.

22. ὡς abundans hoc loco ex margine illatum videtur, ubi ad ὀπίσω aliquis notaverit correctionem ως, ut legatur ὅπως.

24. Cod. καταπέμψει.

25. Vid. in ed. §. 9, quod deest in codice.

27. Ed. ἑνότητι. Annot.: "Leg. ἑνότητα."

ib. Ed. addit καθ' ἃ προείρηται.

28. Cod. δὶς δύο οὐσίαι. Edit. τὸ ἓν ἐπὶ δύο οὖσαι, τέσσαρα ἐγένοντο· δὶς γὰρ δύο.

δύο τέσσαρες· καὶ πάλιν αἱ δύο καὶ τέσσαρες εἰς τὸ αὐτὸ συντεθεῖσαι, τὸν τῶν ἓξ ἐφανέρωσαν ἀριθμόν· οὗτοι δὲ οἱ ἓξ τετραπλασιασθέντες, τὰς εἰκοσιτέσσαρας. Καὶ ταῦτα μὲν τῆς τετράδος ὀνόματα, ἅγια ἁγίων νοούμενα, καὶ μὴ δυνάμενα λεχθῆναι, γινώσκεσθαι δὲ ὑπὸ μόνου τοῦ Υἱοῦ. Ταῦτα ὁ Πατὴρ οἶδε τίνα ἐστι. Τὰ μετὰ Σιωπῆς καὶ μετὰ Πίστεως ὀνομαζόμενα παρ' αὐτῷ ἐστὶ ταῦτα· Ἄρρητος καὶ Σιγὴ, Πατὴρ καὶ Ἀλήθεια. Ταύτης δὲ τῆς τετράδος ὁ σύμπας ἀριθμὸς ἐστὶ στοιχείων εἰκοσιτεσσάρων. Ὁ γὰρ Ἄρρητος ἔχει στοιχεῖα ἑπτὰ, ἡ Σιγὴ πέντε, καὶ ὁ Πατὴρ πέντε, καὶ ἡ Ἀλήθεια ἑπτά. Ὡσαύτως δὲ καὶ ἡ δευτέρα τετρὰς, Λόγος καὶ Ζωὴ, Ἄνθρωπος καὶ Ἐκκλησία, τὸν αὐτὸν ἀριθμὸν τῶν στοιχείων ἀνέδειξαν. Καὶ τὸ τοῦ Σωτῆρος ῥητὸν ὄνομα γραμμάτων ὑπάρχει ἓξ, τὸ δ' ἄρρητον αὐτοῦ, ἐπ' ἀριθμῷ τῶν κατὰ ἓν γραμμάτων τουτέστι τὸν Ἰησοῦν, στοιχείων
83 r. ἐστὶν εἰκοσιτεσσάρων, υἱὸς δὲ Χριστὸς δώδεκα. Τὸ δὲ ἐν τῷ Χριστῷ ἄρρητον γραμμάτων τριάκοντα καὶ αὐτὸ τοῖς ἐν αὐτῷ γράμμασι κατὰ ἓν στοιχεῖον ἀριθμούμενον. Τὸ γὰρ Χριστὸς ἔστι στοιχείων ὀκτώ. Τὸ μὲν

30. Cod. συντεθῆσαι.

31. Ed. addit ἀπεκύησαν μορφάς.

32. Ed. καὶ τὰ μὲν τῆς πρώτης τετράδος.

33. δὲ om. ed.

34. Cod. δὲ pro οἶδε. Ed. ἃ (pro ταῦτα) ὁ πατὴρ οἶδε τίνα—ἐστί. τὰ δὲ σεμνὰ, καὶ μετὰ πίστεως.

35. Ed. ἐστι ταῦτα· Ἄρρητος.

36. Ed. Πατήρ τε καί.

38. Ed. ὁ γὰρ Ἄρρητος ὄνομα, γράμματα ἔχει ἐν ἑαυτῷ ἑπτὰ, ἡ δὲ Σιγή.

39. πέντε deest in ed., ubi annot.: "Adde πέντε ex vet." Πέντε, nimirum Σειγή.

ib. Ed. addit: ἃ συντεθέντα ἐπιτοαυτὸ, τὰ δὶς πέντε, καὶ δὶς ἑπτὰ, τὸν τῶν εἰκοσιτεσσάρων ἀριθμὸν ἀνεπλήρωσεν.

42. Ed. Σωτῆρος δὲ ῥητὸν—ὄνομα (ὀκτὼ καὶ δέκα) γραμμάτων. Annot.: "Pro ὀκτὼ καὶ δέκα, lege cum interp. Ἰησοῦς."

43. Cod. ὑπάρχειν male. Ἓξ, nimirum vel Σαωτὴρ vel Σωστήρ.

ib. Cod. τὸ δὲ ῥητόν. Ed. τὸν (leg. τὸ) δ' ἄρρητον αὐτοῦ γραμμάτων εἰκοσιτεσσάρων. Υἱὸς Χριστὸς, γραμμάτων δώδεκα. Cf. notas.

44. Cod. κατὰ ἐγγραμμάτων.

45. Cod. τῶ δέ.

46. Ed. ἐν Χριστῷ.

47. καὶ αὐτὸ τοῖς usque ad lin. 52, Καὶ διὰ τοῦτο desunt in edit.

γὰρ χ̅ε̅ι̅ τριῶν, τὸ δὲ ρ̅ δύο, καὶ τὸ ε̅ι̅ δύο καὶ ι̅ τεσσάρων, τὸ σ̅ πέντε καὶ τὸ τ̅ τριῶν, τὸ δὲ ο̅υ̅ δύο, καὶ τὸ σὰν τριῶν. Οὕτως τὸ ἐν τῷ Χριστῷ ἄρρητον φάσκουσι στοιχείων τριάκοντα. Καὶ διὰ τοῦτο δὲ, φασὶν, αὐτὸν λέγειν· Ἐγὼ τὸ ἄλφα καὶ τὸ ω̅, ἐπιδεικνύντα τὴν περιστερὰν τοῦτον ἔχουσαν τὸν ἀριθμὸν, ὅ ἐστιν ὀκτακόσια ἕν.

50 Ὁ δὲ Ἰησοῦς ταύτην μὲν ἔχει τὴν ἄρρητον γένεσιν. Ἀπὸ γὰρ τῆς μητρὸς τῶν ὅλων τῆς πρώτης τετράδος, ἐν θυγατρὸς τρόπῳ προῆλθεν ἡ δευτέρα τετρὰς, καὶ ἐγένετο ὀγδοὰς, ἐξ ἧς προῆλθεν ἡ δεκάς· οὕτως ἐγένετο δέκα, εἶτα δεκαοκτώ. Ἡ οὖν δεκὰς ἐπισυνελθοῦσα τῇ ὀγδοάδι, καὶ δεκαπλασίονα αὐτὴν ποιήσασα, τὸν τῶν ὀγδοήκοντα πάλιν δεκαπλασιάσασα, τὸν τῶν ὀκτακοσίων ἀριθμὸν ἐγέννησεν, ὥστε εἶναι τὸν ἅπαντα τῶν γραμμάτων ἀριθμὸν ἀπὸ ὀγδοάδος εἰς δεκάδα προσελθόντα, εἶναι ἦτα καὶ π̅ καὶ ω̅, ὅ ἐστιν Ἰησοῦς· τὸ γὰρ Ἰησοῦς ὄνομα κατὰ τὸν ἐν τοῖς γράμμασιν ἀριθμὸν, ἔστιν ὀκτακόσια ὀγδοηκονταοκτώ. Καὶ τὸ ἀλφάβητον δὲ τὸ Ἑλληνικὸν ἔχει μονάδας ὀκτὼ [καὶ δεκάδας

49. Cod. χ̅ρ̅ι̅ pro χ̅ε̅ι̅.
51. Cod. τὸ ν̅ pro τὸ σάν.
52. Ed. καὶ διὰ τοῦτό φησιν—αὐτὸν α καὶ ω, ἵνα τὴν περιστερὰν μηνύσῃ, τοῦτον ἔχοντος τὸν ἀριθμὸν τούτου τοῦ ὀρνέου. Ὁ δὲ Ἰησοῦς.
56. μὲν deest in ed.
58. Cod. προσῆλθεν.
59. Ed. προῆλθε δεκάς· οὕτως ἐγένετο δεκὰς καὶ ὀγδοάς. Ἡ οὖν.
60. Cod. ἰῶτα pro δέκα.
ib. Pro ἐπισυνελθοῦσα cod. ἔστη συνελθοῦσα.
62. Supple ex ed. προεβίβασεν ἀριθμόν· καὶ τὰ ὀγδοήκοντα.
ib. Cod. δεκαπλασιάσαντα.
63. Cod. ἐγέννησαν.
64. Cod. ἀπὸ ὀγδοάδα.
65. εἶναι non habet editio. Sed fort. delend.
ib. Ed. ὅ ἐστι δεκαοκτώ. Annot.: "Lege cum interp. ὅ ἐστιν Ἰησοῦς."
66. Ed. Ἰησοῦ. Annot.: "Leg. Ἰησοῦς."
ib. Ed. ἀριθμὸν, ω ἔστιν ὀγδοηκονταοκτώ. Cf. annot. Deinde hæc addit: ἔχει (l. ἔχεις) σαφῶς καὶ τὴν ὑπερουράνιον τοῦ η καὶ τοῦ σ κατ' αὐτοὺς γένεσιν. διὸ καὶ τὸν ἀλφάβητον —τῶν Ἑλλήνων ἔχειν μονάδας ὀκτὼ, καὶ δεκάδας ὀκτὼ, καὶ ἑκατ.
68. Addidi καὶ δεκάδας ὀκτώ.

*ὀκτὼ], καὶ ἑκατοντάδας ὀκτὼ, τὴν τῶν ὀκτακοσίων ὀγδοηκονταοκτὼ ψῆφον ἐπιδεικνύοντα, τουτέστι τὸν Ἰησοῦν ἐκ πάντων τῶν συνεστώτων ἀριθμῶν.* Καὶ διὰ τοῦτο *ἄλφα ὀνομάζεσθαι αὐτὸν, τὴν ἐκ πάντων γένεσιν σημαίνοντα.*

51 Περὶ δὲ τῆς τούτου δημιουργίας οὕτως λέγει· ἀπὸ τῆς τετράδος τῆς δευτέρας δυνάμεις ἀπορρυείσας δεδημιουργηκέναι τὸν ἐπὶ γῆς φανέντα Ἰησοῦν, καὶ τοῦ Λόγου τοῦτον ἀναπεπληρωκέναι τὸν Ἄγγελον Γαβριὴλ, τῆς δὲ Ζωῆς τὸ ἅγιον Πνεῦμα, τοῦ δὲ Ἀνθρώπου τὴν τοῦ Ὑψίστου δύναμιν, τῆς δὲ Ἐκκλησίας τὴν Παρθένον. Οὕτως ὁ κατ' οἰκονομίαν διὰ τῆς Μαρίας γενεσιουργεῖται παρ' αὐτῶν ἄνθρωπος. Ἐλθόντος δὲ αὐτοῦ εἰς τὸ ὕδωρ,
83 v. κατελθεῖν εἰς αὐτὸν, ὡς περιστερὰν, τὸν ἀναβαίνοντα ἄνω, καὶ πληρώσαντα τὸν δωδέκατον ἀριθμόν· ἐν ᾧ ὑπάρχει τὸ σπέρμα τούτων, τῶν συγκατασπαρέντων αὐτῷ καὶ συγκαταβάντων καὶ συναναβάντων. Ταύτην δὲ τὴν δύναμιν τὴν καταβᾶσαν εἰς αὐτὸν, φησὶν, εἶναι τοῦ πληρώματος ἔχον ἐν ἑαυτῷ καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν, τήν τε διὰ τούτων γινωσκομένην ἀνονόμαστον

70. Ed. (*ἔπειτα*) *δεικνύοντα*. Annot.: "Dele hanc vocem, ex vet."

ib. Ed. *τουτέστι τὸ ε ι η, τὴν ἐκ πάντων συνεστῶτα τῶν ἀριθμῶν*. Annot.: "Pro *ε ι η* lege, *τὸν Ἰησοῦν*."

71. Ed. *διὰ τοῦ*. Annot.: "Leg. *διὰ τοῦτο*." Deinde *ἄλφα καὶ ω̄*.

72. Ed. in annot.: "*Αὐτοῦ* addit interpres."

73. Plura addit editio, quæ desunt in codice.

75. Cod. *ἀπορυεῖσα δεδημιουργικέναι*. Pro *δεδημ.* ed. habet *ἐγενεσιούργησαν*. Cf. annot.

76. Ed. *καὶ τοῦ μὲν Λ.*

77. Ed. *τὸν τόπον τὸν Ἀγγ.*

79. Ed. *τὴν δύναμιν τοῦ υἱοῦ*. Annot.: "Lege *Ὑψίστου* cum vet. et ipso sacro textu Luc. I, 35."

ib. Ed. *τὸν δὲ τῆς Ἐκκλησίας τόπον ἡ Παρθένος ἐπέδειξεν*.

80. Ed. *οὕτως τε ὁ*.

81. Ed. *παρ' αὐτῷ ἄνθρωπος, ὃν ὁ Πατὴρ τῶν ὅλων διελθόντα διὰ μήτρας ἐξελέξατο διὰ Λόγου εἰς ἐπίγνωσιν αὐτοῦ*.

82. Ed. *τὸν ἀναδραμόντα*.

84. Ed. *συσπαρέντων*.

85. Ed. *αὐτὴν δὲ τὴν δύναμιν κατελθοῦσαν σπέρμα φησὶν εἶναι τοῦ Πατρὸς ἔχον*.

87. Fort. *τοῦ πληρώματος [σπέρμα] ἔχον*.

δύναμιν τῆς Σιγῆς, καὶ τοὺς ἅπαντας Αἰῶνας. Καὶ τοῦτον εἶναι τὸ Πνεῦμα τὸ ἐν αὐτῷ, φωνῆσαν διὰ τοῦ στόματος τοῦ υἱοῦ, τὸ ὁμολογῆσαν ἑαυτὸν υἱὸν ἀνθρώπου, καὶ φανερῶσαν τὸν Πατέρα, κατελθὸν μέντοιγε εἰς τὸν Ἰησοῦν, ἡνῶσθαι αὐτῷ. Καθεῖλε μὲν τὸν θάνατον, φασὶν, ὁ ἐξ οἰκονομίας Σωτὴρ, ἐγνώρισε δὲ τὸν Πατέρα Χριστὸν Ἰησοῦν. Εἶναι οὖν τὸν Ἰησοῦν, ὄνομα μὲν τοῦ ἐκ τῆς οἰκονομίας ἀνθρώπου λέγει, τεθεῖσθαι δὲ ἐξομοίωσιν καὶ μόρφωσιν τοῦ μέλλοντος εἰς αὐτὸν κατέρχεσθαι Ἀνθρώπου, ὃν χωρίσαντα ἐσχηκέναι αὐτόν. Αὐτόν τε εἶναι τὸν Ἄνθρωπον, αὐτὸν τὸν Λόγον, αὐτὸν τὸν Πατέρα καὶ [τὸν] Ἄρρητον, καὶ τὴν Σιγὴν καὶ τὴν Ἀλήθειαν, καὶ Ἐκκλησίαν καὶ Ζωήν.

52 Ταῦτα μὲν οὖν πρόδηλα εἶναι πᾶσιν ἐλπίζω τοῖς ὑγιαίνοντα νοῦν κεκτημένοις, ὄντα ἄκυρα, καὶ μακρὰν τῆς κατὰ θεοσέβειαν γνώσεως, ὄντα μέρη ἀστρολογικῆς ἐφευρέσεως, καὶ ἀριθμητικῆς Πυθαγορείου, καθὼς οἱ φιλομαθεῖς εἴσεσθε, ἐν τοῖς προμεριμνηθεῖσιν ἡμῖν ἐκκειμένων τούτων τῶν δογμάτων. Ἵνα δὲ σαφέστερον τούτους ἐπιδείξωμεν οὐ Χριστοῦ μαθητὰς, ἀλλὰ Πυθαγόρου, καὶ τῶν περὶ τὰ μετέωρα τῶν ἄστρων ἀπ . . . . . λημένων ὅσα ἐπιτομῇ δυνατὸν ἔστιν ἐκθήσομαι. Λέγουσι

89. Ed. καὶ τοῦτ' εἶναι τὸ Πνεῦμα τὸ λαλῆσαν διὰ τοῦ Ἰησοῦ, τὸ ὁμολογῆσαν. Annot.: "Adde στόματος ex vet."

90. Cod. ἔφασαν pro φωνῆσαν.

92. Ed. φανερώσαντα. Annot.: "Ex vet. lege φανερῶσαν."

ib. Ed. μὲν εἰς τόν.

93. Ed. ἡνῶσθαι δ' αὐτῷ. καὶ καθεῖλε.

94. Ed. φησίν.

ib. Cod. ὁ ἐκ οἰκον. Melius ἐκ τῆς οἰκον. ut in ed.

95. Ἰησοῦν deest in ed.

97. Ed. δὲ εἰς ἐξομοίωσιν.

98. Sic recte correxit editor pro τόν.

ib. Ed. χωρήσαντα αὐτὸν, ἐσχηκέναι (δὲ) αὐτόν τε τὸν Ἄνθρ., αὐτόν τε τὸν Λ., καὶ τὸν Π., καὶ τὸν Ἄ.

1. Addidi τόν.

2. Quæ deinceps habet editio, desunt in codice.

7. Cod. προμεριμνησθεῖσιν.

9. Cod. οὐχὶ μαθητάς.

10. Fort. ἀπ' αὐτοῦ (vel potius ἀπὸ τούτου) εἰλημμένων.

11. Cod. ἐπὶ τὸ μή.

ib. Vid. Iren. I, cap. xvi, p. 80.

γὰρ ταῦτα ἐκ μονάδος καὶ δυάδος τὰ ὅλα συνεστάναι, καὶ ἀπὸ μὲν μονάδος ἕως τῶν τεσσάρων ἀριθμοῦντες, οὕτως γεννῶσι τὴν δεκάδα. Πάλιν δ' αὖ δυὰς προελθοῦσα ἕως τοῦ ἐπισήμου, οἷον δύο καὶ τέσσαρα καὶ ἕξ τὴν δωδεκάδα ἀπέδειξε. Καὶ πάλιν ἀπὸ τῆς δυάδος
84 r. ἀριθμούντων ἡμῶν ἕως τῶν δέκα ἡ λ ἀνεδείχθη, ἐν ᾗ ὀγδοὰς καὶ δεκὰς καὶ δωδεκάς. Τὴν οὖν δωδεκάδα διὰ τὸ ἐπίσημον ἐσχηκέναι συνεπακολουθῆσαν αὐτῇ τὸ ἐπίσημον πάθος, καὶ διὰ τοῦτο περὶ τὸν δωδέκατον ἀριθμὸν τοῦ σφάλματος γενομένου, τὸ πρόβατον ἀποσκιρτῆσαν πεπλανῆσθαι. Ὁμοίως δὲ καὶ ἐκ τῆς δεκάδος, καὶ ἐπὶ τούτων τὴν δραχμὴν λέγουσιν, ἣν ἀπολέσασα γυνὴ ἅψασα λύχνον ἐζήτει, τήν τε ἐπὶ ἑνὶ προβάτῳ ἀπώλειαν, καὶ τὴν τῶν ἐνενήκοντα ἐννέα συντιθέντες ἑαυτοὺς ἀριθμοὺς μυθεύουσιν ὡς τῶν ἕνδεκα ἐπισυμπλεκομένων τοῖς ἐννέα ποιεῖν τὸν τῶν ἐνενήκοντα ἐννέα ἀριθμὸν, καὶ τούτου χάριν λέγεσθαι τὸ ἀμὴν, περιέχον ἀριθμὸν ἐνενήκοντα ἐννέα· ἄλλον δὲ ἀριθμὸν οὕτω λέγουσι τὸ ἦτα στοιχεῖον σὺν τῷ ἐπισήμῳ ὀγδοάδα εἶναι ἀπὸ τοῦ ἄλφα [ἐν] ὀγδόῳ κείμενον τόπῳ, εἶτα πάλιν ἄνευ τοῦ ἐπισήμου ψηφίζοντες τὸν ἀριθμὸν αὐτῶν τῶν στοιχείων, καὶ συντιθέντες μέχρι τοῦ ἦτα, τὸν τριάκοντα ἀριθμὸν ἐπι-

12. Ed. συνεστηκέναι.
13. μὲν deest in ed.
14. Plura habet editio: Μία γὰρ, καὶ δύο—ἀριθμόν.
ib. Ed. ἡ δυὰς—ἀπ' αὐτῆς προελ.
15. Ed. τέσσαρες.
16. Cod. ἐπέδειξε.
ib. Ed. addit ὁμοίως.
17. Cod. male ἣ τριάκοντα.
ib. Ed. ἐν ᾗ ὀκτὼ, καὶ δέκα, καὶ δώδεκα.
18. Ed. διὰ τὸν ἐπίσημον συνεσχηκέναι. Cf. annot.
19. Cod. συνεπηκολούθησεν. Ed. διὰ τὸ συνεπακολουθήσασαν.
20. Ed. addit λέγουσι.
22. Aliter in edit. quam vide.
23. Fort. ἐπὶ τούτῳ.
ib. Cod. δραγμὴν λέγουσιν, ἣν.
30. Ed. addit θέλουσιν.
ib. Ed. ἀπὸ τοῦ πρώτου ὀγδόου κείμενον τόπου.
31. Addidi ἐν.
33. Ed. ἐπισυνθέντες.
ib. Ed. τὴν τριακοντάδα.

δεικνύουσιν. Ἀρξάμενος γάρ τις ἀπὸ τοῦ ἄλφα ἕως τοῦ ἦτα τὸν ἀριθμὸν τῶν στοιχείων, ὑπεξαιρούμενος τὸν ἐπίσημον εὑρήσει [τῶν] τριάκοντα ἀριθμόν. Ἐπεὶ οὖν ἐκ τῶν τριῶν δυνάμεων ἥνωται ὁ τῶν τριάκοντα ἀριθμὸς [τρὶς] αὐτὸς γενόμενος τὰ ἐνενήκοντα ἐποίησε· τρὶς γὰρ τριάκοντα ἐνενήκοντα. Οὕτως ἡ ὀγδοὰς τὸν τῶν ἐνενήκοντα ἐννέα ἀπεκύησεν ἀριθμὸν, ἐκ πρώτης ὀγδοάδος καὶ δεκάδος καὶ δωδεκάδος, ἧς ποτὲ μὲν εἰς ὁλόκληρον συνάγοντες τὸν ἀριθμὸν, ποιοῦσι τριακοντάδα, ποτὲ δὲ τὸν δωδέκατον ὑφαιροῦντες ψηφίζουσιν ἕνδεκα· ὁμοίως καὶ τὸν δέκατον ποιοῦσιν ἐννεα· ταῦτα δὲ ἐπισυμπλέκοντες καὶ δεκαπλασιάσαντες, ἀριθμὸν ἐπιτελοῦσι τῶν ἐνενήκοντα ἐννέα. Ἐπειδὴ δὲ ὁ δωδέκατος αἰὼν καταλείψας τὸν ἕνδεκα καὶ ἀποστὰς κάτω ἐχώρησε, φάσκουσι κατάλληλον καὶ τοῦτο. Ὁ γὰρ τύπος τῶν γραμμάτων διδάσκει· ἑνδέκατον γὰρ τῶν γραμμάτων κεῖσθαι τὸ λ̄, ὅ ἐστιν ἀριθμὸς τῶν τριάκοντα, κεῖσθαι [δ'] αὐτὸ κατ' εἰκόνα τῆς ἄνω οἰκονομίας, ἐπειδὴ ἀπὸ τοῦ 84 v. ἄλφα, χωρὶς τοῦ ἐπισήμου, αὐτῶν τῶν γραμμάτων ὁ ἀριθμὸς ἕως τοῦ λ̄ συντεθειμένος, τὴν παραύξησιν τῶν γραμμάτων σὺν αὐτῷ τῷ λ̄ τὸν ἐνενηκονταεννέα ποιεῖται ἀριθμόν. Ὅτι δὲ τὸ λ̄ ἐν δεκάτῳ κείμενον τόπῳ, ἐπὶ τὴν τοῦ ὁμοίου αὐτῷ κατῆλθε ζήτησιν, ἵνα ἀναπληρώσῃ

34. τις om. in ed.
ib. Ed. ἀπὸ τοῦ ἄλφα, καὶ τελευτῶν εἰς τὸ η, τῷ ἀριθμῷ τῶν ς.
35. Ed. ὑπεξ. δὲ τόν.
36. Addidi τῶν. Ed. addit: καὶ ἐπισυνθεὶς τὴν ἐπαύξησιν τῶν γραμμάτων, εὑρήσει τὸν τῶν τριάκ. ἀριθμόν. Deinde plura habet editio, quæ non comparent in codice.
37. Ed. ἐκ τριάκοντα. Annot.: "Leg. ἐκ τριῶν."
38. Addidi τρίς. Ed. τρεῖς αὐτός.
ib. Ed. τρεῖς.
39. Vid. quæ plura habet editio.
ib. Ed. τῶν ἐννέα παρ' αὐτοῖς ἀπ.
40. Sequentia desunt in edit.
49. Fort. suppl. λέγουσι.
50. Ed. κεῖται. Annot.: "Legisse videtur interpres κεῖσθαι."
51. Supplevi δέ. Ed. καὶ κατ' εἰκόνα κεῖσθαι τῆς.
53. Ed. συντιθέμενος, κατὰ τὴν π.
54. Ed. τὸν τῶν ἐν.
55. Ed. ἑνδέκατον ὂν τῇ τάξει.
56. Ed. αὐτοῦ.

*τὸν δωδέκατον ἀριθμὸν, καὶ εὑρὸν αὐτὸν ἐπληρώθη, φανερὸν εἶναι ἐξ αὐτοῦ τοῦ σχήματος τοῦ στοιχείου. Τὸ γὰρ λάμβδα ὥσπερ ἐπὶ τὴν τοῦ ὁμοίου αὐτῷ ζήτησιν παραγενόμενον, καὶ εὑρὸν ἀναρπάσαν [τε], τὴν τοῦ δωδεκάτου ἀνεπλήρωσε χώραν τοῦ* Μ *στοιχείου, ἐκ δύο λάμβδα συγκειμένου· διὸ δὴ καὶ φυγεῖν αὐτοὺς διὰ τῆς γνώσεως τὴν τῶν ἐνενηκονταεννέα χώραν, τουτέστι τὸ ὑστέρημα, τύπον ἀριστερᾶς χειρὸς, μεταδιώκειν δὲ τὸ ἓν, ὃ προστεθὲν τοῖς ἐνενηκονταεννέα, εἰς τὴν δεξιὰν αὐτοῦ χεῖρα μετεσκευάσθαι διὰ τῆς μητρὸς λέγουσι.*

53 Πρῶτον *μὲν τὰ τέσσαρα στοιχεῖα ἅ φησιν, πῦρ, ὕδωρ, γῆν, ἀέρα, εἰκόνα προβεβλῆσθαι τῆς ἄνω τετράδος· τάς τε ἐνεργείας αὐτῶν συναριθμοῦντες, οἷον θερμὸν, ψυχρὸν, ὑγρὸν, ξηρὸν, λέγουσιν ἀκριβῶς ἐξεικονίζειν τὴν ὀγδοάδα.* Ἐξ *ἧς ῑ δυνάμεις οὕτω καταριθμοῦσιν, ἑπτὰ σώματα κυκλοειδῆ, ἃ καὶ οὐρανοὺς καλοῦσιν· ἔπειτα τὸν περιεκτικὸν αὐτῶν κύκλον, ὃν καὶ ὄγδοον οὐρανὸν ὀνομάζουσι· πρὸς δὲ τούτοις ἥλιόν τε καὶ σελήνην· καὶ ταῦτα ῑ ὄντα τὸν ἀριθμὸν, εἰκόνας λέγουσιν εἶναι τῆς ἀοράτου δεκάδος τῆς ἀπὸ* Λόγου *καὶ* Ζωῆς· *τὴν δωδεκάδα [δὲ] διὰ τοῦ ζωδιακοῦ κύκλου καλουμένου.*

57. Cod. *εὑρῶν.*

59. Cod. *λάβδα.*

60. Supplevi *τε.* Ed. *εὑρὸν, καὶ εἰς ἑαυτὸν ἁρπάσαν αὐτὸν, τὴν τοῦ.*

62. Ed. *καὶ η̄ συγκειμένου.*

ib. Ed. *διὸ καὶ φεύγειν αὐτοῦ.* Annot.: "Leg. *φυγεῖν αὐτούς.*"

64. Cod. *ἀριστερόν.*

66. Cod. *μετασκευάσθαι.* Ed. *μετέστησε.* Sequentia desunt in cod. Vid. cap. XVII, p. 84.

68. Ed. *στοῖχειά φασι.*

69. Fort. leg. *εἰκόνας.* Cf. infra l. 76.

70. Cod. *τοῖς δὲ ἐνεργείοις αὐτῷ.*

ib. Ed. *συναριθμουμένας.*

ib. Ed. *θερμόν τε καὶ ψυχρὸν, ξηρόν τε καὶ ὑγρόν.*

72. Ed. *ἑξῆς* pro *ἐξ ἧς.*

73. Ed. *ἑπτὰ μὲν σωματικά.* Annot.: "Leg. *σώματα.*"

76. Cod. *ταῦτα μ̄ι ὄντα.*

77. Ed. *Ζωῆς προελθούσης. τὴν δὲ δωδεκάδα μηνύεσθαι.* Addidi *δὲ* subaudiens *εἶναι λέγουσι.*

78. Ed. *τοῦ καλουμένου κύκλου. Τὰ γὰρ δ.*

Ταῦτα γὰρ δώδεκα ζῴδια φανερώτατα τὴν τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας θυγατέρα, δωδεκάδα ἐπισκιάζειν λέγουσι. Καὶ ἐπεὶ ἀνεζεύχθη, φησὶ, τῇ τῶν ὅλων ἀναφορᾷ, ὠκυτάτῃ ὑπαρχούσῃ, ὁ ὕπερθεν οὐρανὸς, ὁ πρὸς αὐτῷ τῷ κύτει βαρύνων καὶ ἀντιταλαντεύων τὴν ἐκείνου ὠκύτητα τῇ ἑαυτοῦ βραδυτῆτι, ὡς ἐν τριάκοντα ἔτεσι τὴν περίοδον ἀπὸ σημείου ἐπὶ σημεῖον ποιεῖσθαι εἰκόνα λέγουσιν αὐτὸν τοῦ Ὅρου, τοῦ τὴν τριακοντώνυμον μητέρα αὐτῶν περιέχοντος· τὴν σελήνην τε πάλιν τὸν οὐρανὸν ἐκπεριεχομένην ἐν τριάκοντα ἡμέραις, διὰ τῶν ἡμερῶν τὸν ἀριθμὸν τῶν Αἰώνων ἐκτυποῦσαν· καὶ τὸν
85 r. ἥλιον δὲ ἐν δώδεκα μησὶν ἐμπεριεχόμενον καὶ τερματίζοντα τὴν κυκλικὴν αὐτοῦ ἀποκατάστασιν, τὴν δωδεκάδα φανεροῦν· καὶ αὐτὰς δὲ τὰς ἡμέρας δώδεκα ὡρῶν τὸ μέτρον ἔχουσας, τύπον τῆς κενῆς δωδεκάδος εἶναι· καὶ αὐτοῦ δὲ τοῦ ζωδιακοῦ κύκλου τὴν περίμετρον εἶναι μοιρῶν τριακοσίων ἑξήκοντα, ἕκαστον ζῴδιον μοίρας ἔχειν τριάκοντα. Οὕτω δὴ καὶ διὰ τοῦ κύκλου τὴν εἰκόνα τῆς συναφείας τῆς δώδεκα, πρὸς τριάκοντα μετρεῖσθαι λέγουσιν· ἔτι μὴν καὶ τὴν γῆν εἰς δώδεκα

80. Ed. σκιαγραφεῖν.

81. Ed. ἀντεπεζεύχθη, φασὶ, τὴν τῶν ὅλων φορὰν, ὠκυτάτην ὑπάρχουσαν.

82. Ed. οὗπερ ὁ χρόνος, quod corrigendum ex cod.

83. Ed. ἐκείνων.

84. Ed. ὥστε αὐτὸν ἐν.

85. Fort. ποιεῖται· [καὶ] εἰκόνα.

87. Ed. πάλιν ἑαυτῆς οὐρανόν.

88. ἐν deest in ed.

89. Ed. τῶν τριάκοντα Αἰώνων ἐκτυποῦν.

90. Ed. δεκαδύο.

ib. Ed. μησὶ περιεχόμενον.

91. Ed. addit διὰ τῶν δώδεκα μηνῶν.

ib. Ed. τὴν δωδεκάτην φανεράν. Annot.: "Legi mallem cum Grabio δωδεκάδα."

92. Ed. τὰς δὲ ἡμέρας δεκαδύο.

93. Ed. φαεινῆς pro κενῆς. Annot.: "Leg. cum interp. οὐ φαεινῆς, *invisibilis et occulti*."

ib. Vide quæ addit editio.

95. Leg. ἕκαστον γὰρ ex edit., vel ἑξήκοντα· [καὶ γὰρ ἕκ.

96. Ed. ἔχει. Annot.: "ἔχειν legit vetus interpres."

ib. Ed. οὕτως δέ.

97. Ed. πρὸς τὰ τριάκοντα τετηρῆσθαι.

ib. Cod. μετρῆσθαι.

98. Pro τὴν γῆν cod. τὴν αὐτήν.

κλίματα διῃρῆσθαι φάσκοντες, καὶ καθ' ἓν ἕκαστον κλίμα, ἀνὰ μίαν δύναμιν ἐκ τῶν οὐρανῶν κατὰ κάθετον ὑποδεχομένην, καὶ ὁμοίωμα τίκτουσαν τέκνα τῇ καταπεμπούσῃ κατὰ τὴν ἀπόρροιαν δύναμιν, τύπον τῆς ἄνω δωδεκάδος.

54 Πρὸς δὲ τούτοις θελήσαντα τὸν δημιουργὸν τῆς ἄνω ὀγδοάδος, τὸ ἀπέραντον καὶ αἰώνιον καὶ ἀόριστον καὶ ἄχρονον μιμήσασθαι, καὶ μὴ δυνηθέντα τὸ ἄμωμον αὐτῆς καὶ τὸ ἀΐδιον ἐκτυπῶσαι, διὰ τὸ καρπὸν αὐτὸν εἶναι ὑστερήματος, εἰς τοῦτο χρόνους καὶ καιροὺς, ἀριθμούς τε πολυετεῖς πρὸς τὸ αἰώνιον αὐτῆς τεθεῖσθαι. Γενόμενον μὲν οὖν ἐν τῷ πλήθει τῶν χρόνων μιμήσασθαι αὐτῆς τὸ ἀόρατον. Ἐνταῦθα δὲ λέγουσιν, ἐκφυγούσης αὐτὸν τῆς ἀληθείας, ἐπηκολουθηκέναι τὸ ψεῦδος. Καὶ διὰ τοῦτο πληρωθέντων τῶν χρόνων, κατάλυσιν λαβεῖν αὐτοῦ τὸ ἔργον.

55 Ταῦτα μὲν οὖν οἱ ἀπὸ τῆς Οὐαλεντίνου σχολῆς περί τε τῆς κτίσεως καὶ περὶ τοῦ παντὸς λέγουσιν, ἑκάστοτε κενώτερα ἐπιγεννῶντες, καὶ τοῦτο καρποφορίαν νομίζουσιν, εἴ τις μεῖζον ὁμοίως ἐφευρὼν τερατουργεῖν δόξει, καὶ ἐκ τῶν Γραφῶν ἕκαστα πρὸς τοὺς προειρημένους ἀριθμοὺς ἐφευρίσκοντες σύμφωνα κατηγοροῦσι Μωσέως

99. Cod. ἀνηρτῆσθαι.
ib. Ed. καθ' ἕκαστον.
1. ἀνὰ μίαν deest in ed. Annot.: "Leg. ex vet. ἑκάστην δύναμιν."
ib. Cod. καθ' ἕκαστον.
2. Ed. ἐοικότα pro καὶ ὁμοίωμα. Annot.: "Legit interpres, καὶ ἐοικότα."
3. κατὰ deest in ed.
ib. Ed. ὑπόρροιαν.
ib. Pro δύναμιν ed. corrigit δυνάμει.
ib. Ed. εἶναι τῆς pro τῆς ἄνω.
4. Ed. addit: καὶ τῶν τέκνων αὐτῆς σαφέστατον διαβεβαιοῦνται.
5. Ed. θελήσαντά φασι.
7. Ed. τὸ μόνιμον αὐτῆς, καὶ ἀΐδιον.
8. αὐτὸν deest in ed.
9. τοῦτο non habet ed.
10. πρὸς omittit ed.
ib. Ed. κατατεθεῖσθαι, οἰόμενον ἐν τῷ πλήθει.
12. Ed. τὸ ἀπέραντον. ἐνταῦθά τε.
13. Cod. ἐπικολουθηκέναι.
14. Post διὰ τοῦτο ed. inserit κατάλυσιν, vocem infra omissam.
19. Voces μεῖζον ὁμοίως in vitio cubant.

καὶ τῶν Προφητῶν, φάσκοντες ἀλληγορικῶς αὐτοὺς τὰ μέτρα τῶν αἰώνων λέγειν, ἃ παρατιθέναι μοι οὐκ ἔδοξεν ὄντα φλυαρὰ καὶ ἀσύστατα, ἤδη τοῦ μακαρίου πρεσβυτέρου Εἰρηναίου δεινῶς καὶ πεπονημένως τὰ δόγματα
85 v. αὐτῶν διελέγξαντος, παρ' οὗ καὶ αὐτῶν ἐφευρήματα ἐπιδεικνύντες αὐτοὺς, Πυθαγορείου φιλοσοφίας καὶ ἀστρολόγων περιεργίας, ταῦτα σφετερισαμένους ἐγκαλεῖν Χριστῷ, ὡς ταῦτα παραδεδωκέναι. Ἀλλ' ἐπεὶ ἱκανῶς νομίζω καὶ τὰ τούτων φλυαρὰ δόγματα ἐκτεθεῖσθαι, σαφῶς τε ἐπιδεδεῖχθαι τίνων εἶεν μαθηταὶ Μάρκος τε καὶ Κολάρβασος, οἱ τῆς Οὐαλεντίνου σχολῆς διάδοχοι γενόμενοι, ἴδωμεν τί λέγει καὶ Βασιλείδης.

22. Cod. ἀληγορικῶς.
24. Cod. ἔδοξε τὰ φλύαρα.
25. Cod. πεπονημένος ὡς τά, natum ex correcto πεπονημένος (ως superscript).
26. Fort. καὶ οὐκ αὐτῶν ἐφευρήματα ἐπιδεικνύντος, ἀλλ' ἐκ Πυθ.
28. Cod. σφετερησαμένους.
33. Cod. λέγειν.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Ζ΄.

1 ΤΑΔΕ *ἔνεστιν ἐν τῇ ἑβδόμῃ τοῦ κατὰ πασῶν αἱρέσεων* Ἐλέγχου.

2 *Τίς ἡ δόξα* Βασιλείδου, *καὶ ὅτι τοῖς* Ἀριστοτέλους *δόγμασι καταπλαγεὶς, ἐξ αὐτῶν τὴν αἵρεσιν συνέστησε.*

3 *Καὶ τίνα* Σατορνεῖλος *λέγει ὁ* Βασιλείδης *λέων ἀκμάσας.*

4 *Πῶς δὲ* Μένανδρος *ἐπέβαλε τὸ εἰπεῖν ὑπὸ ἀγγέλων τὸν κόσμον γεγονέναι.*

5 *Τίς ἡ* Μαρκίωνος *ἀπόνοια, καὶ ὅτι τὸ δόγμα αὐτοῦ οὐ καινὸν οὐδὲ ἐξ ἁγίων γραφῶν, ἀλλὰ* Ἐμπεδοκλέους *τυγχάνει.*

6 *Πῶς* Καρποκράτης *ματαιάζει, καὶ αὐτὸς ὑπὸ ἀγγέλων τὰ ὄντα φάσκων γεγενῆσθαι.*

7 *Ὅτι* Κήρινθος *μηδὲν ἐγγράφων, ἀλλ' ἐκ τῶν* Αἰγυπτίοις *δοξάντων, δόξαν συνεστήσατο.*

8 *Τίνα τὰ τοῖς* Ἐβιωναίοις *δοκοῦντα, καὶ ὅτι ἤθεσιν* Ἰουδαϊκοῖς *μᾶλλον προσέχουσι.*

2. Cod. *ἐλλέγχου.*
5. Cod. Σατρονεῖλος.
ib. Fort. *ὁ* Βασιλίδῃ *συνακμάσας.*
7. Cod. *ἀνδρὸς* pro Μένανδρος.
ib. Fort. *τῷ εἰπεῖν.*
9. Cod. *αὐτό.*
14. Fort. *ἐκ* Γραφῶν, sive *μηδ' ἐγγράφως*, id est apud Patres "secundum S. Scripturam."
15. Cod. *συνεστήσαντο.*
16. Cod. *σεωναίοις* (βι *above*).
17. Cod. Ἱουδαϊκοῖς.

9 Πῶς καὶ ὁ Θεόδοτος πεπλάνηται, ἃ μὲν τῶν Ἐβιωναίων ἐρανισάμενος.

10 Καὶ τίνα Σακέρδωνι ἔδοξε, καὶ αὐτῷ τὰ Ἐμπεδοκλέους εἰπόντι καὶ κακῶς προβιβάσαντι τὸν Μαρκίωνα.

11 Καὶ πῶς Λουκιανὸς μαθητὴς γενόμενος Μαρκίωνος ἀπηρυθρίασε μόνος τὸν θεὸν ἐβλασφήμησεν.

12 Οὗ καὶ Ἀπελλῆς γενόμενος μαθητής, οὐ τὰ αὐτὰ τῷ διδασκάλῳ ἐδογμάτισεν ἀλλὰ ἐκ φυσικῶν δογμάτων κινηθεὶς τὴν οὐσίαν τοῦ παντὸς ὑπέθετο.

13 Πελάγει κλυδωνιζομένῳ ὑπὸ βίας ἀνέμων ἐοικότα ὁρῶντας τὰ τῶν αἱρετικῶν δόγματα, ἐχρῆν τοὺς ἀκροατὰς παραπλεῖν ἐπιζητοῦντας τὸν εὔδιον λιμένα· τὸ γὰρ 86 r. τοιοῦτον πέλαγός ἐστι καὶ θηριῶδες καὶ δύσβατον, ὡς εἰπεῖν τὸ Σικελιωτικόν, ἐν ᾧ μυθεύεται Κύκλωψ, καὶ Χάρυβδις, καὶ Σκύλλα . . . . . καὶ τὸ Σειρήνων ὄρος· ὃ διαπλεῦσαι φάσκουσι τὸν Ὀδυσσέα Ἑλλήνων οἱ ποιηταί, πανούργως χρησάμενον τῇ τῶν πράξεων θηρῶν δεινότητι. Διάφορος γὰρ ἡ τούτων ὠμότης πρὸς τοὺς διαπλέοντας ἦν· αἱ δὲ Σειρῆνες λιγὺ ᾄδουσαι καὶ μουσικὸν ἠπάτων τοὺς παραπλέοντας, πείθουσαι ἰδίᾳ φωνῇ προσάγειν τοὺς ἀκροωμένους. Τοῦτο μαθόντα φασὶ τὸν Ὀδυσσέα κατακηρῶσαι τὰς ἀκοὰς τῶν ἑταίρων, ἑαυτὸν δὲ τῷ ξύλῳ προσδήσαντα παραπλεῦσαι ἀκινδύνως τὰς Σειρῆνας κατακούσαντα τῆς τούτων ᾠδῆς. Ὃ ποιῆσαι τοῖς ἐντυγχάνουσιν συμβουλή, καὶ ἢ τὰ ὦτα κατακηρώσαντας δι' ἀσθένειαν διαπλεῦσαι τὰ τῶν αἱρέ-

18. Cod. Ἐβιωναίων (ευϊ supra lin.).

19. Fort. addend. ἃ δὲ τοῦ Κηρίνθου.

23. Fort. καὶ μόνος, vel βλασφημῆσαι.

24. Cod. Ὅτι καὶ pro οὗ καί.

28. Cod. ὁρῶντες.

32. Cod. Σκύλα. Fort. ἔτι δὲ καὶ τό.

34. Fort. παραδόξων.

42. An συμβουλὴ [ἐμή] ?

σεων δόγματα, μηδὲ κατακούσαντας πείθειν εὐκόλως δυνάμενα πρὸς ἡδονὴν, ὡς λιγυρὸν ᾆσμα Σειρήνων, ἢ ἑαυτὸν τῷ ξύλῳ Χριστοῦ προσδήσαντα, πιστῶς κατακούσαντα μὴ ταραχθῆναι, πεποιθότα ᾧ προσεσφίγγει καὶ ἕστηκεν ὀρθῶς.

14 Ἐπειδὴ οὖν ἐν ταῖς πρὸ ταύτης βίβλοις ἐξ ἐκτεθείμεθα τὰ πρότερα, δοκεῖ νῦν τὰ Βασιλείδου μὴ σιωπᾷν, τὰ Ἀριστοτέλους τοῦ Σταγειρίτου δόγματα, οὐ Χριστοῦ· ἀλλ' εἰ καὶ πρότερον ἔκκειται τὰ Ἀριστοτέλει δοκοῦντα, οὐδὲ νῦν ὀκνήσομεν προϋποθέσθαι ἐν συντόμῳ, πρὸς τὸ τοὺς ἐντυγχάνοντας διὰ τῆς τῶν ἔγγιον ὧν ἀντιπαραθέσεως συνιδεῖν εὐκόλως τὰ ὑπὸ Βασιλείδου ὄντα Ἀριστοτελικὰ σοφιστεύματα.

15 Ἀριστοτέλης μὲν οὖν τὴν οὐσίαν διαιρεῖ τριχῶς· ἔστι γὰρ αὐτῆς τὸ μέν τι γένος, τὸ δέ τι εἶδος, ὡς ἐκεῖνος λέγει, τὸ δέ τι ἄτομον· ἄτομον δὲ οὐ διὰ σμικρότητα σώματος, ἀλλὰ φύσει τομὴν ἀναδέξασθαι μηδ' ἥντινα οὖν δυνάμενον· τὸ δὲ γένος ἐστὶν οἱονεὶ σωρός τις ἐκ
86 v. πολλῶν καὶ διαφόρων καταμεμιγμένος σπερμάτων· ἀφ' οὗ γένους οἱονεί τινος σωροῦ πάντα τὰ τῶν γεγονότων εἴδη διάκειται. Καὶ ἔστι τὸ γένος . . . . ον πᾶσι τοῖς γεγενημένοις ἀρκοῦν. Ἵνα δὲ σαφὲς ἔσται τὸ λεγόμενον, δείξω διὰ τοῦ παραδείγματος δι' οὗ ἐπὶ τὴν ὅλην τοῦ Περιπάτου θεωρίαν ἀναδραμεῖν ἔσται.

16 Λέγομεν εἶναι ζῷον ἁπλῶς, οὐχὶ τὶ ζῷον· ἔστι δὲ τοῦτο τὸ ζῷον οὐ βοῦς, οὐχ ἵππος, οὐκ ἄνθρωπος, οὐ θεὸς, οὐκ ἄλλο τι τῶν ὁτιδήποτε ἔστι δηλοῦν, ἀλλὰ ἁπλῶς ζῷον· ἀπὸ τούτου τοῦ ζῴου αἱ πάντων τῶν κατὰ

44. Cod. μὴ δέ.
47. Fort. προσέσφιγκται.
49. Cod. προταύταις.
54. Fort. ἐγγιζόντων.
60. Cod. τὸ μήν.
61. Cod. οἰωνεί.
63. Cod. οἰωνεί.
64. Vestigia supersunt vocum θεὸς ὄν.
70. Cod. ὅτι δήποτε.

μέρος ζῴων ἰδέαι τὴν ὑπόστασιν ἔχουσι. Καὶ ἔστι πᾶσι τοῖς ζῴοις τοῖς γεγενημένοις ἐν εἴδεσι τοῦτο τὸ ἀνείδεον ζῷον καὶ τῶν γεγενημένων οὐδέν. Ἔστι γὰρ ἄνθρωπος ζῷον ἀπ' ἐκείνου τοῦ ζῴου λαμβάνων τὴν ἀρχὴν, καὶ ζῷον ἵππος ἀπ' ἐκείνου τοῦ ζῴου λαμβάνων τὴν ἀρχήν. Ὁ ἵππος καὶ βοῦς καὶ κύων καὶ τῶν ἄλλων ζῴων ἕκαστον ἀπὸ τοῦ ζῴου τοῦ ἁπλοῦ λαμβάνει τὴν ἀρχὴν, ὅ ἐστι τούτων οὐδὲ ἕν.

17 Εἰ δὲ οὐκ ἔστι τούτων οὐδὲ ἓν ἐκεῖνο τὸ ζῷον ἐξ οὐκ ὄντων γέγονεν ἡ τῶν γεγενημένων κατὰ Ἀριστοτέλην ὑπόστασις * γὰρ τὸ ζῷον ὅθεν ταῦτα ἐλήφθη. Κατὰ μέρος ἐστὶν οὐδὲ ἓν, οὐδὲ ἕν. Οὐδὲ ἐνδέον γέγονε τῶν ὄντων μία τις ἀρχή. Τίς δὲ ὁ ταύτην καταβεβλημένος τὴν οὐσίαν τῶν γεγονότων ὕστερον ἀρχὴν, ἐπὶ τὸν οἰκεῖον ἐρχόμενοι τοιοῦτον λόγον ἐροῦμεν.

18 Ἐπειδὴ ἐστὶν ἡ οὐσία τριχῆ, ὡς ἔφην, γένος, εἶδος, ἄτομον, καὶ ἐθέμεθα τὸ γένος εἶναι ζῷον, τὸν δὲ ἄνθρωπον εἶδος τῶν πολλῶν ζῴων ἤδη κεχωρισμένον, συγκεχυμένον δὲ ὅμως ἔτι καὶ μήπω μεμορφωμένον εἰς εἶδος οὐσίας ὑποστατῆς, ὀνόματι μορφώσας τὸν ἀπὸ τοῦ γένους ληφθέντα ἄνθρωπον ὀνομάζων Σωκράτην, ἢ Διογένην, ἤ τι τῶν πολλῶν ὀνομάτων ἓν, καὶ ἐπειδὰν ὀνόματι καταλάβω τὸν ἄνθρωπον εἶδος γένους γεγενημένον, ἄτομον καλῶ τὴν τοιαύτην οὐσίαν. Ἐτμήθη γὰρ τὸ μὲν γένος εἰς εἶδος, τὸ δὲ εἶδος εἰς ἄτομον, τὸ δὲ ἄτομον ἐπειδὰν γένηται ὀνόματι κατειλημμένον, οὐχ οἷον
87 r. τμηθῆναι κατὰ φύσιν εἰς ἄλλο τι, ὡς ἐτέμομεν τῶν προλελεγμένων ἕκαστον. Ταύτην Ἀριστοτέλης πρώτην καὶ μάλιστα, καὶ κυριωτάτην [οὐσίαν καλεῖ], μήτε καθ'

73. Cod. πᾶσις. An βάσις?
ib. Cod. ἴδεσι. Fort. add. ἀρχή.
75. Cod. ἀνίδεον.
75 et 76. Leg. λαμβάνον.
82–84. Sic distincta in cod.
89. Cod. ἔτι συγκεχ. δὲ ὅμως ἔτι.
97. Fort. οὐχ οἷόν τε τμ.
1. Lacuna in cod.

ὑποκειμένου τινὸς λεγομένην, μήτε ἐν ὑποκειμένῳ οὖσαν· καθ' ὑποκειμένου λέγει, οἷον εἰ τὸ γένος ὅπερ ἔφη ζῷον κατὰ πάντων τῶν κατὰ μέρος ὑποκειμένων ζῴων οἱονεὶ βοὸς, ἵππου καὶ τῶν ἐφεξῆς κοινῷ ὀνόματι λεγομένων. Ἀληθὲς γάρ ἐστιν εἰπεῖν ὅτι ζῷον ἄνθρωπος ἐστὶ, καὶ ζῷον ἵππος, καὶ ζῷόν ἐστι βοῦς καὶ τῶν ἄλλων ἕκαστον· τουτέστι τὸ καθ' ὑποκειμένου τὸ ἓν ὂν κατὰ πολλῶν καὶ διαφόρων τοῖς εἴδεσι δυνάμενον ὁμοίως λέγεσθαι. Οὐδὲ γὰρ διαφέρει ἵππος ἀνθρώπου ᾗ ζῷον, οὐδὲ βοῦς· ὅρος γὰρ ὁ τοῦ ζῴου πᾶσιν ἁρμόζειν τοῖς ζῴοις ὁμοίως λεγόμενον. Τί γάρ ἐστι ζῷον; ἂν ὁριζώμεθα, πάντα τὰ ζῷα κοινὸς καταλήψεται ὅρος. Ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος, αἰσθητικὴ, τοῦτο βοῦς, ἄνθρωπος, ἵππος, τῶν ἄλλων ἕκαστον. Ἐν ὑποκειμένῳ δὲ, φησὶν, ἐστὶν, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστὶ τῶν συμβεβηκότων ἕκαστον τῇ οὐσίᾳ, ὃ καλεῖται ποιότης, καθὸ ποιοὶ τινὲς λεγόμεθα, οἷον λευκοὶ, γλαυκοὶ, μέλανες, δίκαιοι, ἄδικοι, σώφρονες, καὶ τὰ τούτων παραπλήσια. Τούτων δὲ ἓν αὐτὸ καθ' αὐτὸ τῷ δυνατόν ἐστι γενέσθαι· ἀλλὰ δεῖ ἔν τινι εἶναι. Εἰ δὲ οὔτε τὸ ζῷον ὃ κατὰ πάντων λέγω τῶν καθ' ἕκαστα ζῴων, οὔτε συμβεβηκότα ἃ ἐν πᾶσιν οἷς συμβέβηκεν εὑρίσκεται, δυνατὸν αὐτὰ καθ' αὐτὰ γενέσθαι, ἐκ τούτων δὲ συμπληροῦται τὰ ἄτομα, τῶν οὐκ ὄντων καὶ ἔστιν ἡ τριχῇ διῃρημένη οὐσία, οὐκ ἐξ ἄλλων συνεστῶσα. Πρώτη ἄρα καὶ κυριωτάτη, καὶ μάλιστα λεγομένη οὐσία ἐκ τούτων ὑπάρχει, ἐξ οὐκ ὄντων κατὰ τὸν Ἀριστοτέλην ἐστίν.

5. Cod. κοινῶν.
8. Cod. τοῦ καθυποκ.
9. Cod. ἴδεσι.
11. Cod. ὁ δὲ βοῦς.
ib. Fort. [τὸ] πᾶσιν, nisi potius ἁρμόζει.
14. Fort. οἷον pro τοῦτο.
16. Cod. ὑπάρχων.
21. Fort. αὐτὸ ἀδύνατον, sive οὐ δυνατόν.
26. Delendum est καί. Cod. τριχή.

19 Ἀλλὰ περὶ μὲν τῆς οὐσίας ἀρκέσει τὰ λεγόμενα νῦν. Οὐ μόνον δὲ ἡ οὐσία καλεῖται τὸ γένος, εἶδος, ἄτομον, ἀλλὰ καὶ ὕλη καὶ εἶδος καὶ στέρησις. Διαφέρει δὲ οὐδὲ ἐν τούτοις μενούσης τῆς τομῆς. Τοιαύτης δὲ οὔσης τῆς οὐσίας, ἔστιν ἡ τοῦ κόσμου διαταγὴ γεγενημένη κατ'
87 v. αὐτὸν τοιοῦτόν τινα τρόπον. Ὁ κόσμος ἔστι κατὰ Ἀριστοτέλην διῃρημένος εἰς μέρη πλείονα καὶ [διάφορα· καὶ] ἔστι τοῦ κόσμου μέρος τοῦθ' ὅπερ ἐστὶν ἀπὸ τῆς γῆς μέχρι τῆς σελήνης, ἀπρονόητον, ἀκυβέρνητον, ἀρκούμενον μόνῃ τῇ φύσει τῇ ἑαυτοῦ· τὸ δὲ μετὰ τὴν σελήνην, ἐν πάσῃ τάξει καὶ προνοίᾳ καὶ κυβερνήσει τεταγμένη, μέχρι τῆς ἐπιφανείας τοῦ οὐρανοῦ. Ἡ δὲ ἐπιφάνεια πέμπτη τις οὖσα οὐσία, φυσικῶν ἀπηλλαγμένη στοιχείων πάντων, ἀφ' ὧν ὁ κόσμος τὴν σύστασιν ἔχει, καὶ ἔστιν αὕτη τις ἡ πέμπτη κατὰ τὸν Ἀριστοτέλην οὐσία, οἱονεὶ οὐσία τις ὑπερκόσμιος, καὶ γέγονεν αὐτῷ κατὰ τὴν διαίρεσιν τοῦ κόσμου καὶ ὁ τῆς φιλοσοφίας διῃρημένος λόγος. Φυσικὴ γάρ τις Ἀκρόασις αὐτῷ γέγονεν, ἐν ᾗ πεποίηται περὶ τῶν φύσει καὶ οὐ προνοίᾳ διοικουμένων ἀπὸ τῆς γῆς μέχρι τῆς σελήνης πραγμάτων. Γέγονε δὲ αὐτῷ καὶ Μετὰ τὰ φυσικὰ περὶ τῶν μετὰ σελήνην ἰδία τις ἄλλη οὕτως ἐπιγραφομένη πραγματεία λόγων· γέγονε δὲ αὐτῷ Περὶ Πέμπτης Οὐσίας ἴδιος λόγος, ὅς ἐστιν αὐτῷ θεολογούμενος. Τοιαύτη τις καὶ ἡ διαίρεσις τῶν ὅλων ὡς τύπῳ περιλαβεῖν κατὰ Ἀριστοτέλην φιλοσοφῆσαι. Ὁ δὲ Περὶ Ψυχῆς αὐτῷ λόγος ἐστὶν ἀσαφής. Ἐν τρισὶ γὰρ συγγράμμασιν ὅλοις οὐκ ἔστιν εἰπεῖν σαφῶς ὅ,τι φρονεῖ περὶ ψυχῆς

31. Delendum videtur τό.
36. Lacuna in cod.
40. Leg. τεταγμένῃ, vel τεταγμένον.
55. An φιλοσοφήσαντα? cum περιλαβεῖν jungendum.
ib. Cf. Fabric. Bibl. Gr. tom. 3, p. 235.

Ἀριστοτέλης. Ὃν γὰρ ἀποδίδωσι τῆς ψυχῆς ὅρον ἔστιν εἰπεῖν ῥᾴδιον· τὸ δὲ ὑπὸ ὅρου δεδηλωμένον ἐστὶ δυσεύρετον. Ἔστι γὰρ, φησὶ, ψυχὴ φυσικοῦ σώματος ὀργανικοῦ ἐντελέχεια, ἣ τίς ποτέ ἐστι, λόγων δεῖται καὶ μεγάλης ζητήσεως. Ὁ δὲ θεὸς ὁ πάντων τούτων τῶν ὄντων καλῶν αἴτιος, οὗτος τῆς ψυχῆς ἔστι πάνυ πολλῶν καὶ μακροτέρῳ λόγῳ θεωροῦντι γνωσθῆναι χαλεπώτερος. Ὁ δὲ ὅρος ὃν Ἀριστοτέλης ἀποδίδωσι περὶ τοῦ θεοῦ, χαλεπὸς μὲν οὐκ ἔστι γνωσθῆναι, νοηθῆναι δέ ἐστιν ἀμήχανος. Νόησις γὰρ, φησὶν, ἔστι 88 r. νοήσεως, ὅπερ ἔστι παντάπασιν οὐκ ὄν, ὁ δὲ κόσμος ἄφθαρτος, ἀΐδιος κατὰ Ἀριστοτέλην ἐστίν. Οὐδὲν γὰρ ἔχει πλημμελὲς ἐν αὐτῷ, προνοίᾳ καὶ φύσει κυβερνώμενος. Καταβέβληται δὲ Ἀριστοτέλης οὐ μόνον περὶ φύσεως καὶ κόσμου καὶ προνοίας καὶ θεοῦ λόγους, ἀλλὰ γὰρ γέγονεν αὐτῷ καὶ πραγματεία λόγων τις ἠθικῶν, ἐπιγράφει δὲ ταῦτα Ἠθικὰ βιβλία, δι' ὧν σπουδαῖον ἐκ φαύλου τὸ τῶν ἀκροωμένων ἦθος ἐργάζεται. Ἐὰν ὁ Βασιλείδης εὑρεθῇ μὴ τῇ δυνάμει μόνῃ ἀλλὰ καὶ τοῖς λόγοις αὐτοῖς καὶ τοῖς ὀνόμασι τὰ τοῦ Ἀριστοτέλους δόγματα εἰς τὸν Εὐαγγελικὸν καὶ σωτήριον ἡμῶν λόγον μεθαρμοζόμενος, τί λείψει, ἢ τὰ ἀλλότρια ἀποδόντας

58. Cod. ἦν superscripto ὄν.

60. Vide Aristot. de Anima II, c. 1.

61. Cod. ἥτις et λέγων.

64. Fort. πολλῷ καὶ μακροτέρῳ.

72. Physicæ auscultationis libri VIII. Cf. Fabric. Bibl. Gr. tom. 3, p. 225.

ib. De Mundo liber, de quo Fabric. tom. 3, p. 232.

ib. Inter Aristotelis scripta deperdita non memoratur tractatus De provid. Fabric. tom. 3, p. 404.

ib. An Θεολογούμενα de quo Fabric. tom. 3, p. 394.

74. Cod. ἐπίγραφε.

ib. Tria sunt opera quæ eumdem referunt titulum : Ethicorum ad Nicomachum libri X, Fabric. tom. 3, p. 262 ; Magnorum Moralium libri II, Fabric. tom. 3, p. 268 ; et Moralium ad Eudemum libri VII, Fabric. tom. 3, p. 269.

75. Fort. Ἐὰν οὖν ὁ Β.

79. Cod. λήψει.

ἐπιδεικνύναι αὐτοῖς τούτου μαθηταῖς, ὅτι ἐθνικοὺς ὄντας αὐτοὺς Χριστὸς οὐδὲν ὠφελήσει;

20 Βασιλείδης τοίνυν καὶ Ἰσίδωρος, ὁ Βασιλείδου παῖς γνήσιος καὶ μαθητὴς, φασὶν, εἰρηκέναι Ματθαῖον αὐτοῖς λόγους ἀποκρύφους, οὓς ἤκουσε παρὰ τοῦ Σωτῆρος κατ' ἰδίαν διδαχθείς. Ἴδωμεν οὖν πῶς καταφανῶς Βασιλείδης ὁμοῦ καὶ Ἰσίδωρος καὶ πᾶς ὁ τούτων χορὸς, οὐχ ἁπλῶς καταψεύδεται μόνου Ματθαίου, ἀλλὰ γὰρ καὶ τοῦ Σωτῆρος αὐτοῦ. Ἦν, φησὶν, ὅτε ἦν οὐδὲν, ἀλλ' οὐδὲ τὸ οὐδὲν ἦν τι τῶν ὄντων, ἀλλὰ ψιλῶς καὶ ἀνυπονοήτως δίχα παντὸς σοφίσματος ἦν ὅλως οὐδὲ ἕν. Ὅταν δὲ λέγῃ, φησὶ, τὸ ἦν, οὐχ ὅτι ἦν λέγω, ἀλλ' ἵνα σημάνω τοῦτο ὅπερ βούλομαι δεῖξαι. Λέγω, φησὶν, ὅτι ἦν ὅλως οὐδέν. Ἔστι γὰρ, φησὶν, ἐκεῖνο, οὐχ ἁπλῶς ἄρρητον ὀνομάζεται (ἄρρητον γοῦν αὐτὸ καλοῦμεν), ἐκεῖνο δὲ οὐδὲ ἄρρητον· καὶ γὰρ τὸ οὐκ ἄρρητον, οὐκ ἄρρητον ὀνομάζεται, ἀλλὰ ἔστι, φησὶν, ὑπεράνω παντὸς ὀνόματος ὀνομαζομένου. Οὐδὲν γὰρ τῷ κόσμῳ, φησὶν, ἐξαρκεῖ τὰ ὀνόματα, οὕτως ἐστὶ πολυσχιδὴς,
88 v. ἀλλὰ ἐπιλέλοιπε καὶ οὐ δέχομαι, φησὶ, κατὰ πάντων εὑρεῖν κυρίως ὀνόματα, ἀλλὰ δὴ τῇ διανοίᾳ αὐτοῖς ὀνόματα τῶν ὀνομαζομένων τὰς ἰδιότητας ἀρρήτως ἐκλαμβάνειν. Ἡ γὰρ ὁμωνυμία ταραχὴν ἐμπεποίηκε καὶ πλάνην τῶν πραγμάτων τοῖς ἀκροωμένοις. Τοῦτο πρῶτον σφετέρισμα καὶ κλέμμα τοῦ Περιπάτου λαβόντες, ἀπατῶσι τὴν ἄνοιαν τῶν συναγελαζομένων ἅμα αὐτοῖς· πολλαῖς γὰρ γενεαῖς Ἀριστοτέλης Βασιλείδου γεγενημένος πρῶτος, τὸν περὶ τῶν ὁμωνύμων ἐν ταῖς Κατη-

80. Cod. ἐπιδεικνῦν.
82. Titulus, Βασιλείδης.
83. Cod. φησὶν et Ματθίαν.
88. Cod. φησὶ τότε ἦν.
2. Fort. ὀνόμασι.
3. In ἐκλαμβάνειν extremam literam delere voluisse videtur librarius.
ib. Cod. ἐκπεποίηκε.

γορίαις καταβέβληται λόγον, ὃν ὡς ἴδιον οὗτοι καὶ καινὸν τινὰ καὶ τῶν Ματθαίου λόγων κρύφιόν τινα ἐνδιασαφοῦσιν.

21 Ἐπεὶ οὐδὲν οὐχ ὕλη, οὐκ οὐσία, οὐκ ἀνούσιον, οὐχ ἁπλοῦν, οὐκ ἀσύνθετον, οὐκ ἀνόητον, οὐκ ἀναίσθητον, οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, οὐ θεὸς, οὐδὲ ὅλως τι τῶν ὀνομαζομένων ἢ δι' αἰσθήσεως λαμβανομένων ἢ νοητῶν πραγμάτων, ἀλλ' οὕτω καὶ ἔτι λεπτομερῶς πάντων ἁπλῶς περιγεγραμμένων, οὐκ ὢν θεὸς ὃν Ἀριστοτέλης καλεῖ νόησιν νοήσεως, οὗτοι δὲ οὐκ ὄντα ἀνοήτως, ἀναισθήτως, ἀβούλως, ἀπροαιρέτως, ἀπαθῶς, ἀνεπιθυμήτως κόσμον ἠθέλησε ποιῆσαι. Τὸ δὲ ἠθέλησε λέγω, φησὶ, σημασίας χάριν, ἀθελήτως καὶ ἀνοήτως καὶ ἀναισθήτως· κόσμον δὲ οὐ τὸν κατὰ πλάτος καὶ διαίρεσιν γεγενημένον ὕστερον καὶ διεστῶτα, ἀλλὰ γὰρ σπέρμα κόσμου. Τὸ δὲ σπέρμα τοῦ κόσμου πάντα εἶχεν ἐν ἑαυτῷ, ὡς ὁ τοῦ σινάπεως κόκκος ἐν ἐλαχίστῳ συλλαβὼν ἔχει πάσας ὁμοῦ τὰς ῥίζας, τὸ πρέμνον, τοὺς κλάδους, τὰ φύλλα τὰ ἀνεξαρίθμητα, μετὰ τὸν κόκκον [τὰ ἀπ]ὸ τοῦ φυτοῦ γεννώμενα σπέρματα, πάλιν ἄλλων καὶ ἄλλων πολλάκις φυτῶν κεχυμένα· οὕτως οὐκ ὢν θεὸς, ἐποίησε
89 r. κόσμον οὐκ ὢν ἐξ οὐκ ὄντων, καταβαλλόμενος καὶ ὑποστήσας σπέρματι ἓν ἔχον πᾶσαν ἐν ἑαυτῷ τὴν τοῦ κόσμου πανσπερμίαν. Ἵνα δὲ καταφανέστερον ποιήσω τοῦτο ὅπερ ἐκεῖνοι λέγουσι, καθάπερ ᾠὸν ὄρνιθος ἐκ ποικίλου τινὸς καὶ πολυχρωμάτου οἱονεὶ τοῦ ταῶνος, ἢ ἄλλου τινὸς ἔτι μᾶλλον πολυμόρφου καὶ πολυχρωμάτου ἓν ὃν, οὕτως ἔχει ἐν ἑαυτῷ πολλὰς οὐσιῶν πολυμόρφων

10. Cod. Ματθίου.
ib. Fort. κρύφιόν τινα ἔννοιαν διασαφ.
13. Fort. οὐ σύνθετον.
18. Fort. οὗτος.
27. In cod. lacuna.
29. Fort. κεχυμένων.
33. Cod. ᾠιόν.
34. Cod. ποικίλλου.
36. Leg. videtur ὅμως ἔχει.

καὶ πολυχρωμάτων καὶ πολυσυστάτων ἰδέας, οὕτως ἔχει τὸ καταβληθὲν, φησὶν, ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ, οὐκ ὂν σπέρμα τοῦ κόσμου, πολύμορφον ὁμοῦ καὶ πολυούσιον.

22 Πάντα οὖν ὅσα ἐστὶν εἰπεῖν, καὶ ἔτι μὴ εὑρόντα παραλιπεῖν, ὅσα τῷ μέλλοντι κόσμῳ γενέσθαι ἀπὸ τοῦ σπέρματος ἔμελλεν ἁρμόζειν ἀναγκαίοις καιροῖς ἰδίους κατὰ προσθήκην αὐξανομένου ὡς ὑπὸ τηλικούτου καὶ τοιούτου θεοῦ, ὁποῖον οὐκ εἰπεῖν, οὐ νοῆσαι δυνατὴ γέγονε χωρῆσαι ἡ κτίσις, καὶ ἐνυπῆρχε τεθησαυρισμένα τῷ σπέρματι, καθάπερ νεογενεῖ παιδίῳ ὀδόντας ὕστερον ὁρῶμεν, καὶ πατρικὴν προσγένεσιν οὐσίας καὶ φρένας, καὶ ὅσα παραυξανομένῳ ἐκ νέου κατὰ μικρὸν ἀνθρώπῳ ἃ μὴ πρότερον ἦν γίνεται. Ἐπεὶ δὲ ἦν ἄπορον εἰπεῖν προβολήν τινα τοῦ μὴ ὄντος θεοῦ γεγονέναι τι οὐκ ὄν, —φεύγει γὰρ πάνυ καὶ δέδοικε τὰς κατὰ προβολὴν τῶν γεγονότων οὐσίας ὁ Βασιλείδης· ποίας γὰρ προβολῆς χρεία, ἢ ποίας ὕλης ὑπόθεσις, ἵνα κόσμον θεὸς ἐργάσηται, καθάπερ ὁ ἀράχνης τὰ μηρύματα, ἢ θνητὸς ἄνθρωπος χαλκὸν, ἢ ξύλον ἤ τι τῶν τῆς ὕλης μερῶν ἐργαζόμενος λαμβάνει; ἀλλὰ εἶπε, φησὶ, καὶ ἐγένετο, καὶ τοῦτό ἐστιν ὃ λέγουσιν οἱ ἄνδρες οὗτοι, τὸ λεχθὲν ὑπὸ Μωσέως, "Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς." Πόθεν, φησὶ, γέγονε τὸ φῶς; ἐξ οὐδενός· οὐ γὰρ γέγραπται, φησὶ, πόθεν, ἀλλ' αὐτὸ μόνον ἐκ τῆς φωνῆς τοῦ λέγοντος, ὁ δὲ λέγων, φησὶν, οὐκ ἦν, οὐδὲ τὸ γενόμενον ἦν.

89 v. Γέγονε, φησὶν, ἐξ οὐκ ὄντων τὸ σπέρμα τοῦ κόσμου, ὁ λόγος ὁ λεχθεὶς γενηθήτω φῶς, καὶ τοῦτο, φησὶν, ἔστι τὸ λεγόμενον ἐν τοῖς Εὐαγγελίοις· "Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν

42. Fort. ἁρμόζει ἀναγκαίως καιροῖς ἰδίοις, vel certe ἰδίως.
43. Fort. αὐξανόμενα.
45. Fort. χωρήσασα.
48. Cod. παραυξανομένου.
58. Genes. I, 3.
63. Cod. λόγος ἐλεχθείς.
64. Jo. Ev. I, 9.

κόσμον." Λαμβάνει τὰς ἀρχὰς ἀπὸ τοῦ σπέρματος ἐκείνου καὶ φωτίζεται. Τοῦτό ἐστι τὸ σπέρμα, ὃ ἔχει ἐν ἑαυτῷ πᾶσαν τὴν πανσπερμίαν, ὅ φησιν Ἀριστοτέλης γένος εἶναι, εἰς ἀπείρους τεμνόμενον ἰδέας, ὡς τέμνομεν ἀπὸ τοῦ ζῴου βοῦν, ἵππον, ἄνθρωπον, ὅπερ ἐστὶν οὐκ ὄν. Ὑποκειμένου τοίνυν τοῦ κοσμικοῦ σπέρματος, ἐκεῖνοι λέγουσιν ὅτι ἂν λέγω, φησὶν, μετὰ ταῦτα γεγονέναι, μὴ ἐπιζήτει πόθεν. Εἶχε γὰρ πάντα τὰ σπέρματα ἐν ἑαυτῷ τεθησαυρισμένα καὶ κατακείμενα, οἷον οὐκ ὂν, ὑπό τε τοῦ (οὐκ) ὄντος θεοῦ γενέσθαι προβεβουλευμένα. Ἴδωμεν οὖν τί λέγουσι πρῶτον ἢ τί δεύτερον ἢ τί τρίτον, ὃ ἀπὸ τοῦ σπέρματος τοῦ κοσμικοῦ γεγενημένον. Ἦν, φησὶν, ἐν ἑαυτῷ τῷ σπέρματι υἱότης, τριμερὴς κατὰ πάντα, τῷ οὐκ ὄντι θεομοούσιος, γενητὴ ἐξ οὐκ ὄντων. Ταύτης τῆς υἱότητος τῆς τριχῆ διῃρημένης τὸ μέν τι ἦν λεπτομερὲς, τὸ δὲ ἀποκαθάρσεως δεόμενον. Τὸ μὲν οὖν λεπτομερὲς εὐθέως πρῶτον ἅμα τῷ γενέσθαι τοῦ σπέρματος τὴν πρώτην καταβολὴν ὑπὸ τοῦ ὄντος διέσφυξε καὶ ἀνῆλθε καὶ ἀνέδραμε κάτωθεν ἄνω, ποιητικῷ τινὶ χρησάμενος τάχει ὡσεὶ πτερὸν ἠὲ νόημα· καὶ ἐγένετο, φησὶ, πρὸς τὸν οὐκ ὄντα. Ἐκείνου γὰρ, δι' ὑπερβολὴν κάλλους καὶ ὡραιότητος, πᾶσα φύσις ὀρέγεται, ἄλλη δὲ ἄλλως, ἡ δὲ παχυμερεστέρα ἔτι μένουσα ἐν τῷ σπέρματι, μιμητική τις οὖσα, ἀναδραμεῖν μὲν οὐκ ἠδυνήθη, πολὺ γὰρ ἐνδεεστέρα τῆς λεπτομερείας ἧς εἶχεν ἡ δι' αὐτῆς υἱότης, ἀναδραμοῦσα ἀπελείπετο. Ἐπτέρωσεν οὖν αὐτὴν ἡ υἱότης ἡ
90 r. παχυμερεστέρα, τοιούτῳ τινὶ πτερῷ, ὁποίῳ διδάσκαλος ὁ Πλάτων Ἀριστοτέλους ἐν Φαίδωνι τὴν ψυχὴν πτεροῖ,

75. Cod. τοῦ οὐκ ὄντος, sed deinde οὐκ deletum.
79. Fort. θεῷ ὁμοούσιος.
86. Cod. ἢ ἐνόημα. Respicit ad Hom. Od. H, 36.
91. Cod. λεπτομερίας.
94. Cod. ὦ πλάτων.

καὶ καλεῖ τὸ τοιοῦτο Βασιλείδης οὐ πτερὸν, ἀλλὰ Πνεῦμα ἅγιον, ὃ εὐεργετεῖ ἡ υἱότης ἐνδυσαμένη καὶ εὐεργετεῖται. Εὐεργετεῖ μὲν, ὅτι καθάπερ ὄρνιθος πτερὸν αὐτὸ καθ' αὐτὸ τοῦ ὄρνιθος ἀπηλλαγμένον οὐκ ἂν γένοιτό ποτε ὑψηλὸν οὐδὲ μετάρσιον· οὐδ' αὖ ὄρνις ἀπολελυμένος τοῦ πτεροῦ, οὐκ ἄν ποτε γένοιτο ὑψηλὸς οὐδὲ μετάρσιος. Τοιοῦτόν τινα τὸν λόγον ἔσχεν ἡ υἱότης πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὸ πνεῦμα πρὸς τὴν υἱότητα. Ἀναφερομένη γὰρ ἀπὸ τοῦ πνεύματος ἡ υἱότης ὡς ὑπὸ πτεροῦ, ἀναφέρει τὸ πτερὸν, τουτέστι τὸ πνεῦμα, καὶ πλησίον γενομένη τῆς λεπτομεροῦς υἱότητος καὶ τοῦ θεοῦ τοῦ οἰκοῦντος καὶ δημιουργήσαντος ἐξ οὐκ ὄντων. Ἔχειν μὲν αὐτὸ μετ' αὐτῆς οὐκ ἠδύνατο, ἦν γὰρ οὐχ ὁμοούσιον. Οὐσίας δὲ φύσιν εἶχε μετὰ τῆς υἱότητος, ἀλλὰ ὥσπερ ἔστι παρὰ φύσιν καὶ ὀλέθριος τοῖς ἰχθῦσιν ἀὴρ καθαρὸς καὶ ξηρὸς, οὕτω τῷ Πνεύματι τῷ ἁγίῳ ἦν παρὰ φύσιν ἐκεῖνο τὸ ἄρρητον, ἀρρητότερον καὶ πάντων ἀνώτερον ὀνομάτων τοῦ οὐκ ὄντος ὁμοῦ θεοῦ χωρίον καὶ τῆς υἱότητος. Κατέλιπεν οὖν αὐτὸ πλησίον υἱότητος ἐκείνου τοῦ μακαρίου καὶ νοηθῆναι μὴ δυναμένου μηδὲ χαρακτηρισθῆναι τινὶ λόγῳ χωρίου, οὐ παντάπασιν ἔρημον, οὐδὲ ἀπηλλαγμένον τῆς υἱότητος, ἀλλὰ γὰρ ὥσπερ εἰς ἄγγος ἐμβληθὲν μύρον εὐωδέστατον, εἰ καὶ ὅτι μάλιστα ἐπιμελῶς ἐκκενωθείη, ὅμως ὀσμή τις ἔτι μένει τοῦ μύρου καὶ καταλείπεται, κἂν ᾖ κεχωρισμένον τοῦ ἀγγείου καὶ μύρου ὀσμὴν τὸ ἀγγεῖον εἰ καὶ μὴ μύρον, οὕτως τὸ Πνεῦμα τὸ ἅγιον μεμένηκε τῆς

97. Cod. ἐβεργετεῖται.
98. Cod. κατ' αὐτό.
7. Legendum διοικοῦντος, quod v. pag. 237, l. 89 et seqq.
9. Cod. οὐκ ὁμοούσιον. οὐσ (sic) δὲ φύσιν.
14. Cod. θεοχωρίον.
16. Cod. μὴ μὴ δέ. Deinde leg. videtur χωρίον.
18 et 22. Cod. μῦρον.
21. Lege ἔχει pro εἰ.

υἱότητος ἄμοιρον καὶ ἀπηλλαγμένον, ἔχει δὲ ἐν ἑαυτῷ
90 v. μύρου παραπλησίως τὴν δύναμιν ὀσμὴν, καὶ τοῦτό ἐστι τὸ λεγόμενον, ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα τοῦ Ἀαρὼν, ἡ ἀπὸ τοῦ Πνεύματος τοῦ ἁγίου φερομένη ὀσμὴ ἄνωθεν κάτω, μέχρι τῆς ἀμορφίας καὶ τοῦ διαστήματος τοῦ καθ' ἡμᾶς. Ὅθεν ἤρξατο ἀνελθεῖν ἡ υἱότης οἱονεὶ ἐπὶ πτερύγων ἀετοῦ, φησὶ, καὶ τῶν μεταφρένων ἐνεχθεῖσα. Σπεύδει γὰρ, φησὶ, πάντα κάτωθεν ἄνω, ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα. Οὐδὲν δὲ οὕτως ἀνόητόν ἐστι τῶν [ἐν] τοῖς κρείττοσιν, ἵνα μὴ κατέλθῃ κάτω. Ἡ δὲ τρίτη υἱότης, φησὶν, ἡ ἀποκαθάρσεως δεομένη μεμένηκε τῷ μεγάλῳ τῆς πανσπερμίας σωρῷ εὐεργετοῦσα καὶ εὐεργετουμένη. Τίνα δὲ τὸν τρόπον εὐεργετεῖται καὶ εὐεργετεῖ, ὕστερον ἐροῦμεν κατὰ τὸν οἰκεῖον αὐτοῦ γενόμενοι λόγον.

23 Ἐπεὶ οὖν γέγονε πρώτη καὶ δευτέρα ἀναδρομὴ τῆς υἱότητος, καὶ μεμένηκεν αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον τὸν εἰρημένον τρόπον, στερεωμάτων ὑπερκοσμίων καὶ τοῦ κόσμου μεταξὺ τεταγμένον. Διῄρηται γὰρ ὑπὸ Βασιλείδου τὰ ὄντα εἰς δύο τὰς προσεχεῖς καὶ πρώτας διαιρέσεις, καὶ καλεῖται κατ' αὐτὸν τὸ μέν τι κόσμος, τὸ δέ τι ὑπερκόσμια. Τὸ δὲ μεταξὺ τοῦ κόσμου καὶ τῶν ὑπερκοσμίων μεθόριον πνεῦμα, τοῦτο ὅπερ ἐστὶ καὶ ἅγιον καὶ τῆς υἱότητος ἔχει μένουσαν ἐν ἑαυτῷ τὴν ὀσμήν. Ὄντος οὖν τοῦ στερεώματος ὅ ἐστιν ὑπεράνω τοῦ οὐρανοῦ, διέσφυξε καὶ ἐγενήθη ἀπὸ τοῦ κοσμικοῦ σπέρματος καὶ τῆς πανσπερμίας τοῦ σωροῦ ὁ μέγας ἄρχων, ἡ κεφαλὴ τοῦ κόσμου, κάλλος τι καὶ μέγεθος καὶ δύναμις λυθῆναι μὴ δυναμένη. Ἀρρήτων γὰρ,

25. Psalm. CXXXII, 2.
32. Addidi ἐν.
33. Videtur delendum μή.
40. Cod. στερεωμένων.
42. Fort. προεχεῖς.
45. Cod. μενθόριον.
48. Fort. ἐγεννήθη.
51. Cod. ἄρρητον.

φησὶν, ἐστὶν ἀρρητότερος καὶ δυνατῶν δυνατώτερος καὶ σοφῶν σοφώτερος, καὶ ὅ,τι ἂν εἴπῃς πάντων τῶν καλῶν κρείττων· οὗτος γεννηθεὶς ἐπῆρεν ἑαυτὸν μετεώρισε, καὶ 91 r. ἠνέχθη ὅλος ἄνω μέχρι τοῦ στερεώματος ἔστη, τῆς δὲ ἀναδρομῆς καὶ τοῦ ὑψώματος τὸ στερέωμα τέλος εἶναι νομίσας, καὶ μηδὲ εἶναι μετὰ ταῦτα ὅλως μηδὲν (εἶναι) ἐπινοήσας, ἐγένετο μὲν ὑποκειμένων πάντων ὅσα ἦν λοιπὸν κοσμικὰ, σοφώτερος, δυνατώτερος, ἐκπρεπέστερος, φωτεινότερος, πᾶν ὅ,τι ἂν εἴπῃς καλὸν διαφέρον χωρὶς μόνης τῆς ὑπολελειμμένης υἱότητος ἔτι ἐν τῇ πανσπερμίᾳ· ἠγνόει γὰρ ὅτι ἐστὶν αὐτοῦ σοφώτερα καὶ δυνατώτερα καὶ κρείττω. Νομίσας οὖν αὐτὸς εἶναι κύριος καὶ δεσπότης καὶ σοφὸς ἀρχιτέκτων, τρέπεται εἰς τὴν καθ᾽ ἕκαστα κτίσιν τοῦ κόσμου. Καὶ πρῶτον μὲν ἠξίωσε μὴ εἶναι μόνος, ἀλλὰ ἐποίησεν ἑαυτῷ καὶ ἐγέννησεν ἐκ τῶν ὑποκειμένων υἱὸν ἑαυτοῦ πολὺ κρείττονα καὶ σοφώτερον. Ταῦτα γὰρ ἦν πάντα προβεβουλευμένος ὁ οὐκ ὢν θεὸς, ὅτε τὴν πανσπερμίαν κατέβαλεν. Ἰδὼν οὖν τὸν υἱὸν ἐθαύμασε καὶ ἠγάπησε καὶ κατεπλάγη· τοιοῦτον γάρ τι κάλλος ἐγένετο υἱοῦ τῷ μεγάλῳ ἄρχοντι· καὶ ἐκάθισεν αὐτὸν ἐκ δεξιῶν ὁ ἄρχων. Αὕτη ἐστὶν ἡ κατ᾽ αὐτοῦ ὀγδοὰς λεγομένη, ὅπου ἐστὶν ὁ μέγας ἄρχων καθήμενος. Πᾶσαν οὖν τὴν ἐπουράνιον κτίσιν, τουτέστι τὴν αἰθέριον, αὐτὸς εἰργάσατο ὁ δημιουργὸς ὁ μέγας σοφός· ἐνήργει δὲ αὐτῷ καὶ ὑπετίθετο ὁ υἱὸς ὁ τούτου γενόμενος, ὢν αὐτοῦ τοῦ δημιουργοῦ πολὺ σοφώτερος.

24 Αὕτη ἐστὶν ἡ κατὰ Ἀριστοτέλην σώματος φυσικοῦ

54. Fort. καὶ μετεώρισε.
55. Delendum videtur ἔστη.
57. Delendum εἶναι.
61. Cod. μονῆς τῆς ὑπολελυμμένης.
62. Cod. ἔστι νῦν τοῦ σοφ.
63. Cod. κρείττων.
67. Cod. υἱῶν.
73. Fort. κατ᾽ αὐτόν.

ὀργανικοῦ ἐντελέχεια, ψυχὴ ἐνεργοῦσα τῷ σώματι, ἧς δίχα τὸ σῶμα ἐργάζεσθαι οὐδὲν δύναται, μεῖζον καὶ ἐπιφανέστερον καὶ δυνατώτερον καὶ σοφώτερον τῆς ψυχῆς. Ὃν λόγον οὖν Ἀριστοτέλης ἀποδέδωκε περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος πρότερος, Βασιλείδης περὶ τοῦ μεγάλου ἄρχοντος καὶ τοῦ κατ' αὐτὸν υἱοῦ διασαφεῖ. Τόν τε γὰρ υἱὸν ὁ ἄρχων κατὰ Βασιλείδην γεγέννηκε, τήν τε ψυχὴν ἔργον καὶ ἀποτέλεσμα, ὥς φησιν εἶναι ὁ Ἀριστοτέλης
91 v. φυσικοῦ σώματος ὀργανικοῦ ἐντελέχειαν. Ὡς οὖν ἡ ἐντελέχεια διοικεῖ τὸ σῶμα, οὕτως ὁ υἱὸς διοικεῖ κατὰ Βασιλείδην τὸν ἀρρήτων ἀρρητότερον θεόν. Πάντα οὖν ἔστι προνοούμενα καὶ διοικούμενα ὑπὸ τῆς μεγάλης τοῦ ἄρχοντος τοῦ μεγάλου τὰ αἰθέρια ἅτινα μέχρι σελήνης ἐστίν· ἐκεῖθεν γὰρ ἀὴρ αἰθέριος διακρίνεται. Κεκοσμημένων οὖν πάντων τῶν αἰθερίων, πάλιν ἀπὸ τῆς πανσπερμίας ἄλλος ἄρχων ἀνέβη, μείζων μέντοι πάντων τῶν ὑποκειμένων, χωρὶς μέντοι τῆς καταλελειμμένης υἱότητος, πολὺ δὲ ὑποδεέστερος τοῦ πρώτου ἄρχοντος. Ἔστι δὲ καὶ οὗτος ἄρρητος ὑπ' αὐτῶν λεγόμενος. Καὶ καλεῖται ὁ τόπος οὗτος ἑβδομὰς, καὶ πάντων τῶν ὑποκειμένων οὗτός ἐστι διοικητὴς καὶ δημιουργὸς, ποιήσας καὶ αὐτὸς ἑαυτῷ υἱὸν ἐκ τῆς πανσπερμίας, καὶ αὐτὸς ἑαυτοῦ φρονιμώτερον καὶ σοφώτερον, παραπλησίως τοῖς ἐπὶ τοῦ πρώτου λελεγμένοις. Τὸ δὲ ἐν τῷ διαστήματι τούτῳ, ὁ σωρὸς αὐτὸς ἐστὶ, φησὶ, καὶ ἡ πανσπερμία, καὶ γίνεται κατὰ φύσιν τὰ γινόμενα ὡς φθάσαν τεχθῆναι ὑπὸ τοῦ τὰ μέλλοντα λέγεσθαι, ὅτε δικαιοῖ ἃ δεῖ καὶ ὡς δεῖ λελογισμένῳ. Καὶ τούτων ἔστιν ἐπιστάτης ἢ φροντιστὴς ἢ δημιουργὸς οὐδείς. Ἀρκεῖ γὰρ αὐτοῖς ὁ λογισμὸς ἐκεῖνος ὁ οὐκ ὢν, ὅτε ἐποίει ἐλογίζετο.

86. Cod. γεγένηκε.
91. Fort. μεγαλειότητος.
93. Cod. κεκόσμιμένων.
2 in fine. Fort. αὐτόν.
10. Cod. ὅτε ἐπ. Fort. καὶ ἐλογ.

25 Ἐπεὶ οὖν τετέλεσται κατ' αὐτοὺς ὁ κόσμος ὅλος καὶ τὰ ὑπερκόσμια, καὶ ἔστιν ἐνδεὲς οὐδὲν, λείπεται δὲ ἐν τῇ πανσπερμίᾳ ἡ υἱότης ἡ τρίτη ἡ καταλελειμμένη εὐεργετεῖν καὶ εὐεργετεῖσθαι ἐν τῷ σπέρματι, καὶ δὴ τὴν ὑπολελειμμένην υἱότητα ἀποκαλυφθῆναι καὶ ἀποκατασταθῆναι ἄνω ἐκεῖ ὑπὲρ τὸ μεθόριον πνεῦμα πρὸς τὴν υἱότητα τὴν λεπτομερῆ καὶ μιμητικὴν, καὶ τὸν οὐκ ὄντα, ὥς γέγραπται, φησὶ, "Καὶ ἡ κτίσις αὐτὴ συστενάζει καὶ συνωδίνει τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἐκδεχομένη." Υἱοὶ δὲ, φησὶν, ἐσμὲν ἡμεῖς οἱ πνευματικοὶ ἐνθάδε καταλελειμμένοι, διακοσμῆσαι καὶ διατυπῶσαι
92 r. καὶ διορθώσασθαι καὶ τελειῶσαι τὰς ψυχὰς κατὰ φύσιν ἐχούσας μένειν ἐν τούτῳ τῷ διαστήματι. "Μέχρι μὲν οὖν Μωσέως ἀπὸ Ἀδὰμ ἐβασίλευσεν ἡ ἁμαρτία," καθὼς γέγραπται· ἐβασίλευσε γὰρ ὁ μέγας ἄρχων ὁ ἔχων τὸ τέλος αὐτοῦ μέχρι στερεώματος, νομίζων αὐτὸς εἶναι θεὸς μόνος, καὶ ὑπὲρ αὐτὸν εἶναι μηδὲν, πάντα γὰρ ἦν φυλασσόμενα ἀποκρύφῳ σιωπῇ. Τοῦτο, φησὶν, ἐστὶ τὸ μυστήριον ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, ἀλλὰ ἦν ἐν ἐκείνοις τοῖς χρόνοις βασιλεὺς καὶ κύριος ὡς ἐδόκει τῶν ὅλων ὁ μέγας ἄρχων, ἡ ὀγδοάς. Ἦν δὲ καὶ τούτου τοῦ διαστήματος βασιλεὺς καὶ κύριος ἡ ἑβδομὰς, καὶ ἔστιν ἡ μὲν ὀγδοὰς ἄρρητος, ῥητὸν δὲ ἡ ἑβδομάς. Οὗτος ἐστὶ, φησὶν, ὁ τῆς ἑβδομάδος ἄρχων ὁ λαλήσας τῷ Μωϋσῇ καὶ εἰπὼν, "Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ τὸ ὄνομα τοῦ θεοῦ οὐκ ἐδήλωσα αὐτοῖς·" οὕτως γὰρ θέλουσι γεγράφθαι, τουτέστι τοῦ ἀρρήτου τῆς ὀγδοάδος ἄρχοντος θεοῦ. Πάντες οὖν οἱ προφῆται οἱ πρὸ τοῦ Σωτῆρος, φησὶν, ἐκεῖθεν ἐλάλησαν. Ἐπεὶ οὖν ἔδει ἀποκαλυφθῆναι, φησὶν, ἡμᾶς τὰ τέκνα τοῦ θεοῦ

12. Fort. δή.
14. Cod. ἐβεργετεῖσθαι.
18. Cod. συνστενάζει. Vid. Rom. VIII, 22.
24. Rom. V, 13, 14.
35. Exod. III, 6.

περὶ ὧν ἐστέναξε, φησὶν, ἡ κτίσις καὶ ὤδινεν, ἀπεκδεχομένη τὴν ἀποκάλυψιν, ἦλθε τὸ εὐαγγέλιον εἰς τὸν κόσμον, καὶ διῆλθε διὰ πάσης ἀρχῆς καὶ ἐξουσίας κυριότητος, παντὸς ὀνόματος ὀνομαζομένου· ἦλθε δὲ οὕτως, καὶ οὐδὲν κατῆλθεν ἄνωθεν, οὐδὲ ἐξέστη ἡ μακαρία υἱότης ἐκείνου τοῦ ἀπερινοήτου καὶ μακαρίου οὐκ ὄντος θεοῦ. Ἀλλὰ γὰρ καθάπερ ὁ νάφθας ὁ ἰνδικὸς, ὀφθεὶς μόνον ἀπὸ πάνυ πολλοῦ διαστήματος, συνάπτει πῦρ, οὕτω κάτωθεν ἀπὸ τῆς ἀμορφίας τοῦ σωροῦ διήκουσιν αἱ δυνάμεις μέχρις ἄνω τῆς υἱότητος. Ἅπτει μὲν γὰρ καὶ λαμβάνει τὰ νοήματα κατὰ τὸν νάφθαν τὸν ἰνδικὸν, οἷον νάφθας τις ὢν ὁ τοῦ μεγάλου τῆς ὀγδοάδος ἄρχοντος υἱὸς, ἀπὸ τῆς μετὰ τὸ μεθόριον μακαρίας υἱότητος. Ἡ γὰρ ἐν μέσῳ τοῦ ἁγίου Πνεύματος ἐν τῷ μεθορίῳ τῆς υἱότητος δύναμις, ῥέοντα καὶ φερόμενον τὰ νοήματα τῆς υἱότητος μεταδίδωσι τῷ υἱῷ τοῦ μεγάλου ἄρχοντος.

26 Ἦλθεν οὖν τὸ εὐαγγέλιον πρῶτον ἀπὸ τῆς υἱότητος, φησὶ, διὰ τοῦ παρακαθημένου τῷ ἄρχοντι υἱοῦ τὸ πρὸς
92 v. τὸν ἄρχοντα, καὶ ἔμαθεν ὁ ἄρχων ὅτι οὐκ ἦν θεὸς τῶν ὅλων, ἀλλ' ἦν γεννητὸς καὶ ἔχων τὸν ὑπεράνω τοῦ ἀρρήτου καὶ κατονομάστου οὐκ ὄντος, καὶ τῆς υἱότητος κατακείμενον θησαυρὸν, καὶ ἐπέστρεψε καὶ ἐφοβήθη, συνιεὶς ἐν οἵᾳ ἦν ἀγνοίᾳ, τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον, "Ἀρχὴ σοφίας φόβος Κυρίου." Ἤρξατο γὰρ σοφίζεσθαι κατηχούμενος ὑπὸ τοῦ παρακαθημένου Χριστοῦ, διδασκόμενος τίς ἐστιν ὁ οὐκ ὢν, τίς ἡ υἱότης, τί τὸ ἅγιον Πνεῦμα, τίς ἡ τῶν ὅλων κατασκευὴ, ποῦ ταῦτα ἀπο-

44. Fort. καὶ κυριότητος.
48. Pro ὀφθεὶς fort. leg. ἀφθείς.
49. Cod. διήκησιν.
51–52. Cod. ἄφθαν—ἄφθας.
55. Leg. φερόμενα.
61. Cod. ὑπὲρ ἄνω.
62. Fort. ἀκατονομάστου.
65. Prov. I, 5.
68. Cod. τίς ὁ τῶν.

καταςταθήσεται· αὕτη ἐστὶν ἡ σοφία ἐν μυστηρίῳ λεγομένη, περὶ ἧς, φησὶν, ἡ Γραφὴ λέγει· "Οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος." Κατηχηθεὶς οὖν, φησὶν, ὁ ἄρχων καὶ διδαχθεὶς καὶ φοβηθεὶς, ἐξομολογήσατο περὶ ἁμαρτίας ἧς ἐποίησε μεγαλύνων ἑαυτόν. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον· "Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, ὑπὲρ ταύτης ἐξομολογήσομαι εἰς τὸν αἰῶνα." Ἐπεὶ οὖν κατήχητο μὲν ὁ μέγας ἄρχων, κατήχητο δὲ καὶ δεδίδακτο πᾶσα ἡ τῆς ὀγδοάδος κτίσις καὶ ἐγνωρίσθη τοῖς ἐπουρανίοις τὸ μυστήριον, ἔδει λοιπὸν καὶ ἐπὶ τὴν ἑβδομάδα ἐλθεῖν τὸ εὐαγγέλιον, ἵνα καὶ ὁ τῆς ἑβδομάδος παραπλησίως ἄρχων διδαχθῇ καὶ εὐαγγελισθήσηται. Ἐπέλαμψεν ὁ υἱὸς τοῦ μεγάλου ἄρχοντος τῷ υἱῷ τοῦ ἄρχοντος τῆς ἑβδομάδος, τὸ φῶς ὃ εἶχεν ἅψας αὐτοὺς ἄνωθεν ἀπὸ τῆς υἱότητος, καὶ ἐφωτίσθη ὁ υἱὸς τοῦ ἄρχοντος τῆς ἑβδομάδος, καὶ εὐηγγελίσατο τὸ εὐαγγέλιον τῷ ἄρχοντι τῆς ἑβδομάδος, καὶ ὁμοίως κατὰ τὸν πρῶτον λόγον καὶ αὐτὸς ἐφοβήθη καὶ ἐξωμολογήσατο. Ἐπεὶ οὖν καὶ τὰ ἐν τῇ ἑβδομάδι πάντα πεφώτιστο καὶ διήγγελτο τὸ εὐαγγέλιον αὐτοῖς· κτίσεις γάρ εἰσι κατ' αὐτὰ τὰ διαστήματα καὶ κατ' αὐτοὺς
93 r. ἄπειροι καὶ ἀρχαὶ καὶ δυνάμεις καὶ ἐξουσίαι, περὶ ὧν μακρός ἐστι κατ' αὐτοὺς πάνυ λόγος λεγόμενος διὰ πολλῶν, ἔνθα καὶ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς φάσκουσι, καὶ τὸν μέγαν ἄρχοντα αὐτῶν εἶναι τὸν Ἀβρασὰξ, διὰ τὸ περιέχειν τὸ ὄνομα αὐτοῦ ψῆφον τξε, ὡς δὴ τοῦ ὀνόματος τὴν ψῆφον περιέχειν πάντα, καὶ διὰ τούτων τὸν ἐνιαυτὸν τοσαύταις ἡμέραις συνεστάναι·

70. 1 Cor. II, 13.
75. Psalm. XXXI, 5.
80. Cod. εὐδομάδα.
81. Cod. εὐαγγελισθήσεται.
83. Cod. εὐδομάδος, et sic semper.
84. Fort. αὐτός.
87. Cod. ἐξομολ.
90. Dele καί.

ἀλλ' ἐπεὶ, φησὶ, ταῦθ' οὕτως ἐγένετο, ἔδει λοιπὸν καὶ τὴν ἀμορφίαν καθ' ἡμᾶς φωτισθῆναι, καὶ τῇ υἱότητι τῇ ἐν τῇ ἀμορφίᾳ καταλελειμμένῃ οἱονεὶ ἐκτρώματι ἀποκαλυφθῆναι τὸ μυστήριον, ὃ ταῖς προτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, καθὼς γέγραπται, φησὶ, "Κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον," καὶ "Ἤκουσα ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ εἰπεῖν." Κατῆλθεν ἀπὸ τῆς ἑβδομάδος τὸ φῶς, τὸ κατελθὸν ἀπὸ τῆς ὀγδοάδος ἄνωθεν τῷ υἱῷ τῆς ἑβδομάδος, ἐπὶ τὸν Ἰησοῦν τὸν υἱὸν τῆς Μαρίας, καὶ ἐφωτίσθη συνεξαφθεὶς τῷ φωτὶ τῷ λάμψαντι εἰς αὐτόν. Τοῦτο ἐστὶ, φησὶ, τὸ εἰρημένον, "Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ," τὸ ἀπὸ τῆς υἱότητος διὰ τοῦ μεθορίου Πνεύματος ἐπὶ τὴν ὀγδοάδα καὶ τὴν ἑβδομάδα διελθὸν μέχρι τῆς Μαρίας, "καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι," ἡ δύναμις τῆς κρίσεως, ἀπὸ τῆς ἀκρωρείας ἄνωθεν τοῦ δημιουργοῦ μέχρι τῆς κτίσεως, ὅ ἐστι τοῦ υἱοῦ· μέχρι δὲ ἐκείνου φησὶ συνεστηκέναι τὸν κόσμον οὕτως, μέχρις οὗ πᾶσα ἡ υἱότης ἡ καταλελειμμένη εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς ἐν ἀμορφίᾳ, καὶ εὐεργετεῖσθαι, διαμορφουμένη κατακολουθήσῃ τῷ Ἰησοῦ, καὶ ἀναδράμῃ καὶ ἔλθῃ ἀποκαθαρισθεῖσα· καὶ γίνεται λεπτομερεστάτη, ὡς δύνασθαι δι' αὐτῆς ἀναδραμεῖν ὥσπερ ἡ πρώτη. Πᾶσαν γὰρ ἔχει τὴν δύναμιν συνεστηριγμένην φυσικῶς τῷ φωτὶ τῷ λάμψαντι ἄνωθεν κάτω.

27 Ὅταν οὖν ἔλθῃ, φησὶ, πᾶσα υἱότης καὶ ἔσται ὑπὲρ
93 v. τὸ μεθόριον τὸ Πνεῦμα, τότε ἐλεηθήσεται ἡ κτίσις· στένει γὰρ μέχρι τοῦ νῦν καὶ βασανίζεται, καὶ μένει τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ, ἵνα πάντες ἀνέλ-

3. Ephes. III, 3.
4. 2 Corinth. XII, 4.
7. Cod. εὐδομ. Sic l. 12 et alibi.
10 et 12. Luc. I, 35.
13. Cod. ἐπισκειάσει.
16. Cod. μέχρι σοῦ.
20. Cod. αὐτῆς.

θωσιν ἐντεῦθεν οἱ τῆς υἱότητος ἄνθρωποι· ἐπειδὰν γένηται τοῦτο, ἐπαύξει, φησὶν ὁ θεὸς, ἐπὶ τὸν κόσμον ὅλον τὴν μεγάλην ἄγνοιαν, ἵνα μὴ πάντα κατὰ φύσιν, καὶ μηδὲν μηδενὸς τῶν παρὰ φύσιν ἐπιθυ[μήσῃ]. Ἀλλὰ γὰρ πᾶσαι αἱ ψυχαὶ τούτου τοῦ διαστήματος, ὅσαι φύσιν ἔχουσιν ἐν τούτῳ ἀθάνατοι διαμένειν μόνῳ, μένουσιν οὐδὲν ἐπιστάμεναι. Τούτου τοῦ διαστήματος διάφορα, οὐ βέλτιον, οὐδὲ ἀκοή τις ἔσται τῶν ὑπερκειμένων ἐν τοῖς ἀποκειμένοις, οὐδὲ γνῶσις, ἵνα μὴ τῶν ἀδυνάτων αἱ ὑποκείμεναι ψυχαὶ ὀρεγόμεναι βασανίζωνται, καθάπερ ἰχθῦς ἐπιθυμήσας ἐν τοῖς ὄρεσι μετὰ τῶν προβάτων νέμεσθαι· ἐγένετο ἂν, φησὶν, αὐτοῖς ἡ τοιαύτη ἐπιθυμία φθορά. Ἔστιν οὖν, φησὶν, ἄφθαρτα πάντα τὰ κατὰ χώραν μένοντα· φθαρτὰ δὲ, ἐὰν ἐκ τῶν κατὰ φύσιν ὑπερπηδᾶν καὶ ὑπερβαίνειν βούλοιντο. Οὕτως οὐδὲν ὁ ἄρχων τῆς ἑβδομάδος γνώσεται τῶν ὑπερκειμένων· καταλήψεται γὰρ καὶ τοῦτον ἡ μεγάλη ἄγνοια, ἵνα ἀποστῇ ἀπ' αὐτοῦ λύπη καὶ ὀδύνη καὶ στεναγμός· ἐπιθυμήσει γὰρ οὐδενὸς τῶν ἀδυνάτων οὐδὲ λυπηθήσεται. Καταλήψεται δὲ ὁμοίως καὶ τὸν μέγαν ἄρχοντα τῆς ὀγδοάδος ἡ ἄγνοια αὕτη, καὶ πάσας τὰς ὑποκειμένας αὐτῷ κτίσεις παραπλησίως, ἵνα μηδὲν κατὰ μηδένα ὀρέγηται τῶν κατὰ φύσιν τινὸς, μηδὲ ὀδύνηται, καὶ οὕτως ἡ ἀποκατάστασις ἔσται πάντων κατὰ φύσιν τεθεμελιωμένων μὲν ἐν τῷ σπέρματι τῶν ὅλων ἐν ἀρχῇ, ἀποκατασταμένων
94 r. δὲ καιροῖς ἰδίοις. Ὅτι δὲ, φησὶν, ἕκαστον ἰδίους ἔχει καιροὺς, ἱκανὸς ὁ Σωτὴρ λέγων, "Οὔπω ἥκει ἡ ὥρα

29. Legendum videtur ἐπάξει.
30. Legendum videtur ἵνα ᾖ πάντα.
31. Cod. ἐπιθϋ (sic) in fine versus.
34. Cod. εἰστάμεναι. Sequentia corrupta.
36. Fort. ὑποκειμένοις.
37. Cod. βασανίζονται.
39. Fort. ἐγένετο γὰρ ἄν.
42. Cod. οὐδὲ ὁ.
50. Leg. videtur παρὰ φύσιν.
53. Cod. καιρός.
54. Cod. ἱκανῶς. Joann. II, 4.

μου," καὶ οἱ μάγοι τὸν ἀστέρα τεθεαμένοι· ἦν γάρ, φησὶ, καὶ αὐτὸς ὑπὸ γένεσιν ἀστέρων καὶ ὡρῶν ἀποκαταστάσεως ἐν τῷ μεγάλῳ προλελογισμένος σάρῳ. Οὗτος ἐστὶν ὁ κατ' αὐτοὺς νενοημένος ἔσω ἄνθρωπος πνευματικὸς ἐν τῷ ψυχικῷ (ὃ ἐστὶν υἱότης ἐνταῦθα ἀπολιποῦσα τὴν ψυχὴν, οὐ θνητὴν ἀλλὰ αὐτοῦ μένουσαν κατὰ φύσιν, καίπερ ἄνω λέλοιπεν ἡ πρώτη υἱότης τὸ ἅγιον Πνεῦμα τὸ μεθόριον ἐν οἰκείῳ τόπῳ), ἰδίαν τότε περιβεβλημένος ψυχήν. Ἵνα δὲ μηδὲν τῶν κατ' αὐτοῦ παραλείπωμεν, ὅσα καὶ περὶ Εὐαγγελίου λέγουσιν ἐκθήσομαι. Εὐαγγέλιον ἐστὶ κατ' αὐτοὺς ἡ τῶν ὑπερκοσμίων γνῶσις ὡς δεδήλωται, ἣν ὁ μέγας ἄρχων οὐκ ἠπίστατο. Ὡς οὖν ἐδηλώθη αὐτῷ ὅτι καὶ τὸ Πνεῦμα ἅγιον ἐστὶ, τουτέστι τὸ μεθόριον, καὶ ἡ υἱότης, καὶ θεὸς ὁ τούτων αἴτιος πάντων ὁ οὐκ ὢν, ἐχάρη ἐπὶ τοῖς λεχθεῖσι καὶ ἠγαλλιάσατο, τουτέστι κατ' αὐτοὺς τὸ εὐαγγέλιον. Ὁ δὲ Ἰησοῦς γεγένηται κατ' αὐτοὺς ὡς προειρήκαμεν. Γεγενημένης δὲ τῆς γενέσεως τῆς προδεδηλωμένης, γέγονε πάντα ὁμοίως κατ' αὐτοὺς τὰ περὶ τοῦ Σωτῆρος, ὡς ἐν τοῖς Εὐαγγελίοις γέγραπται. Γέγονε δὲ ταῦτα, φησὶν, ἵνα ἀπ' ἀρχῆς τῆς φυλοκρινήσεως γένηται τῶν συγκεχυμένων ὁ Ἰησοῦς. Ἐπεὶ γάρ ἐστιν ὁ κόσμος διῃρημένος εἰς ὀγδοάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τοῦ παντὸς κόσμου, (κεφαλὴ δὲ τοῦ παντὸς κόσμου ὁ μέγας ἄρχων,) καὶ εἰς ἑβδομάδα, ἥτις ἐστὶν ἡ κεφαλὴ τῆς ἑβδομάδος, ὁ δημιουργὸς τῶν ὑποκειμένων, καὶ εἰς τοῦτο τὸ διάστημα τὸ καθ' ἡμᾶς, ὅπου ἐστὶν ἡ ἀμορφία,
94 v. ἀναγκαῖον ἦν τὰ συγκεχυμένα φυλοκρινηθῆναι διὰ τῆς τοῦ Ἰησοῦ διαιρέσεως. Ἔπαθεν οὖν τοῦτο ὅπερ ἦν

57. Cod. σωρῷ.
61. Cod. λέλυπεν.
69. Cod. ἠγαλλ.
75. Cod. φυλοκρίνης ἕως.
82. Cod. φυλοκριθῆναι.

αὐτοῦ σωματικὸν μέρος, ὃ ἦν τῆς ἀμορφίας καὶ ἀπεκατέστη εἰς τὴν ἀμορφίαν. Ἀνέστη δὲ τοῦτο ὅπερ ἦν ψυχικὸν αὐτοῦ μέρος, ὅπερ ἦν τῆς ἑβδομάδος, καὶ ἀπεκατέστη εἰς τὴν ἑβδομάδα· ἀνέστησε δὲ τοῦτο ὅπερ ἦν τῆς ἀκρωρείας οἰκεῖον τοῦ μεγάλου ἄρχοντος καὶ ἔμεινε παρὰ τὸν ἄρχοντα τὸν μέγαν· ἀνήνεγκε δὲ μέχρις ἄνω τοῦτο, ὅπερ ἦν τοῦ μεθορίου πνεύματος καὶ ἔμεινεν ἐν τῷ μεθορίῳ πνεύματι. Ἀπεκαθάρθη δὲ ἡ υἱότης ἡ τρίτη δι' αὐτοῦ ἡ ἐγκαταλελειμμένη πρὸς τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι, καὶ ἀνῆλθε πρὸς τὴν μακαρίαν υἱότητα διὰ πάντων τούτων διελθοῦσα. Ὅλη γὰρ αὐτῶν ἡ ὑπόθεσις, σύγχυσις οἱονεὶ πανσπερμίας καὶ φυλοκρίνησις καὶ ἀποκατάστασις τῶν συγκεχυμένων εἰς τὰ οἰκεῖα. Τῆς οὖν φυλοκρινήσεως ἀπαρχὴ γέγονεν ὁ Ἰησοῦς, καὶ τὸ πάθος οὐκ ἄλλου τινὸς χάριν γέγονεν [ἢ] ὑπὸ τοῦ φυλοκρινηθῆναι τὰ συγκεχυμένα. Τούτῳ γὰρ τῷ τρόπῳ φησὶν ὅλην τὴν υἱότητα τὴν καταλελεγμένην εἰς τὴν ἀμορφίαν πρὸς τὸ εὐεργετεῖν καὶ εὐεργετεῖσθαι διαφυλοκρινηθῆναι, ᾧ τρόπῳ καὶ ὁ Ἰησοῦς πεφυλοκρίνηται. Ταῦτα μὲν οὖν ἐστιν ἃ καὶ Βασιλείδης μυθεύει σχολάσας κατὰ τὴν Αἴγυπτον, καὶ παρ' αὐτῶν τὴν τοσαύτην σοφίαν διδαχθεὶς, ἐκαρποφόρησε τοιούτους καρπούς.

28 Σατορνεῖλος δέ τις συνακμάσας τῷ Βασιλείδῃ κατὰ τὸν αὐτὸν χρόνον, διατρίψας δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐδογμάτισε τοιαῦτα ὁποῖα καὶ Μένανδρος. Λέγει δὲ ἕνα πατέρα ἄγνωστον τοῖς πᾶσιν ὑπάρχειν, τοῦτον ποιήσαντα ἀγγέλους, ἀρχαγγέλους, δυνάμεις, ἐξουσίας.
95 r. Ἀπὸ δὲ ἑπτά τινων ἀγγέλων τὸν κόσμον γεγενῆσθαι καὶ πάντα τὰ ἐν αὐτῷ, καὶ τὸν ἄνθρωπον δὲ ἀγγέλων

95. Cod. σύγχησις.
98. Addidi ἤ.
1. Fort. καταλελειμμένην.
3. Cod. διαφυλοκριθῆναι.
7. Titulus rubricatus Σατορνῖλος.
10. Fort. ὑπάρχειν, τὸν π.

εἶναι ποίημα, ἄνωθεν ἀπὸ τῆς αὐθεντίας φωνῆς εἰκόνος ἐπιφανείσης, ἣν κατασχεῖν μὴ δυνηθέντες διὰ τὸ παραχρῆμα, φησὶν, ἀναδραμεῖν ἄνωθεν, ἐκέλευσαν ἑαυτοῖς λέγοντες, “Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν·” οὗ γενομένου, φησὶν, καὶ [μὴ] δυναμένου ἀνορθοῦσθαι τοῦ πλάσματος διὰ τὸ ἀδρανὲς τῶν ἀγγέλων, ἀλλὰ ὡς σκώληκος σκαρίζοντος, οἰκτείρασα αὐτὸν ἡ ἄνω δύναμις διὰ τὸ ἐν ὁμοιώματι αὐτῆς γεγονέναι, ἔπεμψε σπινθῆρα ζωῆς, ὃς διήγειρε τὸν ἄνθρωπον καὶ ζῆν ἐποίησε. Τοῦτον οὖν τὸν σπινθῆρα τῆς ζωῆς μετὰ τὴν τελευτὴν ἀνατρέχειν πρὸς τὰ ὁμόφυλα λέγει, καὶ τὰ λοιπὰ, ἐξ ὧν ἐγένετο, εἰς ἐκεῖνα ἀναλύεσθαι, τὸν δὲ πατέρα ἀγένητον ὑπέθετο καὶ ἀσώματον καὶ ἀνείδεον· δοκήσει δὲ ἐπιπεφηνέναι ἄνθρωπον, καὶ τὸν τῶν Ἰουδαίων θεὸν ἕνα τῶν ἀγγέλων εἶναι φησὶ, καὶ διὰ τοῦτο βούλεσθαι τὸν Πατέρα καταλῦσαι πάντας τοὺς ἄρχοντας· παραγενέσθαι τὸν Χριστὸν ἐπὶ καταλύσει τοῦ τῶν Ἰουδαίων θεοῦ, καὶ ἐπὶ σωτηρίᾳ τῶν πειθομένων αὐτῷ· εἶναι δὲ τούτους ἔχοντας τὸν σπινθῆρα τῆς ζωῆς ἐν αὐτοῖς. Δύο γὰρ γένη τῶν ἀνθρώπων ὑπὸ τῶν ἀγγέλων πεπλάσθαι ἔφη, τὸν μὲν πονηρὸν, τὸν δὲ ἀγαθὸν, καὶ ἐπειδὴ οἱ δαίμονες τοῖς πονηροῖς ἐβοήθουν, ἐληλυθέναι τὸν Σωτῆρα ἐπὶ καταλύσει τῶν φαύλων ἀνθρώπων καὶ δαιμόνων, ἐπὶ σωτηρίᾳ δὲ τῶν ἀγαθῶν. Τὸ δὲ γαμεῖν καὶ γεννᾶν ἀπὸ τοῦ Σατανᾶ φησὶν εἶναι, (οἱ πλείους τε τῶν ἀπ᾽ ἐκείνου καὶ ἐμψύχων ἀπέχονται, διὰ τῆς προσποιήτου ταύτης ἐγκρατείας,) τὰς δὲ προφητείας, ἃς μὲν ἀπὸ τῶν κοσμοποιῶν ἀγγέλων λελαλῆσθαι, ἃς

15. Cod. ἦν.
17. Genes. I, 26.
18. Addidi μή.
22. Cod. πέμψαι.
34. Non opus esse videtur correctione τὸ μὲν ... τὸ δέ.
36. Cod. ἐπικαταλύσει.
38. Cod. γενᾶν.
39. Scrib. δὲ τῶν.
40. Cod. πρὸς ποιητοῦ.

δὲ ἀπὸ τοῦ Σατανᾶ, ὃν καὶ αὐτὸν ἄγγελον ἀντιπράτ-
95 v. τοντα τοῖς κοσμικοῖς ὑπέθεντο, μάλιστα δὲ τὸν τῶν Ἰουδαίων θεόν. Ταῦτα μὲν οὖν ὁ Σατορνεῖλος.

29 Μαρκίων δὲ ὁ Ποντικὸς πολὺ τούτων μανικώτερος, τὰ πολλὰ τῶν πλειόνων παραπεμψάμενος ἐπὶ τὸ ἀναιδέστερον ὁρμήσας, δύο ἀρχὰς τοῦ παντὸς ὑπέθετο, ἀγαθὸν τινὰ λέγων καὶ τὸν ἕτερον πονηρόν· καὶ αὐτὸς δὲ νομίζων καινόν τι παρεισαγαγεῖν σχολὴν ἐσκεύασεν ἀπονοίας γέμουσαν καὶ κυνικοῦ βίου, ὧν τὶς μάχιμος, ὅτι νομίζων λήσεσθαι τοὺς πολλοὺς ὅτι μὴ Χριστοῦ τυγχάνοι μαθητὴς, ἀλλ' Ἐμπεδοκλέους πολὺ αὐτῷ προγενεστέρου τυγχάνοντος, ταῦτα ὁρίσας ἐδογμάτισε, δύο εἶναι τὰ τοῦ παντὸς αἴτια, νεῖκος καὶ φιλίαν. Τί γὰρ φησὶν ὁ Ἐμπεδοκλῆς περὶ τῆς τοῦ κόσμου διαγωγῆς; εἰ καὶ προείπομεν, ἀλλά γε καὶ νῦν πρὸς τὸ ἀντιπαραθεῖναι τῇ τοῦ κλεψιλόγου αἱρέσει, οὐ σιωπήσομαι. Οὗτος φησὶν εἶναι τὰ πάντα στοιχεῖα, ἐξ ὧν ὁ κόσμος συνέστηκε καὶ ἔστιν, ἕξ, δύο μὲν ὑλικὰ, γῆν καὶ ὕδωρ, δύο δὲ ὄργανα, οἷς τὰ ὑλικὰ κοσμεῖται καὶ μεταβάλλεται, πῦρ καὶ ἀέρα, δύο δὲ τὰ ἐργαζόμενα τοῖς ὀργάνοις τὴν ὕλην καὶ δημιουργοῦντα, νεῖκος καὶ φιλίαν, λέγων ὧδέ πως·

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς [ἀργὴς], Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
νῆστις γε ἣ δακρύοις τέγγει κρουνῷ μακρόγιον.

Ζεύς ἐστι τὸ πῦρ, Ἥρη δὲ φερέσβιος, ἡ γῆ ἡ φέρουσα

45. Titulus rubricatus: Περὶ Μαρκίωνος.

48. Addenda vox θεόν.

50. Cod. γέμουσα. Deinde corrigendum videtur ὧν τις μάχλος. Οὗτος νομίζων.

56. Lib. I, cap. 3 de Empedocle: Οὗτος τὴν τοῦ παντὸς ἀρχὴν νεῖκος καὶ φιλίαν ἔφη.

64. Emped. vs. 55 sqq. ed. Karsten.

65. Om. ἀργὴς in cod.

ib. Cod. ἡ δὲ Ἀϊδ.

66. Hæc sic in edit. Νῆστις δακρυόεσσά τ', ἐπικρούνωμα βρότειον. Ibique vid. Karsten.

67. De interpretatione variat Plutarchus *de Placit. Philosoph.*

τοὺς πρὸς τὸν βίον καρπούς· ᾿Αϊδωνεὺς δὲ, ὁ ἀὴρ, ὅτι πάντα δι' αὐτοῦ βλέποντες, μόνον αὐτὸν οὐ καθορῶμεν· νῆστις δὲ τὸ ὕδωρ, μόνον γὰρ τοῦτο ὄχημα τροφῆς αἴτιον γινόμενον πᾶσι τοῖς τρεφομένοις, αὐτὸ καθ' αὑτὸ τρέφειν οὐ δυνάμενον τὰ τρεφόμενα. Εἰ γὰρ ἔτρεφε, 96 r. φησὶν, οὐκ ἄν ποτε λιμῷ κατελήφθη τὰ ζῷα, ὕδατος ἐν τῷ κόσμῳ πλεονάζοντος ἀεί· διὰ τοῦτο νῆστιν καλεῖ τὸ ὕδωρ, ὅτι τροφῆς αἴτιον γινόμενον, τρέφειν οὐκ εὐτονεῖ τὰ τρεφόμενα. Ταῦτα μὲν οὖν ἐστὶν ὡς τύπῳ περιλαβεῖν τοῦ κόσμου τὰ συνέχοντα τὴν ὅλην ὑπόθεσιν, ὕδωρ καὶ γῆ ἐξ ὧν τὰ γινόμενα, πῦρ καὶ πνεῦμα τὰ ὄργανα καὶ τὰ δραστήρια, νεῖκος δὲ καὶ φιλία τὰ δημιουργοῦντα τεχνικῶς. Καὶ ἡ μὲν φιλία εἰρήνη τίς ἐστι καὶ ὁμόνοια καὶ στοργὴ, ἕνα τέλειον κατηρτισμένον εἶναι προαιρουμένη τὸν κόσμον· τὸ δὲ νεῖκος ἀεὶ διασπᾷ τὸν ἕνα καὶ κατακερματίζει ἢ ἀπεργάζεται ἐξ ἑνὸς πολλά. Ἔστι μὲν οὖν τὸ μὲν νεῖκος, αἴτιον τῆς κτίσεως πάσης, ὃ φησὶν οὐλόμενον εἶναι, τουτέστιν ὀλέθριον· μέλει γὰρ αὐτῷ ὅπως διὰ παντὸς αἰῶνος ἡ κτίσις αὐτὴ συνέστηκε· καὶ ἔστι πάντων τῶν γεγονότων τῆς γενέσεως δημιουργὸς καὶ ποιητὴς τὸ νεῖκος τὸ ὀλέθριον· τῆς δὲ ἐκ τοῦ κόσμου τῶν γεγονότων ἐξαγωγῆς καὶ μεταβολῆς καὶ εἰς τὸν ἕνα ἀποκαταστάσεως, ἡ φιλία. Περὶ ὧν ὁ ᾿Εμπεδοκλῆς ὅτι ἔστιν ἀθάνατα δύο καὶ ἀγένητα, καὶ ἀρχὴν τοῦ γενέσθαι μηδέποτε εἰληφότα, ἀλλὰ λέγει τοιοῦτόν τινα τρόπον·

I, 3: Ἥρην τε φερέσβιον, τὸν ἀέρα· τὴν δὲ γῆν, τὸν ᾿Αϊδωνέα. Cf. Karsten. in Emped. l. c.

69. Cod. βλέποτες.

71. Cod. καθ' αὐτό.

74. Cf. Etymol. M. s.v. Νῆστις.

81. Cod. κατειρτισμένον. Fort. καὶ κατηρτισμένον.

84. Cf. Karsten. de Empedoclis Philosophia p. 346.

90. Supple αἴτιον, id est, ἡ φιλία ἐστὶν αἴτιον τῆς ἐξαγωγῆς ἐκ τοῦ κόσμου κ.τ.λ.

93. Nisi quædam exciderunt, delendum est ἀλλά.

εἰ γὰρ καὶ πάρος ἦν, καὶ ἔσται, οὐδέποτ', οἴω,
τούτων ἀμφοτέρων κεινώσεται ἄσβεστος αἰών.

Τίνων τούτων; τοῦ νείκους καὶ τῆς φιλίας· οὐ γὰρ ἤρξαντο γενέσθαι, ἀλλὰ προῆσαν καὶ ἔσονται ἀεὶ, διὰ τὴν ἀγεννησίαν φθορὰν ὑπομεῖναι μὴ δυνάμενα. Τὸ δὲ πῦρ καὶ ἡ γῆ καὶ ὁ ἀὴρ θνήσκοντα καὶ ἀναβιοῦντα. Ὅταν μὲν γὰρ ἀποθάνῃ ταῦτα ὑπὸ τοῦ νείκους γινόμενα, παραλαμβάνουσα αὐτὰ ἡ φιλία προσάγει καὶ προστίθησι καὶ προσοικειοῖ τῷ παντὶ, ἵνα μένῃ τὸ πᾶν
96 v. ἓν ὑπὸ τῆς φιλίας ἀεὶ διακοσμούμενον μονοτρόπως καὶ μονοειδῶς. Ὅταν δὲ ἡ φιλία ἐκ πολλῶν ποιήσῃ τὸ ἓν, καὶ τὰ διεσπασμένα προσοικονομήσῃ τῷ ἑνὶ, πάλιν τὸ νεῖκος ἀπὸ τοῦ ἑνὸς ἀποσπᾷ καὶ ποιεῖ πολλὰ, τουτέστι πῦρ, ὕδωρ, γῆν, ἀέρα, τὰ ἐκ τούτων γεννώμενα ζῷα καὶ φυτὰ καὶ ὅσα μέρη τοῦ κόσμου κατανοοῦμεν. Καὶ περὶ μὲν τῆς τοῦ κόσμου ἰδέας ὁποία τίς ἐστιν ὑπὸ τῆς φιλίας κοσμουμένη, λέγει τοιοῦτόν τινα τρόπον·

Οὐ γὰρ ἀπὸ νώτοιο δύο κλάδοι ἀΐσσονται,
οὐ πόδες, οὐ θοὰ γούνατ', οὐ μήδεα γενήεντα,
ἀλλὰ σφαῖρος ἔην καὶ ἶσος ἐστὶν αὐτῷ.

Τοιοῦτόν τι καὶ κάλλιστον εἶδος τοῦ κόσμου ἡ φιλία ἐκ πολλῶν ἓν ἀπεργάζεται· τὸ δὲ νεῖκος τὸ τῆς τῶν κατὰ μέρος διακοσμήσεως αἴτιον ἐξ ἑνὸς ἐκείνου ἀποσπᾷ

94. Hi duo versus desunt in editione.
ib. Leg. ἔσσεται.
ib. Cod. οὐδέπω τοίω.
95. Cod. κενώσεται.
ib. Leg. videtur ἄσπετος.
97. Cod. ἤρξατο.
4. Cod. διὰ κοσμομούμενον.
5. Cod. ποιήσει.
6. Cod. προσοικονομήσει.
11. Cod. κοσμομουμένη λέγει, λέγει (sic).
12. Emped. vs. 360, ubi Οὔτ' ἀπό οἱ νώτων γε δύω κλάδοι ἀΐσσουσιν. In cod. male νότοιο et ἀΐσονται.
13. Leg. ex edit. γοῦν', οὐ μήδεα λαχνήεντα.
14. Hic versus qui non recte currit deest in ed., ubi legitur: ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον. Fort. emendandum Ἀλλὰ σφαῖρος ἔην καὶ πάντ' ἶσος ἐστὶν ἑαυτῷ. In voce ἶσος semper primam corripit Empedocles; cf. vs. 107 et 205 ed. Karsten.

καὶ ἀπεργάζεται πολλά. Καὶ τοῦτο ἐστὶν ὃ λέγει περὶ τῆς ἑαυτοῦ γεννήσεως ὁ Ἐμπεδοκλῆς·

τῶν καὶ ἐγώ εἰμι φυγὰς θεόθεν καὶ ἀλήτης,

τουτέστι θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα, ἐν ᾧ ἦν πρὶν ὑπὸ τοῦ νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ νείκους διακόσμησιν. Νείκη γὰρ φησὶ μαινόμενον καὶ τεταγμένον καὶ ἄστατον τὸν δημιουργὸν τόνδε τοῦ κόσμου ὁ Ἐμπεδοκλῆς ἀποκαλῶν· αὕτη γὰρ ἐστὶν ἡ καταδίκη καὶ ἀνάγκη τῶν ψυχῶν, ὧν ἀποσπᾷ τὸ νεῖκος ἀπὸ τοῦ ἑνὸς, καὶ δημιουργεῖ καὶ ἐργάζεται, λέγων τοιοῦτον τινὰ τρόπον·

ὅς καὶ ἐπίορκον ἁμαρτήσας ἐπομώσει,
δαιμόνιοί τε μακραίωνος λελάχασι βίοιο,

δαίμονας τὰς ψυχὰς λέγων μακραίωνας, ὅτι εἰσὶν ἀθάνατοι καὶ μακροὺς ζῶσιν αἰῶνας·

τρὶς μὲν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθε,

μακαρίας καλῶν τοὺς συνηγμένους ὑπὸ τῆς φιλίας ἀπὸ
97 r. τῶν πολλῶν εἰς τὴν ἑνότητα τοῦ κόσμου τοῦ νοητοῦ. Τούτους οὖν φησὶν ἀλάλησθαι καὶ

φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν,
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.

Ἀργαλέας κελεύθους φησὶν εἶναι τῶν ψυχῶν, τὰς εἰς τὰ σώματα μεταβολὰς καὶ μετακοσμήσεις. Τοῦτ᾽ ἐστὶν ὃ λέγει,

ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους·

20. Emped. vs. 7, ubi τὴν καὶ ἐγὼ νῦν εἶμι φ.

24. Leg. τεταραγμένον.

25. Cod. δημιουργὸν, τὸ δὲ τοῦ.

30. Emped. vs. 5, ubi δαίμονες οἵτε βίοιο λελόγχασι μακραίωνος. Ibique Karsten qui verba transposuit.

31. Leg. λελάχωσι.

ib. Cod. βίοις.

32. Cod. μακρεῶνας.

34. Emped. vs. 6. τρίς μιν.

ib. Edit. ἀλάλησθαι.

35. Cod. ἀπὸ τῆς.

38. Cod. ἴδεα.

41. Cod. τὰς σώματα.

ib. Cod. μετὰ κοσμίσεις.

μεταλλάσσουσι γὰρ αἱ ψυχαὶ σῶμα ἐκ σώματος ὑπὸ τοῦ νείκους μεταβαλλόμεναι καὶ κολαζόμεναι, καὶ οὐκ ἐώμεναι μένειν εἰς τὸ ἓν, ἀλλὰ κολάζεσθαι ἐν πάσαις κολάσεσιν ὑπὸ τοῦ νείκους τὰς ψυχὰς, μεταβαλλομένας σῶμα ἐκ σώματος.

> Αἰθέριόν γε (φησὶ) μένος ψυχὰς πόντονδε διώκει·
> πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
> ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
> ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Αὕτη ἐστὶν ἡ κόλασις ἣν κολάζει ὁ δημιουργὸς καθάπερ χαλκεύς τις μετακοσμῶν σίδηρον καὶ ἐκ πυρὸς εἰς ὕδωρ μεταβάπτων· πῦρ γάρ ἐστιν ὁ αἰθὴρ, ὅθεν εἰς πόντον μεταβάλλει τὰς ψυχὰς ὁ δημιουργὸς, χθὼν δὲ ἡ γῆ, ὅθεν φησὶν ἐξ ὕδατος εἰς γῆν, ἐκ γῆς δὲ εἰς τὸν ἀέρα, τουτέστιν ὃ λέγει,

> γαῖα δ' ἐς αὐγὰς
> ἠελίου φαέθοντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
> ἄλλος ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Μισουμένας οὖν τὰς ψυχὰς καὶ βασανιζομένας καὶ κολαζομένας ἐν τῷδε τῷ κόσμῳ, κατὰ τὸν Ἐμπεδοκλέα, συνάγει ἡ φιλία, ἀγαθή τις οὖσα καὶ κατοικτείρουσα τὸν στεναγμὸν αὐτῶν καὶ τὴν ἄτακτον καὶ πονηρὰν τοῦ νείκους τοῦ μαινομένου κατασκευὴν, καὶ ἐξάγειν κατ' ὀλίγον ἐκ τοῦ κόσμου καὶ προσοικειοῦν τῷ ἑνὶ σπεύδουσα καὶ κοπιῶσα, ὅπως τὰ πάντα εἰς τὴν ἑνότητα καταντήσῃ, ὑπ' αὐτῆς ἀγόμενα. Διὰ τὴν τοιαύτην οὖν τοῦ ὀλεθρίου νείκους διακόσμησιν τοῦδε τοῦ μεμερισμένου κόσμου, πάντων ἐμψύχων ὁ Ἐμπεδοκλῆς τοὺς

49. Emped. vs. 16 sqq. Edit. αἰθέριον μὲν γάρ σφε μένος.
ib. Cod. male πόντον δέε χθονὸς διώκει.
50. Cod. δεε. (una litera exesa) χθ. οὖδας.
ib. Ed. ἀνέπτυσε.
ib. Cod. γέα δ' εἰς.
51. In edit. Ἠελίου ἀκάμαντος.
59. Emped. vs. 17.
ib. Cod. εἰς αὐγάς.
60. Cod. ὅδ' αἰθέρος ἔμβαλλε.

97 v. ἑαυτοῦ μαθητὰς ἀπέχεσθαι παρακαλεῖ. Εἶναι γὰρ, φησὶ, τὰ σώματα τῶν ζῴων τὰ ἐσθιόμενα ψυχῶν κεκολασμένων οἰκητήρια, καὶ ἐγκρατεῖς εἶναι τοὺς τῶν τοιούτων λόγων ἀκροωμένους τῆς πρὸς γυναῖκα ὁμιλίας διδάσκειν, ἵνα μὴ συνεργάζωνται καὶ συνεπιλαμβάνωνται τῶν ἔργων, ὧν δημιουργεῖ τὸ νεῖκος, τὸ τῆς φιλίας ἔργον λύον ἀεὶ καὶ διασπῶν. Τοῦτον εἶναι φησὶν ὁ Ἐμπεδοκλῆς νόμον μέγιστον τῆς τοῦ παντὸς διοικήσεως, λέγων ὧδέ πως·

Ἔστι τί ἀνάγκη χρῆμα, θεῶν ψήφισμα παλαιὸν,
ἀΐδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις,

ἀνάγκην καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν φιλίαν μεταβολήν. Θεοὺς δὲ, ὡς ἔφην, τέσσαρας μὲν θνητοὺς, πῦρ, ὕδωρ, γῆν, ἀέρα· δύο δὲ ἀθανάτους, ἀγεννήτους, πολεμίους ἑαυτοῖς διὰ παντὸς, τὸ νεῖκος καὶ τὴν φιλίαν, καὶ τὸ μὲν νεῖκος ἀδικεῖν διὰ παντὸς καὶ πλεονεκτεῖν καὶ ἀποσπᾶν τὰ τῆς φιλίας, καὶ ἑαυτῷ προσνέμειν· τὴν δὲ φιλίαν ἀεὶ καὶ διὰ παντὸς ἀγαθήν τινα οὖσαν, καὶ τῆς ἑνότητος ἐπιμελουμένην, τὰ ἀπεσπασμένα τοῦ παντὸς καὶ βεβασανισμένα καὶ κεκολασμένα ἐν τῇ κτίσει ὑπὸ τοῦ δημιουργοῦ ἀνακαλεῖσθαι καὶ προσάγειν καὶ ἐμποιεῖν. Τοιαύτη τις ἡ κατὰ τὸν Ἐμπεδοκλέα ἡμῖν ἡ τοῦ κόσμου γένεσις καὶ φθορὰ καὶ σύστασις ἐξ ἀγαθοῦ καὶ κακοῦ συνεστῶσα φιλοσοφεῖται· εἶναι δὲ, φησὶ, καὶ νοητὴν τρίτην τινὰ δύναμιν, ἣν καὶ ἐκ τούτων ἐπινοεῖσθαι δύνασθαι, λέγων ὧδέ πως·

75. Cod. ὁμιλήσας.
76. Leg. videtur διδάσκει.
ib. Cod. συνεργάζονται.
77. Cod. συνεπιλαμβάνονται.
81. Emped. vs. 1 et 2, ubi recte Ἐστὶν ἀνάγκης.
82. Cod. πλατέεσι κατεσφραγισμένον.
93. Leg. καὶ ἑνοποιεῖν.
96. Cod. καινὸν τὴν τρ.
97. Cod. ἦν.

*εἰ γὰρ καὶ ἐν σφαδίνῃσιν ὑπὸ πραπίδεσιν ἐρείσας*
*εὐμενέως, καθαρῇσιν ἐποπτεύεις μελέτῃσιν,*
*ταῦτα δέ σοι μάλα πάντα δι' αἰῶνος παρέσονται.*
*Ἄλλα τε πόλλ' ἀπὸ τῶνδε κτ..... αὐτὰ γὰρ αὔξει*
*ταῦτ' εἰς ἔθος ἕκαστον, ὅπῃ φύσις ἐστὶν ἑκάστῳ.*
98 r. *Εἰ δὲ σὺ τάλλ' οἰῶν ἐπιρέξεις οἷα κατ' ἄνδρας*
*μυρία δῆλα πέλονται τάτ' ἀμβλύνουσι μέριμναι,*
*σῆς ἄφαρ ἐκλείψουσι περιπλομένοιο χρόνοιο,*
*σφῶν αὐτῶν ποθέοντα φίλην ἐπὶ γέναν ἱκέσθαι.*
*Πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ γνωματοσισον.*

30 Ἐπειδὰν οὖν Μαρκίων ἤ τῶν ἐκείνου κυνῶν τις ὑλακτῇ κατὰ τοῦ δημιουργοῦ, τοὺς ἐκ τῆς ἀντιπαραθέσεως ἀγαθοῦ καὶ καλοῦ προφέρων λόγους, δεῖ αὐτοῖς λέγειν ὅτι τούτους οὔτε Παῦλος ὁ ἀπόστολος, οὔτε Μάρκος ὁ κολοβοδάκτυλος ἀνήγγειλαν. Τούτων γὰρ οὐδὲν ἐν τῷ κατὰ Μάρκον εὐαγγελίῳ γέγραπται· ἀλλὰ Ἐμπεδοκλῆς Μιῶνος Ἀκραγαντῖνος, ὃν συλαγωγῶν μέχρι νῦν λανθάνειν ὑπελάμβανε τὴν διαταγὴν πάσης τῆς κατ' αὐτὸν αἱρέσεως ἀπὸ τῆς Σικελίας εἰς τοὺς εὐαγγελικοὺς λόγους μεταφέρων αὐταῖς λέξεσι. Φέρε γάρ, ὦ Μαρκίων, καθάπερ τὴν ἀντιπαράθεσιν πεποίηκας ἀγαθοῦ καὶ κακοῦ, ἀντιπαραθῶ κἀγὼ σήμερον κατακολουθῶν τοῖς σοῖς, ὡς ὑπολαμβάνεις, δόγμασι. Δημιουργὸν φῂς εἶναι τοῦ κόσμου πονηρόν· εἶτα οὐκ ἐγκαλύπτῃ τοὺς Ἐμπεδοκλέους λόγους τὴν ἐκκλησίαν κατηχῶν; Ἀγαθὸν φῂς εἶναι θεὸν καταλύοντα τὰ τοῦ

99. Hi versus desunt in edit.
ib. Pro *καὶ ἐν* fort. leg. *κεν*.
ib. Fort. *σφαδανῇσιν*, pro *σφεδ*., velocibus.
1. Fort. *ἐποπτεύῃς*.
2. Cod. *μᾶλλα*.
3. Leg. *κατέρχεται*. Terminationis vestigia supersunt.
ib. Fort. *ἤξει*.
4. Fort. *ἦθος*.
7. Cod. *περιπλομένοις*.
8. Corrig. sive *γένναν* sive *γαῖαν*.
9. Fort. *γνώματος ἰσχύν*.
15. Cod. *οὐδὲ ἐν*. Deest *κατὰ* in cod.
16. Leg. *Μέτωνος*. Cf. Eudoc. Violar. p. 169.
24. Cod. *ἐγκαταλύπτῃ*.

δημιουργοῦ ποιήματα, εἶτα καταφανῶς τὴν Ἐμπεδοκλέους φιλίαν εὐαγγελίζῃ τοῖς ἀκροωμένοις τὸν ἀγαθόν; κωλύεις γαμεῖν, τεκνοῦν, ἀπέχεσθαι βρωμάτων ὧν ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν, τοὺς Ἐμπεδοκλέους λανθάνεις διδάσκων καθαρμούς· ἑπόμενος γὰρ ὡς ἀληθῶς κατὰ πάντα τούτῳ τὰ βρώματα παραιτεῖσθαι τοὺς ἑαυτοῦ μαθητὰς διδάσκεις, ἵνα μὴ φάγωσι σῶμα τὶ λείψανον ψυχῆς ὑπὸ
98 v. τοῦ δημιουργοῦ κεκολασμένης· λύεις τοὺς ὑπὸ τοῦ θεοῦ συνηρμοσμένους γάμους τοῖς Ἐμπεδοκλέους ἀκολουθῶν δόγμασιν, ἵνα σοι φυλαχθῇ τὸ τῆς φιλίας ἔργον ἓν ἀδιαίρετον. Διαιρεῖ γὰρ ὁ γάμος κατὰ Ἐμπεδοκλέα τὸ ἓν καὶ ποιεῖ πολλά, καθὼς ἀπεδείξαμεν.

31 Ἡ μὲν οὖν πρώτη καὶ καθαριωτάτη Μαρκίωνος αἵρεσις, ἐξ ἀγαθοῦ καὶ κακοῦ τὴν σύστασιν ἔχουσα, Ἐμπεδοκλέους ἡμῖν εἶναι πεφανέρωται. Ἐπεὶ δὲ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις νῦν κενώτερόν τι ἐπεχείρησε Μαρκίων, νῆστις τίς Πρέπων Ἀσσύριος πρὸς Βαρδησιάνην τὸν Ἀρμένιον ἐγγράφως ποιήσασθαι λόγους περὶ τῆς αἱρέσεως, οὐδὲ τοῦτο σιωπήσομαι. Τρίτην φάσκων δίκαιον εἶναι ἀρχὴν καὶ μέσην ἀγαθοῦ καὶ κακοῦ τεταγμένην, οὐδ' οὗτος δὴ ὁ Πρέπων τῆς Ἐμπεδοκλέους διαφυγεῖν ἴσχυσε δόξης. Κόσμον γὰρ φησὶν εἶναι ὁ Ἐμπεδοκλῆς τὸν ὑπὸ τοῦ νείκους διοικούμενον τοῦ πονηροῦ, καὶ ἕτερον νοητὸν τὸν ὑπὸ τῆς φιλίας, καὶ εἶναι ταύτας τὰς διαφερούσας ἀρχὰς δύο ἀγαθοῦ καὶ κακοῦ, μέσον δὲ εἶναι τῶν διαφόρων ἀρχῶν δίκαιον λόγον, καθ' ὃν συγκρίνεται τὰ διῃρημένα ὑπὸ τοῦ νείκους, καὶ προσαρμόζεται κατὰ τὴν φιλίαν τῷ ἑνί. Τοῦτον δὲ αὐτὸν

26. Cod. εἶ τοῦ.
27. Cod. εὐαγγελήζῃ.
34. Cod. καὶ κολασμένης.
41. Ἐπὶ δὲ codex.
42. Leg. καινότερον, et Μαρκίωνος.
43. Cod. ἀσύριος. Prima litera nominis Βαρδ. exesa.
47. Cod. δὲ ὁ.

τὸν δίκαιον λόγον τὸν τῇ φιλίᾳ συναγωνιζόμενον Μοῦσαν ὁ Ἐμπεδοκλῆς προσαγορεύων, καὶ αὐτὸς αὐτῷ συναγωνίζεσθαι παρακαλεῖ, λέγων ὧδέ πως·

εἰκάραι φημερίων ἕνεκεν τινὸς, ἄμβροτε Μοῦσα,
ἡμετέρας μελέτας διὰ φροντίδος ἐλθεῖν
εὐχομένων, νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.

Τούτοις κατακολουθῶν Μαρκίων, τὴν γένεσιν τοῦ Σωτῆρος ἡμῶν παντάπασι παρῃτήσατο, ἄτοπον εἶναι νομίζων
99 r. ὑπὸ τὸ πλάσμα τοῦ ὀλεθρίου τούτου νείκους γεγονέναι τὸν λόγον τὸν τῇ φιλίᾳ συναγωνιζόμενον, τουτέστι τῷ ἀγαθῷ, ἀλλὰ χωρὶς γενέσεως ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος κατεληλυθότα αὐτὸν ἄνωθεν, μέσον ὄντα κακοῦ καὶ ἀγαθοῦ, διδάσκειν ἐν ταῖς συναγωγαῖς. Εἰ γὰρ μεσότης ἐστὶν, ἀπήλλακται, φησὶ, πάσης τῆς τοῦ κακοῦ φύσεως. Κακὸς δ' ἐστὶν, ὡς λέγει, ὁ δημιουργὸς καὶ τούτου τὰ ποιήματα. Διὰ τοῦτο ἀγέννητος κατῆλθεν ὁ Ἰησοῦς, φησὶν, ἵνα ᾖ πάσης ἀπηλλαγμένος κακίας. Ἀπήλλακται δὲ, φησὶ, καὶ τῆς τοῦ ἀγαθοῦ φύσεως, ἵνα ᾖ μεσότης, ὥς φησιν ὁ Παῦλος, καὶ ὡς αὐτὸς ὁμολογεῖ· "Τί με λέγετε ἀγαθόν; εἷς ἔστιν ἀγαθός." Ταῦτα μὲν οὖν τὰ Μαρκίωνι δόξαντα, δι' ὧν ἐπλάνησε πολλοὺς τοῖς Ἐμπεδοκλέους λόγοις χρησάμενος, καὶ τὴν ὑπ' ἐκείνου ἐφηυρημένην φιλοσοφίαν ἰδίᾳ δόξῃ μετάγων, αἵρεσιν ἄθεον συνεστήσατο, ἣν ἱκανῶς ἠλέγχθαι ὑφ' ἡμῶν νομίζω, μηθέν τε κατα-

55. Cod. συναγονιζόμενον.
56. Cod. αὐτῷ.
58. Hi versus desunt in edit. Fort. εἰ γὰρ ἐφημερίων ἔμελεν, scilicet σοι.
59. Mancus est hic versus.
61. Cod. μακαρίων.
64. Cod. τὰ τοῦ pro τούτου.
65. Cod. συναγονιζόμενον.
66. Cod. ἔτη πέντε καὶ δεκάτω.
67. Cod. τηβερίου.
74. Cod. ἵνα ἡ μ. Haud dubie respicit ad Ephes. II, 14.
75. Matth. XIX, 17.
ib. Cod. εἰ ἔστιν.
80. Cod. ἤλεγχεν.

λελεῖφθαι ὧν κλεψιλογήσαντες παρ' Ἑλλήνων, τοὺς Χριστοῦ μαθητὰς ἐπηρεάζουσιν, ὡς τούτων αὐτοῖς γενομένους διδασκάλους. Ἀλλ' ἐπεὶ καὶ τὰ τούτου ἱκανῶς ἡμῖν δοκεῖ ἐκτεθεῖσθαι, ἴδωμεν τί λέγει Καρποκράτης.

32 Καρποκράτης τὸν μὲν κόσμον καὶ τὰ ἐν αὐτῷ ὑπὸ ἀγγέλων πολὺ ὑποβεβηκότων τοῦ ἀγενήτου Πατρὸς γεγενῆσθαι λέγει, τὸν δὲ Ἰησοῦν ἐξ Ἰωσὴφ γεγενῆσθαι, καὶ ὅμοιον τοῖς ἀνθρώποις γεγονότα, δικαιότερον τῶν λοιπῶν γενέσθαι, τὴν δὲ ψυχὴν αὐτοῦ εὔτονον καὶ καθαρὰν γεγονυῖαν, διαμνημονεῦσαι τὰ ὁρατὰ μὲν αὐτῇ ἐν τῇ μετὰ τοῦ ἀγενήτου θεοῦ περιφορᾷ, καὶ διὰ τοῦτο ὑπ' ἐκείνου αὐτῷ καταπεμφθῆναι δύναμιν, ὅπως τοὺς κοσμοποιοὺς ἐκφυγεῖν δι' αὐτῆς δυνηθῇ· ἣν καὶ
99 v. διὰ πάντων χωρήσασαν ἐν πᾶσί τε ἐλευθερωθεῖσαν, ἐληλυθέναι πρὸς αὐτὸν, τὰ ὅμοια αὐτῆς ἀσπαζομένην. Τὴν δὲ τοῦ Ἰησοῦ λέγουσι ψυχὴν ἐννόμως ἠσκημένην ἐν Ἰουδαϊκοῖς ἔθεσι, καταφρονῆσαι αὐτῶν, καὶ διὰ τοῦτο δυνάμεις ἐπιτετελεκέναι, δι' ὧν κατήργησε τὰ ἐπὶ κολάσει πάθη προσόντα τοῖς ἀνθρώποις. Τὴν οὖν ὁμοίως ἐκείνῃ τῇ τοῦ Χριστοῦ ψυχῇ δυναμένην καταφρονῆσαι τῶν κοσμοποιῶν ἀρχόντων, ὁμοίως λαμβάνειν δύναμιν πρὸς τὸ πρᾶξαι τὰ ὅμοια· διὸ καὶ εἰς τοῦτο τὸ τῦφος κατεληλύθασιν, ὥστε αὐτοὺς μὲν ὁμοίους αὐτῷ εἶναι λέγουσι τῷ Ἰησοῦ, τοὺς δὲ καὶ ἔτι δυνατωτέρους, τινὰς δὲ καὶ διαφορωτέρους τῶν ἐκείνου μαθητῶν, οἷον Πέτρου καὶ Παύλου καὶ τῶν λοιπῶν ἀποστόλων· τούτους δὲ κατὰ μηδένα ἀπολείπεσθαι τοῦ Ἰησοῦ. Τὰς δὲ ψυχὰς αὐτῶν ἐκ τῆς ὑπερκειμένης ἐξουσίας παρούσας, καὶ διὰ τοῦτο ὡσαύτως καταφρονεῖν τῶν κοσμοποιῶν διὰ [τὸ]

85. Titulus rubricatus: Καρποκράτης.
92. In αὐτῷ ultima litera exesa.
4. Cod. ὁμοίως.
10. Addidi τό.

τῆς αὐτῆς ἠξιῶσθαι δυνάμεως, καὶ αὖθις εἰς τὸ αὐτὸ χωρῆσαι. Εἰ δέ τις ἐκείνου πλέον καταφρονήσειεν τῶν ἐνταῦθα, δύνασθαι διαφορώτερον αὐτοῦ ὑπάρχειν. Τέχνας οὖν μαγικὰς ἐξεργαζόμενοι καὶ ἐπαοιδὰς, φίλτρα τε καὶ χαριτήσια, παρέδρους τε καὶ ὀνειροπόμπους καὶ τὰ λοιπὰ κακουργήματα, φάσκοντες ἐξουσίαν ἔχειν πρὸς τὸ κυριεύειν ἤδη τῶν ἀρχόντων καὶ ποιητῶν τοῦδε τοῦ κόσμου, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν αὐτῷ ποιημάτων ἁπάντων, οἵτινες καὶ αὐτοὶ εἰς διαβολὴν τοῦ θείου τῆς Ἐκκλησίας ὀνόματος πρὸς τὰ ἔθνη ὑπὸ τοῦ Σατανᾶ προεβλήθησαν, ἵνα κατ᾽ ἄλλον καὶ ἄλλον τρόπον τὰ ἐκείνων ἀκούοντες ἄνθρωποι, καὶ δοκοῦντες ἡμᾶς πάντας τοιούτους ὑπάρχειν, ἀποστρέφωσι τὰς ἀκοὰς αὐτῶν ἀπὸ τοῦ τῆς ἀληθείας κηρύγματος, βλέποντες τὰ ἐκείνων ἅπαντα,
100 r. ἡμᾶς βλασφημοῦσιν. Εἰς τοσοῦτον δὲ μετενσωματοῦσθαι φάσκουσι τὰς ψυχὰς, ὅσον πάντα τὰ ἁμαρτήματα πληρώσωσιν· ὅταν δὲ μηδὲν λείπῃ, τότε ἐλευθερωθεῖσαν ἀπαλλαγῆναι πρὸς ἐκεῖνον τὸν ὑπεράνω τῶν κοσμοποιῶν ἀγγέλων θεὸν, καὶ οὕτως σωθήσεσθαι πάσας τὰς ψυχάς. Εἴ τινες δὲ φθάσασαι ἐν μιᾷ παρουσίᾳ ἀναμιγῆναι πάσαις ἁμαρτίαις, οὐκέτι μετενσωματοῦνται, ἀλλὰ πάντα ὁμοῦ ἀποδοῦσαι τὰ ὀφλήματα, ἐλευθερωθήσονται τοῦ μηκέτι γενέσθαι ἐν σώματι. Τούτων τινὲς καὶ καυτηριάζουσι τοὺς ἰδίους μαθητὰς ἐν τοῖς ὀπίσω μέρεσι τοῦ λοβοῦ τοῦ δεξιοῦ ὠτός. Καὶ εἰκόνας δὲ κατασκευάζουσι τοῦ Χριστοῦ λέγοντες ὑπὸ Πιλάτου τῷ καιρῷ ἐκείνῳ γενέσθαι.

33 Κήρινθος δέ τις [καὶ] αὐτὸς Αἰγυπτίων παιδείᾳ ἀσκηθεὶς ἔλεγεν οὐχ ὑπὸ τοῦ πρώτου γεγονέναι τὸν κόσμον,

14. Cod. ἐξεργαζόμενον.
15. Cod. χαρητήσια.
25. Fort. [καὶ] ἡμᾶς βλασφημῶσιν.
27. Leg. ἐλευθερωθείσας.
38. Titulus rubricatus Κήρινθος. Addidi καί.

ἀλλ' ὑπὸ δυνάμεως τινὸς κεχωρισμένης, τῆς ὑπὲρ τὰ ὅλα ἐξουσίας καὶ ἀγνοούσης τὸν ὑπὲρ πάντα θεὸν, τὸν δὲ Ἰησοῦν ὑπέθετο μὴ ἐκ παρθένου γεγενῆσθαι, γεγονέναι δὲ αὐτὸν ἐξ Ἰωσὴφ καὶ Μαρίας, οἷον ὁμοίως τοῖς λοιποῖς ἅπασιν ἀνθρώποις, καὶ δικαιότερον γεγονέναι καὶ σοφώτερον. Καὶ μετὰ τὸ βάπτισμα κατελθεῖν εἰς αὐτὸν τὸν τῆς ὑπὲρ τὰ ὅλα αὐθεντίας, τὸν Χριστὸν, ἐν εἴδει περιστερᾶς. Καὶ τότε κηρῦξαι τὸν γνωστὸν πατέρα, καὶ δυνάμεις ἐπιτελέσαι, πρὸς δὲ τῷ τέλει, ἀποστῆναι τὸν Χριστὸν ἀπὸ τοῦ Χριστοῦ, καὶ τὸν Ἰησοῦν πεπονθέναι καὶ ἐγηγέρθαι, τὸν δὲ Χριστὸν ἀπαθῆ διαμεμενηκέναι πατρικὸν ὑπάρχοντα.

34 Ἐβιωναῖοι δὲ ὁμολογοῦσι τὸν κόσμον ὑπὸ τοῦ ὄντως θεοῦ γεγονέναι· τὰ δὲ περὶ τὸν Χριστὸν ὁμοίως τῷ Κηρίνθῳ καὶ Καρποκράτει μυθεύουσιν. Ἔθεσιν Ἰουδαϊκοῖς
100 v. ζῶσι, κατὰ νόμον φάσκοντες δικαιοῦσθαι, καὶ τὸν Ἰησοῦν λέγοντες δεδικαιῶσθαι ποιήσαντα τὸν νόμον· διὸ καὶ Χριστὸν αὐτὸν τοῦ θεοῦ ὠνομάσθαι, καὶ Ἰησοῦν, ἐπεὶ μηδεὶς αὐτῶν ἐτέλεσε τὸν νόμον· εἰ γὰρ καὶ ἕτερός τις πεποιήκει τὰ ἐν νόμῳ προστεταγμένα, ἦν ἂν ἐκεῖνος ὁ Χριστός. Δύνασθαι δὲ καὶ ἑαυτοὺς ὁμοίως ποιήσαντας, χριστοὺς γενέσθαι· καὶ γὰρ καὶ αὐτὸν ὁμοίως ἄνθρωπον εἶναι πᾶσι λέγουσιν.

35 Θεόδοτος δέ τις ἦν Βυζάντιος, εἰσήγαγεν αἵρεσιν κενὴν, φάσκων τὰ περὶ μὲν τῆς τοῦ παντὸς ἀρχῆς σύμφωνα ἐκ μέρους τοῖς τῆς ἀληθοῦς ἐκκλησίας, ὑπὸ τοῦ θεοῦ πάντα ὁμολογῶν γεγονέναι· τὸν δὲ Χριστὸν ἐκ τῆς τῶν γνωστικῶν καὶ Κηρίνθου καὶ Ἐβίωνος σχολῆς ἀποσπάσας φάσκει τοιούτῳ τινὶ τρόπῳ πεφηνέναι, καὶ

52. Titulus Ἐβιωναῖοι.
55. Cod. δικαιοῦσθε.
56. Cod. δὲ δικαιῶσθαι.
58. Cod. μηδεὶς τῶν.
63. Titulus rubricatus Θεόσδοτος ὁ Βυζάντιος.
ib. Fort. εἰσήγαγε δ'.
64. Leg. καινήν.

τὸν μὲν Ἰησοῦν εἶναι ἄνθρωπον ἐκ παρθένου γεγενημένον, κατὰ βουλὴν τοῦ Πατρὸς, βιώσαντα δὲ κοινῶς πᾶσιν ἀνθρώποις καὶ εὐσεβέστατον γεγονότα, ὕστερον ἐπὶ τοῦ βαπτίσματος ἐπὶ τῷ Ἰορδάνῃ κεχωρηκέναι τὸν Χριστὸν ἄνωθεν κατεληλυθότα ἐν εἴδει περιστερᾶς, ὅθεν οὐ πρότερον τὰς δυνάμεις ἐν αὐτῷ ἐνηργηκέναι, ἢ ὥστε κατελθὸν ἀνεδείχθη ἐν αὐτῷ τὸ πνεῦμα, ὃ εἶναι τὸν Χριστὸν προσαγορεύει. Θεὸν δὲ οὐδέποτε τοῦτον γεγονέναι αὐτὸν θέλουσιν ἐπὶ τῇ καθόδῳ τοῦ Πνεύματος· ἕτεροι δὲ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν.

36 Διαφόρων δὲ γενομένων ἐν αὐτοῖς ζητήσεων, ἐπεχείρησέ τις καὶ αὐτὸς Θεόδοτος καλούμενος, τραπεζίτης τὴν τέχνην, λέγειν δύναμιν τινὰ τὸν Μελχισεδὲκ εἶναι μεγίστην, καὶ τοῦτον εἶναι μείζονα τοῦ Χριστοῦ· οὗ κατ'
101 r. εἰκόνα φάσκουσι τὸν Χριστὸν τυγχάνειν, καὶ αὐτοὶ ὁμοίως τοῖς προειρημένοις Θεοδοτιανοῖς ἄνθρωπον εἶναι λέγουσι τὸν Ἰησοῦν, καὶ κατὰ τὸν αὐτὸν λόγον, τὸν Χριστὸν εἰς αὐτὸν κατεληλυθέναι. Γνωστικῶν δὲ διάφοροι γνῶμαι, ὧν οὐκ ἄξιον καταριθμεῖν τὰς φλυάρους δόξας ἐκρίναμεν οὔσας πολλὰς ἀλόγους τε καὶ βλασφημίας γεμούσας, ὧν πάνυ σεμνότερον περὶ τὸ θεῖον οἱ φιλοσοφήσαντες ἀφ' Ἑλλήνων ἠνέχθησαν. Πολλῆς δὲ αὐτῶν συστάσεως κακῶν αἴτιος γεγένηται Νικόλαος, εἷς τῶν ἑπτὰ εἰς διακονίαν ὑπὸ τῶν ἀποστόλων κατασταθεὶς, ὃς ἀποστὰς τῆς κατ' εὐθεῖαν διδασκαλίας, ἐδίδασκεν ἀδιαφορίαν βίου τε καὶ γνώσεως, οὗ τοὺς μαθητὰς ἐνυβρίζοντας τὸ ἅγιον Πνεῦμα διὰ τῆς Ἀποκαλύψεως Ἰωάννης ἤλεγχε πορνεύοντας καὶ εἰδωλόθυτα ἐσθίοντας.

74. Cod. ἢ ὥστε. Leg. ὅτε.
77. Fort. οὗτοι pro αὐτόν.
79. Titulus: Ἄλλος Θεόδοτος.
ib. Cod. πεχείρησε.
87. Fort. εἰσὶ γνῶμαι.
89. Fort. σεμνότεροι. Nisi vitium est in ἠνέχθησαν.
95. Cod. ἐνυβρίζον τό.
96. Cod. Ἰωάννου.

37 Κέρδων δέ τις καὶ αὐτὸς ἀφορμὰς ὁμοίως παρὰ τούτων λαβὼν καὶ Σίμωνος, λέγει τὸν ὑπὸ Μωσέως καὶ προφητῶν θεὸν κεκηρυγμένον μὴ εἶναι πατέρα Ἰησοῦ Χριστοῦ. Τοῦτον μὲν γὰρ ἐγνῶσθαι, τὸν δὲ τοῦ Χριστοῦ πατέρα εἶναι ἄγνωστον· καὶ τὸν μὲν εἶναι δίκαιον, τὸν δὲ ἀγαθόν. Τούτου δὲ τὸ δόγμα ἐκράτυνε Μαρκίων, τάς τε ἀντιπαραθέσεις ἐπιχειρήσας, καὶ ὅσα αὐτῷ ἔδοξεν εἰς τὸν τῶν ἀπάντων δημιουργὸν δυσφημήσας. Ὁμοίως τε καὶ Λουκιανὸς ὁ τούτου μαθητής.

38 Ἀπελλῆς δὲ ἐκ τούτων γενόμενος, οὕτως λέγει· εἶναι
101 v. τινὰ θεὸν ἀγαθὸν, καθὼς καὶ Μαρκίων ὑπέθετο· τὸν δὲ πάντα κτίσαντα εἶναι δίκαιον, ὃς τὰ γενόμενα ἐδημιούργησε, καὶ τρίτον τὸν Μωσεῖ λαλήσαντα, πύρινον δὲ τοῦτον εἶναι· εἶναι δὲ καὶ τέταρτον ἕτερον, κακῶν αἴτιον. Τούτους δὲ ἀγγέλους ὀνομάζει, νόμον δὲ καὶ προφήτας δυσφημεῖ, ἀνθρώπινα καὶ ψευδῆ φάσκων εἶναι τὰ γεγραμμένα· τῶν δὲ Εὐαγγελίων, ἢ τοῦ ἀποστόλου, τὰ ἀρέσκοντα αὐτῷ αἱρεῖται. Φιλουμένης δέ τινος λόγοις προσέχει ὡς προφήτιδος φανερῶς. Τὸν δὲ Χριστὸν ἐκ τῆς ὕπερθεν δυνάμεως κατεληλυθέναι, τουτέστι τοῦ ἀγαθοῦ, κἀκείνου αὐτὸν εἶναι υἱὸν, τοῦτον δὲ οὐκ ἐκ παρθένου γεγενῆσθαι, οὐδὲ ἄσαρκον εἶναι φανέντα λέγει, ἀλλ' ἐκ τῆς τοῦ παντὸς οὐσίας μεταλαβόντα μερῶν, σῶμα πεποιηκέναι, τουτέστι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, καὶ ἐν τούτῳ τῷ σώματι λαβόντα τὰς κοσμικὰς ἐξουσίας, βεβιωκέναι ὃν ἐβίωσε χρόνον ἐν κόσμῳ· αὖθις δὲ ὑπὸ Ἰουδαίων ἀνασκολοπισθέντα θανεῖν, καὶ μετὰ τρεῖς ἡμέρας ἐγερθέντα φανῆναι τοῖς μαθηταῖς, δείξαντα τοὺς τύπους τῶν ἥλων καὶ τῆς

98. Titulus Κέρδων καὶ Λουκιανός.
6. Cod. δυσφημίσας.
8. Cod. hic et titulus Ἀπελῆς.
12. Cod. τὲ καί.
23. Cod. λαθόντα.

πλευρᾶς, πείθοντα ὅτι αὐτὸς εἴη καὶ οὐ φάντασμα, ἀλλὰ ἔνσαρκος ἦν. Σάρκα, φησὶ, δείξας ἀπέδωκε γῇ, ἐξ ἧς περ ἦν οὐσίας, μηδὲν ἀλλότριον πλεονεκτῶν, ἀλλὰ πρὸς καιρὸν χρησάμενος, ἑκάστοις τὰ ἴδια ἀπέδωκε, λύσας πάλιν τὸν δεσμὸν τοῦ σώματος, θερμῷ τὸ θερμὸν, ψυχρῷ τὸ ψυχρὸν, ὑγρῷ τὸ ὑγρὸν, ξηρῷ τὸ ξηρὸν, καὶ οὕτως ἐπορεύθη πρὸς τὸν ἀγαθὸν πατέρα, καταλιπὼν τὸ τῆς ζωῆς σπέρμα εἰς τὸν κόσμον διὰ τῶν μαθητῶν τοῖς πιστεύουσι.

39 Δοκεῖ ἡμῖν καὶ ταῦτα ἱκανῶς ἐκτεθεῖσθαι· ἀλλ' ἐπεὶ
102 r. μηδὲν παραλιπεῖν ἀνέλεγκτον ἐκρίναμεν τῶν ὑπό τινων δεδογματισμένων, ἴδωμεν τί καὶ τὸ τοῖς Δοκήταις ἐπινενοημένον.

30. Cod. ἀλτριον. 39. Cod. τὸ τῆς.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Η΄.

1 ΤΑΔΕ ἔνεστιν ἐν τῇ ὀγδόῃ τοῦ κατὰ πασῶν αἱρέσεων Ἐλέγχου.

2 Τίνα τοῖς Δοκήταις τὰ δοκοῦντα, καὶ ὅτι ἐκ φυσικῆς φιλοσοφίας ἃ λέγουσιν ἐδογμάτισαν.

3 Πῶς ὁ Μονόϊμος ληροῖ ποιηταῖς καὶ γεωμέτραις καὶ ἀριθμητικοῖς προσεχων.

4 Πῶς Τατιανὸς γεγένηται ἐκ τῶν Οὐαλεντιανοῦ καὶ Μαρκίωνος δόξας ἑαυτὸν συνιστᾷν. Ὁ δὲ Ἑρμογένης τοῖς Σωκράτους δόγμασι κέχρηται, οὐ τοῖς Χριστοῦ.

5 Πῶς πλανῶνται οἱ τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἐπιτελεῖν φιλονεικοῦντες.

6 Τίς ἡ πλάνη τῶν Φρυγῶν, νομιζόντων Μοντανὸν καὶ Πρισκίλλαν καὶ Μαξιμίλλαν προφήτας.

7 Τίς ἡ τῶν Ἐγκρατητῶν κενοδοξία, καὶ ὅτι ἐξ αὐτῶν καὶ οὐκ ἐξ Ἁγίων Γραφῶν τὰ δόγματα αὐτῶν συνέστηκεν, ἀλλ' ἐκ τῶν παρ' Ἰνδοῖς Γυμνοσοφιστῶν.

8 Ἐπεὶ οἱ πολλοὶ τῇ τοῦ Κυρίου συμβουλίᾳ μὴ χρώμενοι, τὴν δοκὸν ἐν τῷ ὀφθαλμῷ ἔχοντες, ὁρᾶν ἐπαγ-

3. Codicis accentum variantem in Δοκῆται et Δοκηταί servavimus.

5. Secunda manus correxit ὁ μὲν Νόϊμος.

7. Fort. αἱρετικὸς γεγένηται.

8. Fort. ἑαυτῷ συνιστῶν.

14. Delenda ἐξ αὐτῶν καί.

18. S. Matth. V, 3 et 4.

γέλλονται τυφλώττοντες, δοκεῖ ἡμῖν μηδὲ τὰ τούτων δόγματα σιωπᾶν, ὅπως κἂν διὰ τοῦ ὑφ' ἡμῶν γινομένου ἐλέγχου πρὸς αὐτῶν αἰδεσθέντες ἐπιγνῶσι πῶς συνεβούλευσεν ὁ Σωτὴρ ἐξαιρεῖν τὴν δοκὸν πρῶτον, εἶτα διαβλέπειν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ. Αὐτάρκως οὖν καὶ ἱκανῶς ἐκθέμενοι τὰ τῶν πλειόνων ἐν ταῖς πρὸ ταύτης βίβλοις ἑπτὰ, νῦν τὰ ἀκόλουθα οὐ σιωπήσομεν, τὸ ἄφθονον τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος ἐπιδεικνύντες, καὶ τοὺς τῷ δοκεῖν ἀσφάλειαν λόγων κεκτῆσθαι ἐλέγξομεν, οἳ ἑαυτοὺς Δοκητὰς ἀπεκάλεσαν δογματίζοντες ταῦτα· θεὸν εἶναι τὸν πρῶτον, οἱονεὶ σπέρμα συκῆς μεγέθει μὲν ἐλάχιστον παντελῶς,
102 v. δυνάμει δὲ ταπεινὸν, μέγεθος ἀνήριθμον ἐν πλήθει, πρὸς γένεσιν ἀπροσδεὲς, φοβουμένων καταφυγὴ, γυμνῶν σκέπη, αἰσχύνης ἐπικάλυμμα, ζητούμενος καρπὸς, ἐφ' ὃν ἦλθεν ὁ ζητῶν, φησὶ, τρὶς καὶ οὐχ εὗρε, διὸ κατηράσατο, φησὶ, τῇ συκῇ, ὅτι τὸν γλυκὺν ἐκεῖνον καρπὸν οὐχ εὗρεν ἐν αὐτῇ καρπὸν ζητούμενον. Τοιούτου δὲ ὄντος ὡς εἰπεῖν τύπῳ καὶ τηλικούτου, μικροῦ καὶ ἀμεγέθους, κατ' ἐκείνους τοῦ Θεοῦ γέγονεν ὁ κόσμος, ὡς ἐκείνοις δοκεῖ, τοιοῦτον τινὰ τρόπον· ἁπαλῶν γενομένων τῶν κλάδων τῆς συκῆς, προῆλθε φύλλα ὥσπερ ἐστὶν ὁρώμενον, ἑπομένως δὲ ὁ καρπὸς, ἐν ᾧ τὸ ἄπειρον καὶ τὸ ἀνεξαρίθμητον θησαυριζόμενον φυλάσσεται σπέρμα συκῆς. Τρία οὖν εἶναι δοκοῦμεν τὰ πρώτως ὑπὸ τοῦ σπέρματος γενόμενα τοῦ συκίνου, πρέμνον, ὅπερ ἔστιν ἡ συκῆ, φύλλα καὶ καρπὸς τὸ σῦκον, ὡς προειρήκαμεν. Οὕτως, φησὶ, τρεῖς γεγόνασιν αἰῶνες, ἀπὸ τῆς πρώτης

19. Cod. ἐπαγγέλονται.
28. Excidit οἰομένους vel tale quid. Cod. οἷς ἑαυτούς.
29. Fort. τὸ πρ.
30. Cod. οἱωνεί.
33. Cod. ἐπικάλυμα.
36. καρπὸν aut delendum aut in τὸν mutandum.
37. Codex τόπῳ et καὶ μεγέθους.
46. Cod. οὗτος.

ἀρχῆς τῶν ὅλων ἀρχαί· καὶ τοῦτο, φησὶν, οὐκ ἐσιώπησεν οὐδὲ Μωϋσῆς λέγων, ὅτι οἱ λόγοι τοῦ θεοῦ τρεῖς εἰσὶν, σκότος, "γνόφος, θύελλα, καὶ οὐ προσέθηκεν." Οὐδὲν γὰρ, φησὶν, ὁ Θεὸς τοῖς τρισὶ προσέθηκεν αἰῶσιν, ἀλλ' αὐτοὶ πάντα τοῖς γενητοῖς πᾶσιν ἐπήρκεσαν, καὶ ἐπαρκοῦσι. Μένει δὲ ὁ Θεὸς αὐτὸς καθ' ἑαυτὸν πολὺ τῶν τριῶν αἰώνων κεχωρισμένος. Τούτων, φησὶ, τῶν αἰώνων ἀρχὴν γενέσεως λαβὼν, ὡς λέλεκται, κατ' ὀλίγον ηὔξησε καὶ ἐμεγαλύνθη καὶ ἐγένετο τέλειος. Τὸ δὲ τέλειον εἶναι δοκοῦσιν ἀριθμούμενον δέκα. Ἴσων οὖν γεγονότων ἀριθμῷ καὶ τελειότητι τῶν αἰώνων, ὡς ἐκεῖνοι δοκοῦσι, τριάκοντα γεγόνασιν αἰῶνες οἱ πάντες, ἕκαστος αὐτῶν ἐν δεκάδι πληρούμενος. Εἰσὶ δὲ ἀλλήλων διαιρετικοὶ τιμὴν ἔχοντες οἱ τρεῖς πρὸς ἑαυτοὺς μίαν, θέσει μόνῃ διαφέροντες, ὅτι τὸ μὲν ἔστι πρῶτον, τὸ δὲ δεύ-
103 r. τερον, τὸ δὲ τούτων τρίτον. Ἡ δὲ θέσις αὐτοῖς διαφορὰν δυνάμεως παρέσχεν· ὁ μὲν γὰρ ἔγγιστα τῷ πρώτῳ θεῷ, τῷ οἱονεὶ σπέρματι θέσεως, τυχὸν τῶν ἄλλων γονιμωτέραν ἔσχε δύναμιν, δεκάκις αὐτὸς αὐτὸν μεγέθει μετρήσας ὁ ἀμέτρητος· ὁ δὲ τῇ θέσει τοῦ πρώτου γενόμενος δεύτερος, ἑξάκις αὐτὸν κατέλαβεν ὁ ἀκατάληπτος· ὁ δὲ ἤδη τρίτος τῇ θέσει, εἰς ἄπειρον διάστημα διὰ τὴν αὔξησιν τῶν ἀδελφῶν γενόμενος, τρὶς νοήσας ἑαυτὸν, οἱονεὶ δεσμόν τινα τῆς ἑνότητος αὐτὸν ἔδησεν αἰώνιον.

9 Καὶ τοῦτο εἶναι δοκοῦσιν οὗτοι τὸ λελεγμένον ὑπὸ τοῦ Σωτῆρος· "Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, καὶ πεσὸν εἰς τὴν γῆν τὴν καλὴν καὶ ἀγαθὴν, ἐποίει ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα." Καὶ διὰ τοῦτο

48. Deuteron. V, 22.
49. Cod. θύελα.
57. Cod. ἀριθμῶν.
60. Fort. διαιρετοὶ καὶ τιμ.
73. S. Matth. XIII, 3 et 8.
74. Excidit τὸ σπέρμα.

εἴρηκε, φησὶν, "Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω," ὅτι ταῦτα οὐκ ἔστι πάντως ἀκούσματα. Οὗτοι πάντες οἱ αἰῶνες οἵ τε τρεῖς καὶ οἱ ἀπ' αὐτῶν ἀπειράκις ἄπειροι πάντες, εἰσὶν αἰῶνες ἀρσενοθήλυες. Αὐξηθέντες οὖν καὶ μεγαλυνθέντες καὶ γενόμενοι οὗτοι πάντες ἐξ ἑνὸς ἐκείνου τοῦ πρώτου σπέρματος τῆς συμφωνίας αὐτῶν καὶ τῆς ἑνότητος οἱ πάντες εἰς ἕνα ὁμοῦ γενόμενοι αἰῶνα, τὸν μέσον αὐτῶν γέννημα κοινὸν οἱ πάντες ἐγέννησαν ἐκ παρθένου μιᾶς, τὸν ἐν μεσότητι Μαρίας σωτῆρα πάντων, ἰσοδύναμον κατὰ πάντα τῷ σπέρματι τῷ συκίνῳ, πλὴν ὅτι γενητὸς οὗτος· τὸ δὲ πρῶτον σπέρμα ἐκεῖνο ὅθεν γέγονεν ἡ συκῆ ἐστιν ἀγένητον. Κεκοσμημένων οὖν τῶν τριῶν αἰώνων ἐκείνων παναρέτως καὶ παναγίως, ὡς δοκοῦσιν οὗτοι διδάσκοντες, καὶ τοῦ παιδὸς ἐκείνου τοῦ μονογενοῦς, (γέγονε γὰρ μόνος τοῖς ἀπείροις αἰῶσιν ἐκ τριγενοῦς· τρεῖς γὰρ αὐτὸν ἐγέννησαν ὁμοφρονοῦντες αἰῶνες ἀμέτρητοι·) κεκόσμητο μὲν ἀνενδεὴς πᾶσα ἡ νοητὴ φύσις, φῶς δὲ ἦν ἅπαντα ἐκεῖνα τὰ νοητὰ καὶ αἰώνια· φῶς δὲ οὐκ ἄμορφον οὐδὲ ἀργὸν, οὐδὲ οἱονεί τινος ἐπιποιοῦντος δεόμενον, ἀλλὰ ἔχον ἐν ἑαυτῷ κατὰ τὸ πλῆθος τῶν ἀπειράκις ἀπείρων κατὰ τὸ παράδειγμα τῆς συκῆς,
103 v. ἀπείρους ἰδέας ζῴων τῶν ἐκεῖ πολυποικίλων, κατέλαμψεν ἄνωθεν εἰς τὸ ὑποκείμενον χάος. Τὸ δὲ φωτισθὲν ὁμοῦ καὶ μορφωθὲν ἐκείναις ἄνωθεν ταῖς πολυποικίλοις ἰδέαις, πῆξιν ἔλαβε καὶ ἀνεδέξατο τὰς ἰδέας τὰς ἄνωθεν ἁπάσας ἀπὸ τοῦ τρίτου αἰῶνος τοῦ τριπλασιάσαντος αὐτόν. Ὁ δὲ αἰὼν οὗτος ὁ τρίτος τοὺς χαρακτῆρας βλέπων πάντας ἀθρόως τοὺς ἑαυτοῦ εἰς τὸ ὑποκείμενον κάτω σκότος κατειλημμένους, τήν τε δύναμιν τοῦ σκότους οὐκ ἀγνοῶν

76. S. Matth. ib., 9.
77. Leg. videtur πάντων ἀκ.
83. Cod. γένημα—ἐγένησαν.
87. Cod. καικεκοσμιμένων.
92. Cod. ἀμέτριτοι.
96. Fort. καὶ κατά.

καὶ τὸ ἀσφαλὲς τοῦ φωτὸς ὁμοῦ καὶ ἄφθονον, οὐκ εἴασεν ἐπὶ πολὺ τοὺς φωτεινοὺς χαρακτῆρας ἄνωθεν ὑπὸ τοῦ σκότους κάτω κατασπασθῆναι· ἀλλὰ γὰρ ὑπέταξε τοῖς αἰῶσι. Στερεώσας οὖν κάτωθεν, "καὶ διεχώρισεν ἀνὰ μέσον τοῦ σκότους καὶ ἀνὰ μέσον τοῦ φωτός. Καὶ ἐκάλεσε τὸ φῶς ἡμέραν, ὃ ἦν ὑπεράνω τοῦ στερεώματος, καὶ τὸ σκότος ἐκάλεσε νύκτα." Πάντων οὖν, ὡς ἔφην, τῶν ἀπείρων τοῦ τρίτου αἰῶνος ἰδεῶν ἀπειλημμένων ἐν τούτῳ τῷ κατωτάτῳ σκότῳ, καὶ αὐτοῦ τοῦ τοιούτου αἰῶνος, ἐναπεσφράγισται μετὰ τῶν λοιπῶν τὸ ἐκτύπωμα πῦρ ζῶν ἀπὸ φωτὸς γενόμενον, ὅθεν ὁ μέγας ἄρχων ἐγένετο, περὶ οὗ λέγει Μωϋσῆς, "Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν." Τοῦτον λέγει Μωϋσῆς πύρινον θεὸν ἀπὸ τοῦ βάτου λαλήσαντα, τουτέστιν ἀπὸ τοῦ σκοτεινοῦ ἀέρος. Βάτος γάρ ἐστι πᾶς ὁ σκότει ὑποκείμενος ἀὴρ, βάτον δὲ, φησὶν, εἴρηκε Μωϋσῆς, ὅτι ἄνωθεν κάτω πᾶσαι διέβησαν τοῦ φωτὸς αἱ ἰδέαι, βάτον ἔχουσαι τὸν ἀέρα· οὐδὲν δὲ ἧττον καὶ ἡμῖν ὁ λόγος ἀπὸ τοῦ βάτου γνωρίζεται· φωνὴ γάρ ἐστι σημαντικὴ τοῦ λόγου πλησσόμενος ἀὴρ, οὗ δίχα λόγος ἀνθρώπινος οὐ γνωρίζεται. Οὐ μόνον δὲ ὁ λόγος
104 r. ἡμῖν ἀπὸ τοῦ βάτου, τουτέστιν ἀέρος, νομοθετεῖ καὶ συμπολιτεύεται, ἀλλὰ γὰρ καὶ ὀσμαὶ καὶ χρώματα διὰ τοῦ ἀέρος ἡμῖν τὰς δυνάμεις τὰς ἑαυτῶν ἐμφανίζουσιν.

10 Οὗτος οὖν ὁ πυροειδὴς θεὸς ὁ πῦρ ἀπὸ φωτὸς γενόμενος πεποίηκε τὸν κόσμον οὕτως, ὡς φησὶ Μωϋσῆς, αὐτὸς ὢν ἀνυπόστατος, σκότος ἔχων τὴν οὐσίαν, ἐνυβρίζων ἀεὶ τοῖς κατειλημμένοις ἄνωθεν κάτω τοῦ

9. Genes. I, 4 et 5. Cod. διεχώρησεν.

14. Sic κατωτάτῳ codex cum iota subscripto, quod alibi negligit.

17. Genes. I, 1.

23. Ludit in verbali βατόν.

30. Voc. θεός exesum, sed compendii reliquiæ apparent.

φωτὸς αἰωνίοις χαρακτῆρσι. Μέχρι μὲν οὖν τῆς τοῦ Σωτῆρος φανερώσεως ὑπὸ τοῦ θεοῦ τοῦ φωτὸς τοῦ πυρώδους τοῦ δημιουργοῦ πολλή τις ἦν πλάνη τῶν ψυχῶν· ψυχαὶ γὰρ αἱ ἰδέαι καλοῦνται, ὅτι ἀποψυγεῖσαι τῶν ἄνω ἐν σκότει διατελοῦσι, μεταβαλλόμεναι ἐκ σωμάτων εἰς σώματα ὑπὸ τοῦ δημιουργοῦ φρουρούμενα. Ὅτι δὲ τοῦθ᾽ οὕτως ἔχει, φησὶν, ἔνεστι καὶ ἐκ τοῦ Ἰὼβ κατανοῆσαι λέγοντος· "Καὶ ἐγὼ πλανήτης καὶ τόπον ἐκ τόπων μεταβαίνουσα, καὶ οἰκίαν ἐξ οἰκίας." Καὶ τοῦ Σωτῆρος λέγοντος, "Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἡλίας ὁ μέλλων ἐρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω." Ἀπὸ δὲ τοῦ Σωτῆρος μετενσωμάτωσις πέπαυται· πίστις δὲ κηρύσσεται εἰς ἄφεσιν ἁμαρτιῶν. Τοιοῦτον τινὰ τρόπον ὁ μονογενὴς υἱὸς ἐκεῖνος, ὁ τῶν αἰώνων ἄνωθεν τὰς ἰδέας βλέπων τὰς ἄνωθεν μεταβαλλομένας ἐν τοῖς σκοτεινοῖς σώμασι, ῥύσασθαι κατελθὼν ἠθέλησεν. Εἰδὼς δὲ ὅτι τὸ πλήρωμα τῶν ὅλων αἰώνων οὐδὲ οἱ αἰῶνες οἱ ἀθρόον ἰδεῖν ὑπομένουσιν, ἀλλὰ καταπλαγέντες οἱ φθαρτοὶ φθορὰν ὑπομένουσι, μεγέθει καὶ δόξῃ δυνάμεως κατειλημμένοι, συστείλας ἑαυτὸν ὡς ἀστραπὴν μεγίστην ἐν ἐλαχίστῳ σώματι, μᾶλλον δὲ ὡς φῶς ὄψεως ὑπὸ τοῖς βλεφάροις συνεσταλμένον ἐξικνεῖται μέχρις οὐρανοῦ, καὶ τῶν ἀστέρων ἐπιφαυσάντων, ἐκεῖ
104 v. πάλιν ἑαυτὸν συστέλλει ὑπὸ τοῖς βλεφάροις τῆς ὄψεως ὅτε βούλεται, καὶ τοῦτο ποιοῦν τὸ φῶς τῆς ὄψεως, καὶ πανταχῆ γινόμενον καὶ πάντα, ἡμῖν ἐστιν ἀφανὲς, μόνον δὲ ὁρῶμεν ἡμεῖς ὄψεως βλέφαρα, κανθοὺς λευκοὺς, ὑμένας ῥὶν πολύπτυχον πολυκτηδόνα, χιτῶνα κερατο-

40. Cod. ἔνεστι.
41. Fort. πλανῆτις. Scripturæ locum non reperi.
43. Matth. XI, 14 et 15.
51. Delendum prius οἱ, nisi fort. in αὐτοί mutandum.
56. Cod. ἐπιψαυσάντων.
61. Fort. ὑμένα εὐρύν.
ib. Cod. πολυκτηνον, eadem manu mutatum in πολυκτηνδόνα.

ειδῆ, ὑπὸ δὲ τοῦτον κόρην ῥαγοειδῆ, ἀμφιβληστροειδῆ, δισκοειδῆ, καὶ εἴ τινες ἄλλοι τοῦ φωτὸς τῆς ὄψεως εἰσὶ χιτῶνες, οὓς ἐστολισμένη κέκρυπται. Οὕτως, φησὶν, ὁ μονογενὴς παῖς ἄνωθεν αἰώνιος ἐπενδυσάμενος κατὰ ἕνα ἕκαστον τοῦ τρίτου αἰῶνες αἰῶνα, καὶ γενόμενος ἐν τριακοντάδι αἰώνων, εἰσῆλθεν εἰς τὸν δέκατον κόσμον τηλικοῦτος ὢν, ἡλίκον εἴπομεν, ἀφανὴς, ἄγνωστος, ἄδοξος, ἀπιστούμενος· ἵν' οὖν, φασὶν οἱ Δοκῆται, καὶ τὸ σκότος ἐπενδύσηται τὸ ἐξώτερον τὴν σάρκα, φησὶν, ἄγγελος συνοδεύσας αὐτῷ ἄνωθεν, τὴν Μαριὰμ εὐηγγελίσατο, φησὶν, ὡς γέγραπται. Ἐγεννήθη τὸ ἐξ αὐτῆς ὡς γέγραπται. Γεννηθὲν δὲ ἐνεδύσατο αὐτὸ ἄνωθεν ἐλθὼν, καὶ πάντα ἐποίησεν οὕτως, ὡς ἐν τοῖς Εὐαγγελίοις γέγραπται, ἐλούσατο εἰς τὸν Ἰορδάνην, ἐλούσατο δὲ τύπον καὶ σφράγισμα λαβὼν ἐν τῷ ὕδατι τοῦ γεγεννημένου σώματος ἀπὸ τῆς παρθένου, ἵν' ὅταν ὁ ἄρχων κατακρίνῃ τὸ ἴδιον πλάσμα θανάτῳ, τῷ σταυρῷ, αὐτὴ ἐκείνη ἐν τῷ σώματι τραφεῖσα, ἀπεκδυσαμένη τὸ σῶμα καὶ προσηλώσασα πρὸς τὸ ξύλον, καὶ θριαμβεύσασα δι' αὐτοῦ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ εὑρεθῇ γυμνὴ, ἀλλ' ἐνδύσηται τὸ ἐν τῷ ὕδατι, ὅτε ἐβαπτίζετο, ἀντὶ τῆς σαρκὸς ἐκείνης ἐκτετυπωμένον σῶμα. Τοῦτο ἔστι, φησὶν, ὃ λέγει ὁ Σωτὴρ, "Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν." Ἀπὸ τῶν τριάκοντα οὖν αἰώνων, τριάκοντα ἰδέας ἐνεδύσατο,
105 r. διὰ τοῦτο ἐπὶ τριάκοντα ἔτη γέγονεν ἐπὶ τῆς γῆς ὁ αἰώνιος ἐκεῖνος, ἑκάστου αἰῶνος ἰδίᾳ ἑνὶ αὐτῷ φανερούμενος.

66. Sic codex, quorum correctio dubia.
72. Cod. ἐγενήθη.
76 et 86. Cod. γεγενημ.
80. Cod. θριαμβεύσας.
84. Joann. III, 5 et 6.
89. Fort. ἑνὶ αὐτῶν (sc. τῶν ἐτῶν) φανερουμένου.

Εἴη δὲ καὶ ἀπὸ ἑκάστου τῶν τριάκοντα αἰώνων ἅπασα ἰδέα κατειλημμέναι ψυχαὶ, καὶ φύσιν ἔχει τούτων ἑκάστην ὃ ἦν τὸν κατὰ φύσιν Ἰησοῦν, ὃν ἐκεῖνος ὁ μονογενὴς ὁ αἰώνιος ἀπὸ τῶν αἰωνίων τόπων ἐνεδύσατο. Εἰσὶ δὲ οὗτοι διάφοροι· διὰ τοῦτο τοσαῦται αἱρέσεις ζητοῦσι τὸν Ἰησοῦν περιμαχήτως, καὶ ἔστι πάσαις οἰκεῖος αὐταῖς, ἄλλῃ δὲ ἄλλος ὁρώμενος ἀπ᾽ ἄλλου τύπου ἐφ᾽ ὃν ἕκαστα φέρεται, φησὶν, καὶ σπεύδει δοκοῦσα τοῦτον εἶναι μόνον, ὅς ἐστιν αὐτῆς συγγενὴς ἴδιος καὶ πολίτης, ὃν ἰδοῦσα πρῶτον ἴδιον ἐγνωρισμένως ἀδελφὸν, τοὺς δὲ ἄλλους νόθους. Οἱ μὲν οὖν ἐκ τῶν ὑποκάτω τόπων τὴν φύσιν ἔχοντες, τὰς ὑπὲρ αὐτοὺς ἰδέας τοῦ Σωτῆρος ἰδεῖν οὐ δύνανται· οἱ δὲ ἄνωθεν, φησὶν, ἀπὸ τῆς δεκάδος τῆς μέσης καὶ τῆς ὀγδοάδος τῆς ἀρίστης, ὅθεν ἐσμὲν ἡμεῖς, λέγουσιν, οὐκ ἐκ μέρους, ἀλλ᾽ ὅλον αὐτοὶ τὸν Ἰησοῦν τὸν Σωτῆρα ἴσασι, καὶ εἰσὶν ἄνωθεν τέλειοι μόνοι, οἱ δὲ ἄλλοι πάντες ἐκ μέρους.

11 Ταῦτα μὲν οὖν αὐτάρκη νομίζω εἶναι τοῖς εὖ πεφρονηκόσι πρὸς ἐπίγνωσιν τῆς τῶν Δοκητῶν πολυπλόκου καὶ ἀσυστάτου αἱρέσεως· οἳ πολλῆς μὲν ἀβάτου καὶ ἀκαταλήπτου λόγους ἐπικεχειρημένους ποιήσαντες, Δοκήτας ἑαυτοὺς προσηγόρευσαν. Ὧν οὐ τὸ δοκεῖν εἶναι τινὰς κατανοοῦμεν ματαΐζοντας, ἀλλὰ τὴν ἐκ τοσαύτης ὕλης δοκὸν ἐν ὀφθαλμῷ φερομένην διελέγχομεν, εἴ πως διαβλέψαι δυνηθῶσιν· εἰδοῦκαν τομηεντέρους τυφλῶσαι, ὧν τὸ δόγμα παλαιοὶ Ἑλλήνων σοφισταὶ προεσοφίσαντο, καὶ τὰ πολλὰ ὡς ἔστιν ἐπιγνῶναι τοὺς ἐντυγχά-

91. Initio aliquid excidisse videtur. Deinde fort. ἔχειν τούτων ἑκάστην οἷον τὸν κ.
96. Prius erat ἄλλως.
97. Fort. ἑκάστη.
99. Cod. πρῶτος.
9. Prius erat πολυπλόκων.
10. Pro πολλῆς fort. ἀπὸ δόξης.
11. Cod. δοκῆτας.
13. Cod. ματαΐζοντας.
15. Fort. εἰ δὲ (pro εἰ δὲ μὴ), οὐκ ἂν τοὺς ἡμετέρους τυφλώσαιεν.

νοντας. Ταῦτα μὲν οὖν τοῖς Δοκηταῖς τὰ δόξαντα.
105 v. Τίνα δὲ καὶ Μονοΐμῳ δοκεῖ οὐ σιωπήσομεν.

12 Μονόϊμος ὁ Ἄραψ μακρὰν τῆς τοῦ μεγαλοφώνου ποιητοῦ δόξης γεγένηται, τοιοῦτον τινὰ τὸν ἄνθρωπον νομίσας, ὁποῖον ὁ ποιητὴς τὸν Ὠκεανὸν, οὕτω πως λέγων,

ὠκεανὸς γένεσίς τε θεῶν γένεσίς τ᾽ ἀνθρώπων.

Ταῦτα ἄλλοις λόγοις μεταστήσας λέγει ἄνθρωπον εἶναι τὸ πᾶν· ἔστιν ἀρχὴ τῶν ὅλων, ἀγένητον, ἄφθαρτον, ἀΐδιον, καὶ υἱὸν ἀνθρώπου τοῦ προειρημένου, γενητὸν καὶ παθητὸν, ἀχρόνως γενόμενον, ἀβασιλεύτως, ἀπροορίστως. Τοιαύτη γὰρ, φησὶν, ἡ δύναμις ἐκείνου τοῦ ἀνθρώπου. Οὕτως ὄντος αὐτοῦ, τῇ δυνάμει γενέσθαι τὸν υἱὸν λογισμοῦ καὶ βουλήσεως τάχιον. Καὶ τοῦτο ἔστι, φησὶ, τὸ εἰρημένον ἐν ταῖς Γραφαῖς· Ἦν καὶ ἐγένετο, ὅπερ ἐστὶν ὃ ἦν ἄνθρωπος, καὶ ἐγένετο υἱὸς αὐτοῦ, ὥς τις εἴποι, ἦν πῦρ καὶ ἐγένετο φῶς, ἀχρόνως καὶ ἀβουλήτως καὶ ἀπροορίστως ἅμα τῷ εἶναι τὸ πῦρ. Ὁ δὲ ἄνθρωπος οὗτος μία μονὰς ἐστὶν ἀσύνθετος, ἀδιαίρετος, συνθετὴ, διαιρετὴ, πάντα φίλη, πάντα εἰρηνικὴ, πάντα μαχίμη, πάντα πρὸς ἑαυτην πολέμιος, ἀνόμοιος, ὁμοία, οἱονεί τις ἁρμονία μουσικὴ πάντα ἔχουσα ἐν ἑαυτῇ, ὅσα ἄν τις εἴπῃ καὶ παραλείπῃ μὴ νοήσας, πάντα ἀναδεικνύουσα, πάντα γεννῶσα. Αὕτη μήτηρ, αὕτη πατὴρ, τὰ δύο ἀθάνατα ὀνόματα. Ὑποδείγματος δὲ χάριν τοῦ τελείου ἀνθρώπου κατανόει, φησὶ, μεγίστην εἰκόνα ἰῶτα ἓν, τὴν μίαν κεραίαν ἥτις ἐστὶ κεραία μία, ἀσύνθετος, ἁπλῆ, μονὰς εἰλικρινὴς ἐξ οὐδενὸς ὅλως τὴν σύνθεσιν ἔχουσα, συνθετὴ, πολυειδὴς, πολυσχεδὴς, πολυμερὴς ἢ ἀμερής.

20. Titulus Μονόϊμος.
23. Hom. Il. Ξ, 201, 246.
25. Fort. ὅ ἐστιν.
27. Pro ἀβασιλεύτως legendum ἀβουλήτως.
31. Joann. Ev. initio.
32. Debebat ὡς ἄν τις εἴποι.
36. Cod. εἰρηνηκή.
38. Cod. ὡς ἄν.

Ἐκείνη μία, φησὶν, ἔστιν ἡ πολυπρόσωπος καὶ μυριόμματος καὶ μυριώνυμος μία τοῦ ῑ κεραία, ἥτις ἐστὶν εἰκὼν τοῦ τελείου ἀνθρώπου ἐκείνου τοῦ ἀοράτου.

13 Ἔστιν οὖν, φησὶν, ἡ μονὰς ἡ μία κεραία καὶ δεκάς· 106 r. δύναμις γὰρ αὐτῇ τὸ ῑ τῆς μιᾶς κεραίας καὶ δυὰς καὶ τριὰς καὶ τετρὰς καὶ πεντὰς καὶ ἑξὰς καὶ ἑπτὰς, καὶ ὀγδοὰς, καὶ ἐννεὰς μέχρι τῶν δέκα. Οὗτοι γὰρ, φησὶν, εἰσὶν οἱ πολυσχεδεῖς ἀριθμοὶ ἐν ἐκείνῃ κατοικοῦντες τῇ ἁπλῇ καὶ ἀσυνθέτῳ τοῦ ἰῶτα κεραίᾳ μιᾷ. Καὶ τοῦτο ἐστὶ τὸ εἰρημένον, ὅτι "πᾶν τὸ πλήρωμα ηὐδόκησε κατοικῆσαι ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου" σωματικῶς· αἱ γὰρ τοιαῦται τῶν ἀριθμῶν συνθέσεις ἐξ ἁπλῆς καὶ ἀσυνθέτου τῆς μιᾶς κεραίας τοῦ ἰῶτα, σωματικαὶ γεγόνασι, φησὶν, ὑποστάσεις. Γέγονεν οὖν, φησὶν, ἀπὸ τοῦ τελείου ἀνθρώπου ὁ υἱὸς τοῦ ἀνθρώπου, ὃν ἔγνωκεν οὐδεὶς, φαντάζεται δὲ, φησὶν, εἰς γέννημα θηλείας ἡ κτίσις πᾶσα τὸν υἱὸν ἀγνοοῦσα, οὗ υἱοῦ καί τινες ἀμυδραὶ πάνυ ἐμπελάζουσαι τῷδε τῷ κόσμῳ συνέχουσι καὶ συγκρατοῦσι τὴν μεταβολὴν, τὴν γένεσιν. Τὸ δὲ κάλλος ἐκείνου τοῦ υἱοῦ τοῦ ἀνθρώπου μέχρι νῦν πᾶσιν ἐστὶν ἀκατάληπτον ἀνθρώποις, ὅσοι περὶ τὸ γέννημα τῆς θηλείας εἰσὶ πεπλανημένοι. Γέγονεν οὖν, φησὶν, ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου οὐδὲν τῶν ἐνθάδε, οὐδὲ ἔσται πώποτε. Τὰ δὲ γεγονότα πάντα οὐκ ἀπὸ ὅλου ἀλλὰ ἀπὸ μέρους τινὸς γέγονε τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Ἔστι γὰρ, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἰῶτα ἐν μιᾷ κεραίᾳ, ῥυείσῃ ἄνωθεν· πλήρεις ἀποπληροῦσα πάντας, ἔχουσα ἐν ἑαυτῇ ὅσα καὶ ὁ ἄνθρωπος ἔχει ὁ πατὴρ τοῦ υἱοῦ τοῦ ἀνθρώπου.

14 Γέγονεν οὖν κόσμος, ὥς φησι Μωϋσῆς, ἐν ἓξ ἡμέραις,

52. Cod. καὶ ἐνάς.
54. Cod. μία.
55. Coloss. I, 19, unde correxi codicis παντὸς πλ.
61. Cod. γένημα. Sic et 66, 97.
62. Corrigendum ἀκτῖνες ἀμυδραί.
72. Fort. πλήρης.

τουτέστιν ἐν ἓξ δυνάμεσι ταῖς ἐν τῇ μιᾷ κεραίᾳ τοῦ ἰῶτα· ἑβδόμη κατάπαυσις καὶ σαββάτου ἀπὸ τῆς ἑβδομάδος γέγονε τῆς ἐκεῖ γῆς καὶ ὕδατος καὶ πυρὸς καὶ ἀέρος, ἐξ ὧν ὁ κόσμος ἀπὸ τῆς κεραίας γέγονε τῆς μιᾶς. Οἵ τε γὰρ κύβοι καὶ τὰ ὀκτάεδρα καὶ πυραμίδες, καὶ πάντα
106 v. τὰ τούτοις παραπλήσια σχήματα, ἐξ ὧν συνέστηκε πῦρ, ἀὴρ, ὕδωρ, γῆ, ἀπὸ τῶν ἀριθμῶν γεγόνασι τῶν κατειλημμένων ἐν ἐκείνῃ τῇ ἁπλῇ τοῦ ἰῶτα κεραίᾳ, ἥτις ἐστὶν υἱὸς ἀνθρώπου τελείου τέλειος. Ὅταν οὖν, φησὶν, ῥάβδον λέγῃ Μωϋσῆς στρεφομένην ποικίλως εἰς τὰ πάθη τὰ κατὰ τὴν Αἴγυπτον, ἅτινα, φησὶν, ἐστὶ τῆς κτίσεως ἀλληγόρου σύμβολα, οὐκ εἰς πλείονα πάθη τῶν δώδεκα σχηματίζει τὴν ῥάβδον ἥτις ἐστιν ῑ μία κεραία, διπλῆ, ποικίλη. Αὕτη, φησὶν, ἐστὶν ἡ δεκάπληγος ἡ κοσμικὴ κτίσις· πάντα γὰρ πλησσόμενα γεννᾶται καὶ καρποφορεῖ καθάπερ αἱ ἄμπελοι. Ἄνθρωπος ἐξ ἀνθρώπου ἐξέσυται, φησὶ, καὶ ἀποσπᾶται πληγῇ τινι μεριζόμενος, ἵνα γένηται καὶ εἴπῃ νόμον ὃν ἔθηκε Μωϋσῆς παρὰ θεοῦ λαβών. Κατὰ τὴν κεραίαν ἐκείνην ὁ νόμος ἐστὶ τὴν μίαν ἡ δεκάλογος ἀλληγοροῦσα τὰ θεῖα τῶν λόγων μυστήρια. Πᾶσα γὰρ, φησὶν, ἡ γνῶσις τῶν ὅλων δεκάπληγός ἐστι καὶ δεκάλογος, ἣν οἶδεν οὐδεὶς τῶν περὶ τὸ γέννημα τῆς θηλείας πεπλανημένων. Κἂν εἴπῃς πεντάτευχον ὅλον τὸν νόμον, ἔστιν ἀπὸ τῆς πεντάδος τῆς ἐν τῇ μιᾷ κατειλημμένης κεραίᾳ. Τὸ δὲ ὅλον ἔστι, φησὶ, τοῖς μὴ πεπληρωμένοις παντελῶς τὴν διάνοιαν μυστήριον, καινὴ καὶ μὴ παλαιουμένη ἑορτὴ, νόμιμος, αἰώνιος, εἰς τὰς γενεὰς ἡμῶν κυρίου τοῦ Θεοῦ πάσχα διατηρούμενον τοῖς δυναμένοις βλέπειν, ἐναρχο-

76. Fort. σάββατον.
84. Exod. VII. Cod. ῥάυδον (sic).
86. Cod. ἀληγόρου. Fort. ἀλληγορούμενα.
87. Cod. σχηματίζῃ—τὴν ῥάυδον.
89. Cod. πλεισσόμενα.

μένης τῆς δεκάτης, ἥτις ἐστὶν ἀρχὴ δεκάδος ἀφ' ἧς, φησὶν, ἀριθμοῦσιν. Ἡ γὰρ μονὰς ἕως τῆς τεσσαρεσκαιδεκάτης ἐστὶ τὸ κεφάλαιον τῆς μιᾶς τοῦ τελείου ἀριθμοῦ. Τό τε γὰρ ἓν δύο τρία τέσσαρα γίνεται δέκα, ὅπερ ἐστὶν ἡ μία κεραία. Ἀπὸ δὲ τῆς τεσσαρεσκαιδεκάτης, φησὶν, ἕως μιᾶς καὶ εἰκάδος ἑβδομάδα λέγει ὑπάρχουσαν ἐν τῇ μιᾷ κεραίᾳ, τοῦ κόσμου τὴν κτίσιν ἄζυμον ἐν τούτοις ἅπασιν. Εἰ γὰρ δεηθείη, φησὶν, ἡ μία κεραία οὐσίας τινὸς οἱονεὶ
107 r. ζύμης ἔξωθεν εἰς τὸ Πάσχα τοῦ Κυρίου, τὴν αἰώνιον ἑορτὴν ἥτις ἐστὶν εἰς τὰς γενεὰς δεδομένη· ὅλος γὰρ ὁ κόσμος καὶ πάντα τῆς κτίσεως αἴτια, Πάσχα ἐστὶν ἑορτὴ Κυρίου· χαίρει γὰρ ὁ θεὸς τῆς κτίσεως τῇ μεταβολῇ, ἥτις ὑπὸ τῶν δέκα αὐλιτῶν τῆς κεραίας ἐνεργεῖται τῆς μιᾶς, ἥτις ἐστὶ Μωσέως ῥάβδος ὑπὸ τοῦ θεοῦ δεδομένη, ἣν τοῖς Αἰγυπτίοις πλήσσειν μεταβάλλειν τὰ σώματα, καθάπερ τὴν χεῖρα Μωσέως, τὸ ὕδωρ εἰς αἷμα, καὶ τὰ λοιπὰ τούτοις παραπλησίως· ἀκρίδας, ὅπερ ἔστι χόρτος, τῶν στοιχείων εἰς σάρκα μεταβολὴν λέγει· "πᾶσα γὰρ σὰρξ χόρτος," φησίν. Οὐδὲν δὲ ἧττον καὶ τὸν ὅλον νόμον οἱ ἄνδρες οὗτοι τοιοῦτόν τινα τρόπον ἐκδέχονται, τάχα που κατακολουθήσαντες, ὡς ἐγὼ δοκῶ, Ἑλλήνων τοῖς λέγουσιν οὐσίαν εἶναι καὶ ποιὸν καὶ ποσὸν καὶ πρός τι καὶ ποῦ καὶ πότε, καὶ κεῖσθαι καὶ ποιεῖν καὶ ἔχειν καὶ πάσχειν.

15 Τοιγαροῦν Μονόϊμος αὐτὸς ἐν τῇ πρὸς Θεόφραστον ἐπιστολῇ διαρρήδην λέγει, καταλιπὼν ζητεῖν θεὸν καὶ κτίσιν, καὶ τὰ τούτοις παραπλήσια· "Ζήτησον αὐτὸν ἀπὸ ἑαυτοῦ, καὶ μάθε, τίς ἐστιν ὁ πάντα ἁπαξαπλῶς ἐν σοὶ

5. Cod. εἴτις.
7. Excidit vox κεραίας.
17. An δέκα ὑλῶν?
18. Cod. ῥάνδος.
19. Cod. ἣ τῆς. Fort. πλήξει μεταβ.
22. Fort. [τὴν] τῶν. Jesai. XL, 6.
26. Cod. πόσον.

ἐξιδιοποιούμενος, καὶ λέγων, ὁ θεός μου ὁ νοῦς μου, ἡ διάνοιά μου, ἡ ψυχή μου, τὸ σῶμά μου· καὶ μάθε πόθεν ἐστὶ τὸ λυπεῖσθαι καὶ τὸ χαίρειν καὶ τὸ ἀγαπᾶν καὶ τὸ μισεῖν καὶ τὸ γρηγορεῖν μὴ θέλοντα, καὶ τὸ νυστάζειν μὴ θέλοντα, καὶ τὸ ὀργίζεσθαι μὴ θέλοντα, καὶ τὸ φιλεῖν μὴ θέλοντα· καὶ ἂν ταῦτα, φησὶν, ἐπιζητήσῃς, ἀκριβῶς εὑρήσεις αὐτὸν ἐν ἑαυτῷ ἓν καὶ πολλὰ, κατὰ τὴν κεραίαν ἐκείνην ἀφ' ἑαυτοῦ τὴν διέξοδον εὑρών." Ταῦτα μὲν οὖν ἐκεῖνοι, οἷς οὐκ ἀνάγκην ἔχομεν τὰ παρ' Ἕλλησι προμεμεριμνημένα παρατιθέναι, οὖσι προδήλοις τοῖς ὑπ' αὐτῶν λεγομένοις [οἵαν] τὴν σύστασιν ἔχει, ἐκ
107 v. γεωμετρικῆς τέχνης καὶ ἀριθμητικῆς, ἣν γενναιότερον οἱ Πυθαγόρου μαθηταὶ διέθεντο, καθὼς ἔστι τοῖς ἐντυγχάνουσιν ἐπιγνῶναι ἐν τοῖς τόποις οἷς προδιηγησάμεθα περὶ πάσης σοφίας Ἑλλήνων. Ἀλλ' ἐπεὶ κατὰ Μονοΐμου αὐτάρκως διελήλεγκται, ἴδωμεν τίνα καὶ οἱ λοιποὶ τεχνάζονται, ἑαυτοῖς βουλόμενοι ὄνομα μάταιον ὑψοῦν.

16 Τατιανὸς δὲ καὶ αὐτὸς γενόμενος μαθητὴς Ἰουστίνου τοῦ μάρτυρος, οὐχ ὅμοια τῷ διδασκάλῳ ἐφρόνησεν, ἀλλὰ καινά τινα ἐπιχειρήσας, ἔφη αἰῶνας τινὰς παρὰ τοὺς ὁμοίως τοῖς ἀπὸ Οὐαλεντίνου μυθολογήσασι. Γάμον δὲ φθορὰν εἶναι παραπλησίως Μαρκίωνι λέγει. Τὸν δὲ Ἀδὰμ φάσκει μὴ σώζεσθαι, διὰ τὸ ἀρχηγὸν παρακοῆς γεγονέναι. Καὶ ταῦτα μὲν Τατιανός.

17 Ἑρμογένης δέ τις καὶ αὐτὸς νομίσας τι καινὸν φρονεῖν, ἔφη τὸν θεὸν ἐξ ὕλης συγχρόνου καὶ ἀγενήτου πάντα πεποιηκέναι. Ἀδυνάτως γὰρ ἔχειν τὸν θεὸν μὴ οὐκ ἐξ ὄντων τὰ γινόμενα ποιεῖν. Εἶναι δὲ τὸν θεὸν ἀεὶ κύριον καὶ ἀεὶ ποιητὴν, τὴν δὲ ὕλην ἀεὶ δούλην καὶ

43. Addidimus οἵαν. Possis etiam ὅθεν.

44. Cod. ἥν.

50. Titulus: Τατιανός.

53. Corrigendum μυθολογήσαντας.

57. Titulus: Ἑρμογένης.

γινομένην, οὐ πᾶσαν δὲ, ἀεὶ γὰρ ἀγρίως καὶ ἀτάκτως φερομένην ἐκόσμησε τούτῳ τῷ λόγῳ· δίκην χωνεύματος ὑποκαιομένου βράζουσαν ἰδὼν ἐχώρησε κατὰ μέρος. Καὶ τὸ μὲν ἐκ τοῦ παντὸς λαβὼν ἡμέρωσε, τὸ δὲ εἴασεν ἀτάκτως φέρεσθαι, καὶ τὸ ἡμερωθὲν τοῦτο εἶναι κόσμον λέγει· τὸ δὲ ἄγριον μένειν καὶ ὕλην καλεῖσθαι ἄκοσμον. Ταύτην οὐσίαν εἶναι τῶν ἁπάντων λέγει, ὡς καινὸν φέρων δόγμα τοῖς αὐτοῦ μαθηταῖς· οὐκ ἐνενόει δὲ ὅτι Σωκρατικὸς ὁ μῦθος οὗτος τυγχάνει, ὑπὸ Πλάτωνος
108 r. ἐξειργασμένος βέλτιον, ἢ ὑπὸ Ἑρμογένους. Τὸν δὲ Χριστὸν υἱὸν εἶναι ὁμολογεῖ τοῦ τὰ πάντα κτίσαντος θεοῦ, καὶ ὅτι ἐκ παρθένου γεγενῆσθαι καὶ Πνεύματος μὲν ὁμολογεῖ, κατὰ τὴν τῶν Εὐαγγελίων φωνὴν, ὃν μετὰ τὸ πάθος ἐγερθέντα ἐν σώματι πεφηνέναι τοῖς μαθηταῖς, καὶ ἀνερχόμενον εἰς τοὺς οὐρανοὺς, ἐν τῷ ἡλίῳ τὸ σῶμα καταλελοιπέναι, αὐτὸν δὲ πρὸς τὸν πατέρα πεπορεῦσθαι. Μαρτυρίᾳ δὲ χρᾶται νομίζων ὑπὸ τοῦ ῥητοῦ συνηγορεῖσθαι οὗπερ ὁ ψαλμῳδὸς Δαβὶδ λέγει· "Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν." Ταῦτα μὲν οὖν καὶ Ἑρμογένης ἐπεχείρει.

18 Ἕτεροι δέ τινες φιλόνεικοι τὴν φύσιν, ἰδιῶται τὴν γνῶσιν, μαχιμώτεροι τὸν τρόπον, συνιστάνουσι δεῖν τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνὸς φυ-

62. Cogites de καὶ γὰρ..., sed ἀεί est: ab æterno.

63. Excidit aliquid. Δίκην ... μέρος ipsa verba sunt Hermogenis.

ib. Cod. χ...τος, tribus literis evanidis; χώματος igitur scripserit librarius.

68. Cod. κενόν.

73. In cod. ὅτι magna parte exesum, sed apparet hoc fuisse, non τό. Quare mox γεγένηται scribendum.

74. Fort. συνομολογεῖ.

75. Cod. πεφηκέναι.

77. Cod. καταλελυπέναι.

80. Psalm. XVIII, 6.

84. Titulus: Περὶ τῶν τεσσαρεσκαιδεκατιτῶν.

85. Cod. συσταίνουσι.

λάσσειν κατὰ τὴν τοῦ νόμου διαταγὴν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐμπέσῃ, ὑφορώμενοι τὸ γεγραμμένον ἐν νόμῳ, ὡς ἐπικατάρατον ἔσεσθαι τὸν μὴ φυλάξαντα οὕτως [ὡς] διαστέλλεται· οὐ προσέχοντες ὅτι Ἰουδαίοις ἐνομοθετεῖτο τοῖς μέλλουσι τὸ ἀληθινὸν Πάσχα ἀναιρεῖν, τὸ εἰς ἔθνη χωρῆσαν, καὶ πίστει νοούμενον, οὐ γράμματι νῦν τηρούμενον. Οἳ μιᾷ ταύτῃ προσέχοντες ἐντολῇ, οὐκ ἀφορῶσιν εἰς τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου, ὅτι "διαμαρτύρομαι παντὶ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶ τοῦ πάντα τὸν
108 v. νόμον ποιῆσαι." Ἐν δὲ τοῖς ἑτέροις οὗτοι συμφωνοῦσι πρὸς πάντα τὰ τῇ Ἐκκλησίᾳ ὑπὸ τῶν ἀποστόλων παραδεδομένα.

19 Ἕτεροι δὲ καὶ αὐτοὶ αἱρετικώτεροι τὴν φύσιν, Φρύγες τὸ γένος, προληφθέντες ὑπὸ γυναίων ἠπάτηνται, Πρισκίλλης τινὸς καὶ Μαξιμίλλης καλουμένων, ἃς προφήτιδας νομίζουσιν. Ἐν ταύταις τὸ Παράκλητον πνεῦμα κεχωρηκέναι λέγοντες, καί τινα πρὸ αὐτῶν Μοντανὸν ὁμοίως δοξάζουσιν ὡς προφήτην, ὧν βίβλους ἀπείρους ἔχοντες πλανῶνται, μήτε τὰ ὑπ' αὐτῶν λελαλημένα λόγῳ κρίναντες, μήτε τοῖς κρῖναι δυναμένοις προσέχοντες, ἀλλ' ἀκρίτως τῇ πρὸς αὐτοὺς πίστει προσφέρονται, πλεῖόν τι δι' αὐτῶν φάσκοντες ὡς μεμαθηκέναι ἢ ἐκ νόμου καὶ προφητῶν καὶ τῶν Εὐαγγελίων. Ὑπὲρ δὲ ἀποστόλους καὶ πᾶν χάρισμα ταῦτα τὰ γύναια δοξάζουσιν, ὡς τολμᾶν πλεῖόν τι Χριστοῦ ἐν τούτοις λέγειν τινὰς αὐτῶν γεγονέναι. Οὗτοι τὸν μὲν πατέρα τῶν ὅλων θεὸν καὶ πάντων κτίστην ὁμοίως τῇ Ἐκκλησίᾳ ὁμολογοῦσι, καὶ ὅσα τὸ Εὐαγγέλιον περὶ τοῦ Χριστοῦ μαρτυρεῖ, καινίζουσί τε νηστείας καὶ ἑορτὰς καὶ ξηρο-

88. Cod. ὑφορούμενοι.
89. Addidi ὡς.
92. Cod. χωρήσαν. Scribendum videtur χωρῆσον.
94. Galat. V, 3.
99. Titulus rubricatus: Φρύγες.
9. Delendum ὡς.
16. Leg. δὲ pro τε.

φαγίας καὶ ῥαφανοφαγίας, φάσκοντες ὑπὸ τῶν γυναίων δεδιδάχθαι. Τινὲς δὲ αὐτῶν τῇ τῶν Νοητιανῶν αἱρέσει συντιθέμενοι τὸν πατέρα αὐτὸν εἶναι τὸν υἱὸν λέγουσι, καὶ τοῦτον ὑπὸ γένεσιν καὶ πάθος καὶ θάνατον ἐληλυθέναι. Περὶ τούτων αὖθις λεπτομερέστερον ἐκθήσομαι· πολλοῖς γὰρ ἀφορμὴ κακῶν γεγένηται ἡ τούτων αἵρεσις. Ἱκανὰ μὲν οὖν καὶ τὰ περὶ τούτων εἰρημένα κρίνομεν,
109 r. δι' ὀλίγων τὰ πολλὰ φλύαρα αὐτῶν βιβλία τε καὶ ἐπιχειρήματα πᾶσιν ἐπιδείξαντες ἀσθενῆ ὄντα καὶ μηδενὸς λόγου ἄξια, οἷς οὐ χρὴ προσέχειν τοὺς ὑγιαίνοντα νοῦν κεκτημένους.

20 Ἕτεροι δὲ ἑαυτοὺς ἀποκαλοῦντες Ἐγκρατίτας, τὰ μὲν περὶ τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ ὁμοίως καὶ τῇ Ἐκκλησίᾳ ὁμολογοῦσι· περὶ δὲ πολιτείαν πεφυσιωμένοι ἀναστρέφονται, ἑαυτοὺς διὰ βρωμάτων δοξάζειν νομίζοντες ἀπεχόμενοι ἐμψύχων, ὑδροποτοῦντες καὶ γαμεῖν κωλύοντες, καὶ τῷ λοιπῷ βίῳ καταξήρως προσέχοντες, μᾶλλον κυνικοὶ ἢ Χριστιανοὶ οἱ τοιοῦτοι κρινόμενοι, οὐ προσέχοντες τοῖς διὰ τοῦ ἀποστόλου Παύλου εἰς αὐτοὺς προειρημένοις, ὃς προφητεύων τὰ μέλλοντα ὑπό τινων μάτην καινίζεσθαι οὕτως ἔφη· "Τὸ δὲ πνεῦμα ῥητῶς λέγει· Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον. Ἁγι-

26, 27. Cod. τοῖς—κεκτημένος.
28. Titulus rubricatus: Ἐγκρατῖται.
32. Cod. ὑδρωπ.
36. Cod. προφητεύον.
37. 1 Timoth. IV, 1–5.

*ἄζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.” Ἱκανὴ μὲν οὖν αὕτη ἡ φωνὴ τοῦ μακαρίου Παύλου πρὸς ἔλεγχον τῶν οὕτως βιούντων καὶ σεμνυνομένων δικαίων εἰς τὸ δεῖξαι ὅτι καὶ τοῦτο αἵρεσις. Εἰ δὲ καὶ ἕτεραι τινὲς αἱρέσεις ὠνομάζοντο Καϊνῶν, Ὀφιτῶν ἢ Νοχαϊτῶν καὶ*
109 v. *ἑτέρων τοιούτων, οὐκ ἀναγκαῖον ἥγημαι τὰ ὑπ᾽ αὐτῶν λεγόμενα ἢ γινόμενα ἐκθέσθαι, ἵνα μὴ κἂν ἐν τούτῳ τινὰς αὑτοὺς ἢ λόγου ἀξίους ἡγῶνται. Ἀλλ᾽ ἐπεὶ καὶ τὰ περὶ τούτων αὐτάρκη δοκεῖ εἶναι, παρέλθωμεν ἐπὶ τὴν πᾶσι τῶν κακῶν αἰτίαν αἵρεσιν Νοητιανῶν, τήν τε ῥίζαν αὐτῆς ἀναπτύξαντες, καὶ τὸν ἐνδύνοντα οἱονεὶ φανερὸν ἐλέγξαντες, παύσωμεν τῆς τοιαύτης πλάνης τοὺς ἐπαγομένους ὑπὸ πνεύματος, βιαίου δίκην χειμάρρου.*

47. Cod. *προσελλέγχον.*
50. Cod. *ὀνομάζοντο.*
ib. Cod. *καινῶν.* Intelligit *Caianos*, qui Cain honorant.
53. Cod. *αὐτοὺς* et *ἡγίωμαι* (sic).
56. Pro *οἱονεί* fort. legendum *ὄφιν*, sive potius *ἰόν.*
58. Fort. *ἀπαγομένους.*
59. Cod. *χειμάρου.*

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Θ′.

1 ΤΑΔΕ ἔνεστιν ἐν τῇ ἐννάτῃ τοῦ κατὰ πασῶν αἱρέσεων Ἐλέγχου.

2 Τίς ἡ Νοητοῦ βλάσφημος ἀφροσύνη, καὶ ὅτι δόγμασιν Ἡρακλείτου τοῦ Σκοτεινοῦ προσέσχεν, οὐ τοῖς Χριστοῦ.

3 Καὶ πῶς Κάλλιστος μίξας τὴν Κλεομένους μαθητοῦ Νοητοῦ καὶ Θεοδότου αἵρεσιν, ἑτέραν καινοτέραν αἵρεσιν συνέστησε, καὶ τίς ὁ τούτου βίος.

4 Τίς ἡ κενὴ ἐπιδημία τοῦ ξένου δαίμονος Ἠλχασαΐ καὶ ὅτι σκέπῃ τῶν ἰδίων σφαλμάτων τὸ δοκεῖν προσέχειν νόμῳ τῷ δέοντι, γνωστικοῖς δόγμασιν ἢ καὶ ἀστρολογικοῖς καὶ μαγείαις πρόσκειται.

5 Τίνα τὰ Ἰουδαίοις ἔθη, καὶ πόσαι τούτων διαφοραί.

6 Πολλοῦ τοίνυν τοῦ περὶ πασῶν αἱρέσεων γενομένου ἡμῖν ἀγῶνος, μηθέν τε ἀνεξέλεγκτον καταλιποῦσι, περιλείπεται νῦν ὁ μέγιστος ἀγὼν, ἐκδιηγήσασθαι καὶ διε-

2. Cod. ἐλλέγχου.

11. Fort. κἂν γνωστ. et προσκέηται, quanquam hoc minus curant seriores scriptores.

12. Cod. μαγίαις.

13. Fort. Ἰουδαίων, sive τὰ delendum.

14. In cod. titulus: Φιλοσοφουμένων ἔννατον. Νοητός.

ib. Cod. πολλοὶ τοίνυν.

λέγξαι τὰς ἐφ' ἡμῖν ἐπαναστάσας αἱρέσεις, δι' ὧν τινὲς ἀμαθεῖς καὶ τολμηροὶ διασκεδαννύειν ἐπεχείρησαν τὴν Ἐκκλησίαν, μέγιστον τάραχον κατὰ πάντα τὸν κόσμον ἐν πᾶσι τοῖς πιστοῖς ἐμβάλλοντες. Δοκεῖ γὰρ ἐπὶ τὴν ἀρχηγὸν τῶν κακῶν γενομένην γνώμην ὁρμήσαντας διελέγξαι τίνες αἱ ταύτης ἀρχαὶ, ὅπως εὔγνωστοι αἱ ἐκφυάδες αὐτῆς ἅπασι γενόμεναι καταφρονηθῶσι.

110 r.

7 Γεγένηταί τις ὀνόματι Νοητὸς, τῷ γένει Σμυρναῖος. Οὗτος εἰσηγήσατο αἵρεσιν ἐκ τῶν Ἡρακλείτου δογμάτων, οὗ διάκονος καὶ μαθητὴς γίνεται Ἐπίγονός τις τοὔνομα, ὃς τῇ Ῥώμῃ ἐπιδημήσας ἐπέσπειρε τὴν ἄθεον γνώμην. Ὧι μαθητεύσας Κλεομένης καὶ βίῳ καὶ τρόπῳ ἀλλότριος τῆς Ἐκκλησίας, ἐκράτυνε τὸ δόγμα, κατ' ἐκεῖνο καιροῦ Ζεφυρίνου διέπειν νομίζοντος τὴν ἐκκλησίαν, ἀνδρὸς ἰδιώτου καὶ αἰσχροκερδοῦς· [ὃς] τῷ κέρδει προσφερομένῳ πειθόμενος, συνεχώρει τοῖς προσιοῦσι τῷ Κλεομένει μαθητεύεσθαι, καὶ αὐτὸς ὑποσυρόμενος τῷ χρόνῳ ἐπὶ τὰ αὐτὰ ὥρμητο, συμβούλου καὶ συναγωνιστοῦ τῶν κακῶν ὄντος αὐτῷ Καλλίστου, οὗ τὸν βίον καὶ τὴν ἐφευρεθεῖσαν αἵρεσιν μετ' οὐ πολὺ ἐκθήσομαι. Τούτων κατὰ διαδοχὴν διέμεινε τὸ διδασκαλεῖον κρατυνόμενον καὶ ἐπαῦξον, διὰ τὸ συναιρεῖσθαι αὐτοῖς τὸν Ζεφυρῖνον καὶ τὸν Κάλλιστον, καίτοι ἡμῶν μηδέποτε συγχωρησάντων, ἀλλὰ πλειστάκις ἀντικαθεστώτων πρὸς αὐτοὺς, καὶ διελεγξάντων, καὶ ἄκοντας βιασαμένων τὴν ἀλήθειαν ὁμολογεῖν· οἳ πρὸς μὲν ὥραν αἰδούμενοι, καὶ ὑπὸ τῆς ἀληθείας συναγόμενοι, ὡμολόγουν, μετ' οὐ πολὺ δὲ ἐπὶ τὸν αὐτὸν βόρβορον ἀνεκυλίοντο.

18. Cod. διασκεδανοίην.
20. Cod. πᾶσ̊ις πιστοῖς.
27. Cod. τῇ Ῥώμην.
31. Addidi ὅς.
33. Cod. Κλεομένῃ, cum iota subscripto.
34. Prius erat συμβόλου.
40. Cod. ἀντικαθεστότων.
41. Cod. διελλεγξάντων.

8 Ἀλλ' ἐπεὶ τῆς γενεαλογίας αὐτῶν τὴν διαδοχὴν ἐπεδείξαμεν, δοκεῖ λοιπὸν καὶ τῶν δογμάτων τὴν κακοδιδασκαλίαν ἐκθέσθαι, πρότερον τὰ Ἡρακλείτῳ τῷ Σκοτεινῷ δόξαντα παραθεμένους, ἔπειτα καὶ τὰ τούτων μέρη Ἡρακλείτεια ὄντα φανερῶσαι, ἃ τυχόντες οἱ νῦν 110 v. προστάται τῆς αἱρέσεως οὐκ ἴσασιν ὄντα τοῦ Σκοτεινοῦ, νομίζοντες εἶναι Χριστοῦ. Οἷς εἰ ἐνέτυχον, κἂν οὕτω δυσωπηθέντες παύσονται τῆς ἀθέου δυσφημίας. Ἀλλ' εἰ καὶ πρότερον ἔκκειται ὑφ' ἡμῶν ἐν τοῖς Φιλοσοφουμένοις ἡ δόξα Ἡρακλείτου, ἀλλά γε δοκεῖ προσαναπαραχθῆναι καὶ νῦν, ὅπως διὰ τοῦ ἐγγίονος ἐλέγχου φανερῶς διδαχθῶσιν οἱ τούτου νομίζοντες Χριστοῦ εἶναι μαθητὰς, οὐκ ὄντας, ἀλλὰ τοῦ Σκοτεινοῦ.

9 Ἡράκλειτος μὲν οὖν φησὶν εἶναι τὸ πᾶν διαιρετὸν, ἀδιαίρετον, γενητὸν, ἀγένητον, θνητὸν, ἀθάνατον, λόγον αἰῶνα, πατέρα υἱὸν, θεὸν δίκαιον. "Οὐκ ἐμοῦ, ἀλλὰ τοῦ δόγματος ἀκούσαντας ὁμολογεῖν σοφόν ἐστιν, ἓν πάντα εἶναι," ὁ Ἡράκλειτος φησὶ, καὶ ὅτι τοῦτο οὐκ ἴσασι πάντες οὐδὲ ὁμολογοῦσιν, ἐπιμέμφεται ὧδέ πως· "Οὐ ξυνίασιν ὅκως διαφερόμενον ἑωϋτῷ ὁμολογέειν παλίντροπος ἁρμονίη ὅκως περ τόξου καὶ λύρης." Ὅτι δὲ λόγος ἐστὶν ἀεὶ τὸ πᾶν καὶ διὰ παντὸς ὢν, οὕτως λέγει· "Τοῦ δὲ λόγου τοῦ δέοντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι, καὶ πρόσθεν ἢ ἀκοῦσαι καὶ ἀκούσαντες τὸ πρῶτον· γινομένων γὰρ πάντων κατὰ τὸν λόγον τόνδε ἄπειροι εἰσὶν,

48. Cod. ἐπεὶ καὶ τά.
50. Cod. εἴσασιν.
53. Cod. φιλοσοφουμένους. Cf. lib. I, cap. 4.
54. Cod. πρὸς ἀνπαραχθῆναι. Vox addenda lexicis.
55. Cod. ἀγγίονος ἐλλέγχου.
61. Cod. ἐστιν ἐν.
62. Cod. πάντα εἰδέναι.
63. Cod. εἴσασι.
64. Fort. ὁμολογέει· παλ. Pro παλίντροπος legitur παλίντονος apud Plut. de Isid. et Osirid. p. 369, A: Παλίντονος γὰρ ἁρμονίη κόσμου ὅκωσπερ λύρης καὶ τόξου, καθ' Ἡράκλειτον.
66. Cod. ὧν.
67. Cod. ἀεὶ ξετοί. Correctum ex Clem. Al. Strom. V, p. 716.
68. Cod. ἀκούσαντας et γινόμενον.
69. Clemens recte omittit εἰσίν.

ἐοίκασι πειρώμενοι καὶ ἐπέων καὶ ἔργων τοιουτέων ὁκοῖα ἐγὼ διηγεῦμαι, διαιρέων κατὰ φύσιν καὶ φράζων ὅκως ἔχει." Ὅτι δέ ἐστι παῖς τὸ πᾶν καὶ δι' αἰῶνος αἰώνιος βασιλεὺς τῶν ὅλων οὕτως λέγει· "Αἰὼν παῖς ἐστὶ παίζων, πεττεύων· παιδὸς ἡ βασιληΐη." Ὅτι δέ ἐστιν ὁ [πόλεμος] πατὴρ πάντων τῶν γεγονότων γενητῶν, ἀγένητος κτίσις δημιουργὸς, ἐκείνου λέγοντος ἀκούωμεν· "Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεὺς," καὶ τοὺς μὲν
111 r. θεοὺς ἔδειξε, τοὺς δὲ ἀνθρώπους τοὺς μὲν δούλους ἐποίησε τοὺς δὲ ἐλευθέρους. Ὅτι δέ ἐστιν "ἁρμονίη ὅκως περ τόξου καὶ λύρης." Ὅτι δὲ [ἔστιν] ἀφανὴς ὁ ἀόρατος ἄγνωστος ἀνθρώποις ἐν τούτοις λέγει· "Ἁρμονίη ἀφανὴς φανερῆς κρείττων." Ἐπαινεῖ καὶ προθαυμάζει πρὸ τοῦ γινωσκομένου τὸ ἄγνωστον αὐτοῦ καὶ ἀόρατον τῆς δυνάμεως. Ὅτι δέ ἐστιν ὁρατὸς ἀνθρώποις καὶ οὐκ ἀνεξεύρετος, ἐν τούτοις λέγει· "Ὅσων ὄψις, ἀκοὴ, μάθησις, ταῦτα ἐγὼ προτιμέω," φησὶ, τουτέστι τὰ ὁρατὰ τῶν ἀοράτων. Ἀπὸ τῶν τοιούτων αὐτοῦ λόγων κατανοεῖν ῥᾴδιον· ἐξηπάτηνται, φησὶν, οἱ ἄνθρωποι πρὸς τὴν γνῶσιν τῶν φανερῶν παραπλησίως Ὁμήρῳ, ὃς ἐγένετο τῶν Ἑλλήνων σοφώτερος πάντων. Ἐκεῖνόν τε γὰρ παῖδες φθεῖρας κατακτείνοντες ἐξηπάτησαν εἰπόντες, Ὅσα εἴδομεν καὶ κατελάβομεν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ' ἐλάβομεν, ταῦτα φέρομεν.

10 Οὕτως Ἡράκλειτος ἐν ἴσῃ μοίρᾳ τίθεται καὶ τιμᾷ τὰ ἐμφανῆ τοῖς ἀφανέσιν, ὡς ἕν τι τὸ ἐμφανὲς καὶ

70. Cod. ὁποῖα.

71. Cod. διήγευμαι, διερέων. Clemens addit ἕκαστον.

ib. Cod. ὅπως.

74. Addidi πόλεμος. Nisi potius initio scribendum erat Τίς δέ ἐστιν.

75. Fort. κτίσεως.

76. Cod. ἀκούομεν.

79. Aliquid excidisse videtur.

80. In cod. post δέ vocula verme exesa.

85. Cod. ἂν ἐξευρετός.

ib. Cod. ὅσον ὄψις.

88. Exciderunt aliqua. Non sufficit addere ὅτι.

τὸ ἀφανὲς ὁμολογουμένως ὑπάρχον. Τίς γὰρ, φησὶν, "ἁρμονίη ἀφανὴς φανερῆς κρείττων." Καὶ "ὅσων ὄψις, ἀκοὴ, μάθησις (τουτέστι τὰ ὄργανα), ταῦτα, φησὶν, ἐγὼ προτιμέω," οὐ τὰ ἀφανῆ προτιμήσας. Τοιγαροῦν οὐδὲ σκότος οὐδὲ φῶς, οὐδὲ πονηρὸν οὐδὲ ἀγαθὸν ἕτερον φησὶν εἶναι ὁ Ἡράκλειτος, ἀλλὰ ἓν καὶ τὸ αὐτό. Ἐπιτιμᾷ γοῦν Ἡσιόδῳ ὅτι ἡμέραν καὶ νύκτα οἶδεν. Ἡμέρα γὰρ, φησὶ, καὶ νὺξ ἔστιν ἓν, λέγων ὧδέ πως· "Διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέρην καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν. Ἔστι γὰρ ἓν καὶ ἀγαθὸν καὶ κακόν." Οἱ γοῦν ἰατροὶ, φησὶν ὁ Ἡράκλειτος, τέμνοντες, καίοντες, πάντη
111 v. βασανίζοντες κακῶς τοὺς ἀρρωστοῦντας, ἐπαιτιῶνται μηδὲν ἄξιον μισθῶν λαμβάνειν παρὰ τῶν ἀρρωστούντων, ταῦτα ἐργαζόμενοι τὰ ἀγαθὰ καὶ τὰς νόσους. Καὶ εὐθὺ δὲ, φησὶ, καὶ στρεβλὸν, τὸ αὐτό ἐστι. Γραφέων, φησὶν, ὁδὸς εὐθεῖα καὶ σκολιὴ ἡ τοῦ ὀργάνου τοῦ καλουμένου κοχλίου· ἐν τῷ γραφείῳ περιστροφὴ εὐθεῖα καὶ σκολιή. Ἄνω γὰρ ὁμοῦ καὶ κύκλῳ περιέχεται· μία ἐστὶ, φησὶ, καὶ ἡ αὐτὴ, καὶ τὸ ἄνω καὶ τὸ κάτω ἕν ἐστι. Καὶ τὸ αὐτὸ ὁδὸς ἄνω [καὶ] κάτω, μία καὶ ὡϋτὴ, καὶ τὸ μιαρόν φησι καὶ τὸ καθαρὸν ἓν καὶ ταυτὸν εἶναι, καὶ τὸ πότιμον καὶ τὸ ἄποτον, ἓν καὶ τὸ αὐτὸ εἶναι· θάλασσα, φησὶν, ὕδωρ καθαρώτατον καὶ μιαρώτατον, ἰχθῦσι μὲν πότιμον καὶ σωτήριον, ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον. Λέγει δὲ ὁμολογουμένως τὸ ἀθάνατον εἶναι θνητὸν καὶ τὸ θνητὸν ἀθάνατον διὰ τῶν τοιούτων λόγων· "Ἀθάνατοι θνητοὶ, θνητοὶ ἀθάνατοι, ζῶντες τὸν ἐκείνων θάνατον, τὸν δὲ ἐκείνων βίον τεθνεῶτες." Λέγει δὲ

96. Leg. videtur Ἔστι γάρ.

97. Cod. ἁρμονία ἡ ἀφ. Et deinde iterum ὅσον ὄψις.

6. Cod. εὐφροσύνην.

17. Addidi καί.

καὶ σαρκὸς ἀνάστασιν ταύτης φανερᾶς ἐν ᾗ γεγενήμεθα. Καὶ τὸν θεὸν οἶδε ταύτης τῆς ἀναστάσεως αἴτιον οὕτως λέγων· "Ἔνθα δ' ἐόντι ἐπανίστασθαι καὶ φύλακας γίνεσθαι ἐγερτιζόντων καὶ νεκρῶν." Λέγει δὲ καὶ τοῦ κόσμου κρίσιν καὶ πάντων τῶν ἐν αὐτῷ διὰ πυρὸς γίνεσθαι, λέγων οὕτως· "Τὰ δὲ πάντα οἰακίζει κεραυνὸς," τουτέστι κατευθύνει· κεραυνὸν τὸ πῦρ λέγων τὸ αἰώνιον. Λέγει δὲ καὶ φρόνιμον τοῦτο εἶναι τὸ πῦρ καὶ τῆς διοικήσεως τῶν ὅλων αἴτιον· καλεῖ δὲ αὐτὸ χρησμοσύνην καὶ κόρον. Χρησμοσύνη δέ ἐστιν ἡ διακόσμησις κατ' αὐτὸν, ἡ δὲ ἐκπύρωσις κόρος· "Πάντα γὰρ, φησὶ, τὸ πῦρ ἐπελθὸν κρινεῖ καὶ καταλήψεται." Ἐν δὲ τούτῳ τῷ κεφαλαίῳ "πάντα ὁμοῦ" τὸν ἴδιον νοῦν ἐξέθετο. Ἅμα δὲ καὶ τὸν
112 r. τῆς Νοητοῦ αἱρέσεως δι' ὀλίγων ἐπέδειξα οὐκ ὄντα Χριστοῦ, ἀλλὰ Ἡρακλείτου μαθητήν. Τὸν γὰρ πρῶτον κόσμον αὐτὸν δημιουργὸν καὶ ποιητὴν ἑαυτοῦ γινόμενον οὕτω λέγει· "Ὁ θεὸς ἡμέρη, εὐφρόνη, χειμὼν, θέρος, πόλεμος, εἰρήνη, κόρος, λιμός." Τἀναντία ἅπαντα· οὗτος ὁ νοῦς. "Ἀλλοιοῦται δὲ ὅκως περ ὁκόταν συμμιγῇ θυώμασιν ὀνομάζεται καθ' ἡδονὴν ἑκάστου." Φανερὸν δὲ πᾶσι τοὺς νοητοὺς Νοητοῦ διαδόχους καὶ τῆς αἱρέσεως προστάτας, εἰ καὶ Ἡρακλείτου λέγοισαν ἑαυτοὺς μὴ γεγονέναι ἀκροατὰς, ἀλλά γε [τὰ] τῷ Νοητῷ δόξαντα αἱρουμένους ἀναφανδὸν, ταῦτα ὁμολογεῖν. Λέγουσι γὰρ οὕτως ἕνα καὶ τὸν αὐτὸν θεὸν εἶναι πάντων δημιουργὸν καὶ πατέρα, εὐδοκήσαντα δὲ πεφηνέναι τοῖς ἀρχῆθεν δικαίοις ὄντα ἀόρατον. Ὅτε μὲν γὰρ οὐχ ὁρᾶται ἦν ἀόρατος, ἀχώρητος δὲ ὅτε μὴ χωρεῖσθαι θέλει, χωρητὸς

34. Cod. καλεῖς.

44. Cod. ὁπόταν, sed ὅκως. Gravissimum hoc in doctrina Heracliti fragmentum alii emendabunt.

47. Scrib. vel λέγουσιν vel λέγοιεν.

48. Add. τά. Vel τῷ in τὰ mutandum.

51. Cod. πεφηκέναι.

δὲ ὅτε χωρεῖται. Οὕτως κατὰ τὸν αὐτὸν λόγον ἀκράτητος, ἀγένητος, ἀθάνατος καὶ θνητός. Πῶς οὐχ Ἡρακλείτου οἱ τοιοῦτοι δειχθήσονται μαθηταί; μὴ αὐτῇ τῇ λέξει διαφθάσας ἐφιλοσόφησεν ὁ Σκοτεινός; Ὅτι δὲ καὶ τὸν αὐτὸν υἱὸν εἶναι λέγει καὶ πατέρα οὐδεὶς ἀγνοεῖ. Λέγει δὲ οὕτως· ὅτε μὲν οὖν μὴ γεγένητο ὁ πατὴρ, δικαίως πατὴρ προσηγόρευτο. Ὅτε δὲ ηὐδόκησεν γένεσιν ὑπομεῖναι, γεννηθεὶς ὁ υἱὸς ἐγένετο αὐτὸς ἑαυτοῦ, οὐχ ἑτέρου. Οὕτως γὰρ δοκεῖ μοναρχίαν συνιστᾶν, ἓν καὶ τὸ αὐτὸ φάσκων ὑπάρχειν πατέρα καὶ υἱὸν, καλούμενον οὐχ ἕτερον ἐξ ἑτέρου, ἀλλ' αὐτὸν ἐξ ἑαυτοῦ, ὀνόματι μὲν πατέρα καὶ υἱὸν καλούμενον κατὰ χρόνων τροπὴν, ἕνα δὲ εἶναι τοῦτον τὸν φανέντα, καὶ γένεσιν ἐκ παρθένου ὑπομείναντα, καὶ ἐν ἀνθρώποις ἄνθρωπον ἀναστραφέντα, υἱὸν μὲν ἑαυτὸν τοῖς ὁρῶσιν ὁμολογοῦντα
112 v. διὰ τὴν γενομένην γένεσιν, πατέρα δὲ εἶναι καὶ τοῖς χωροῦσιν μὴ ἀποκρύψαντα. Τοῦτον πάθει ξύλου προσπαγέντα καὶ ἑαυτῷ τὸ πνεῦμα παραδόντα, ἀποθανόντα καὶ μὴ ἀποθανόντα, καὶ ἑαυτὸν τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσαντα, τὸν ἐν μνημείῳ ταφέντα καὶ λόγχῃ τρωθέντα, καὶ ἥλοις καταπαγέντα, τοῦτον τὸν τῶν ὅλων θεὸν, καὶ πατέρα εἶναι λέγει Κλεομένης καὶ ὁ τούτου χορὸς, Ἡρακλείτειον σκότος ἐπεισάγοντες πολλοῖς.

11 Ταύτην τὴν αἵρεσιν ἐκράτυνε Κάλλιστος, ἀνὴρ ἐν κακίᾳ πανοῦργος καὶ ποικίλος πρὸς πλάνην, θηρώμενος τὸν τῆς ἐπισκοπῆς θρόνον. Τὸν Ζεφυρῖνον, ἄνδρα ἰδιώτην καὶ ἀγράμματον καὶ ἄπειρον τῶν ἐκκλησιαστικῶν ὅρων, ὃν πείθων δόγμασι καὶ ἀπαιτήσεσιν ἀπειρημέναις ἦγεν εἰς ὃ ἐβούλετο, ὄντα δωρολήπτην καὶ φιλάργυρον,

54. In cod. ἀκράτητος bis scriptum.
56. Cod. μῆδε λέξει. (τῆ τῆ supra scriptum)
59. Cod. μὴ γένητο.
61. Cod. γενηθείς.
68. Cod. ἀναστρεφέντα.
78. Cod. ποικῖλος et θηρόμενος.
82. Cod. ὃ βούλετο.

ἔπειθεν ἀεὶ στάσεις ἐμβαλεῖν ἀναμέσον τῶν ἀδελφῶν, αὐτὸς τὰ ἀμφότερα μέρη ὕστερον κερκωπείοις λόγοις πρὸς ἑαυτοῦ φιλίαν κατασκευάζων, καὶ τοῖς μὲν ἀλήθειαν λέγων ὅμοια φρονοῦσι ποτὲ καθ' ἡδίαν τὰ ὅμοια φρονεῖν ἠπάτα· πάλιν δ' αὐτοῖς τὰ Σαβελλίου ὁμοίως, ὃν καὶ αὐτὸν ἐξέστησε δυνάμενον κατορθοῦν. Ἐν γὰρ τῷ ὑφ' ἡμῶν παραινεῖσθαι οὐκ ἐσκληρύνετο· ἡνίκα δὲ σὺν τῷ Καλλίστῳ ἐμόναζεν, ὑπ' αὐτοῦ ἀνεσείετο πρὸς τὸ δόγμα τὸ Κλεομένους ῥαπεῖν, φάσκοντος τὰ ὅμοια φρονεῖν. Ὁ δὲ τότε μὲν τὴν πανουργίαν αὐτοῦ οὐκ ἐνόει, αὖθις δὲ ἔγνω, ὡς διηγήσομαι μετ' οὐ πολύ. Αὐτὸν δὲ τὸν Ζεφυρῖνον προάγων δημοσίᾳ ἔπειθε λέγειν· Ἐγὼ οἶδα ἕνα θεὸν Χριστὸν Ἰησοῦν, καὶ πλὴν αὐτοῦ ἕτερον οὐδένα γενητὸν καὶ παθητόν. Ποτὲ δὲ λέγων, Οὐχ ὁ πατὴρ ἀπέθανεν, ἀλλὰ ὁ υἱὸς, οὕτως ἄπαυστον τὴν στά-
113 r. σιν ἐν τῷ λαῷ διετήρησεν, οὗ τὰ νοήματα γνόντες ἡμεῖς οὐ συνεχωροῦμεν, ἐλέγχοντες καὶ ἀντικαθιστάμενοι ὑπὲρ τῆς ἀληθείας· ὃς εἰς ἀπόνοιαν χωρῶν διὰ τὸ πάντας αὐτοῦ τῇ ὑποκρίσει συντρέχειν, ἡμᾶς δὲ οὔ, ἀπεκάλει ἡμᾶς διθέους, ἐξεμῶν παρὰ βίαν τὸν ἐνδομυχοῦντα αὐτῷ ἰόν. Τούτου τὸν βίον δοκεῖ ἡμῖν ἀγαπητὸν ἐκθέσθαι, ἐπεὶ κατὰ τὸν αὐτὸν χρόνον ἡμῖν ἐγεγόνει, ὅπως διὰ τοῦ φανῆναι τοῦ τοιούτου τὴν ἀναστροφὴν, εὐεπίγνωστος καὶ ταχεῖα τοῖς νοῦν ἔχουσιν εὐθὺς γένηται ἡ διὰ τούτου ἐπικεχειρημένη αἵρεσις. Οὗτος ἐμαρτύρησεν ἐπὶ Φουσκιανοῦ ἐπάρχου ὄντος Ῥώμης. Ὁ δὲ τρόπος τῆς αὐτοῦ μαρτυρίας τοιόσδε ἦν.

83. Cod. ἀναμέσων.
84. Cod. κερκώποις.
85. Cod. ἑαυτοὺς φιλίαν.
ib. Fort. τοῖς μὲν ἐν ἀληθείᾳ.
86. Fort. λέγων τὰ ὅμοια φρονεῖν ἠπάτα· πάλιν δὲ αὐτοῖς φρονοῦσι ποτὲ κατ' ἰδίαν τὰ Σαβ.
88. Leg. videtur δυνάμενος.
91. Leg. vel ῥέπειν vel τραπῆναι.
99. Cod. ἐλλέγχοντες.
3. Cod. παραβίαν.
ib. Cod. ἐνδομοιχοῦντα.
7. Cod. εὐθὴς γέν. Aliud adjectivum latet in ταχεῖα.
8. Cod. ἐπικεχειρημέναι.

12 Οἰκέτης ἐτύγχανε Καρποφόρου τινὸς ἀνδρὸς πιστοῦ ὄντος ἐκ τῆς Καίσαρος οἰκίας. Τούτῳ ὁ Καρποφόρος, ἅτε δὴ ὡς πιστῷ, χρῆμα οὐκ ὀλίγον κατεπίστευσεν, ἐπαγγειλάμενος κέρδος προσοίσειν ἐκ πραγματείας τραπεζιτικῆς· ὃς λαβὼν τράπεζαν ἐπεχείρησεν ἐν τῇ λεγομένῃ πισκινῇ πουπλικῇ, ᾧ οὐκ ὀλίγαι παραθῆκαι τῷ χρόνῳ ἐπιστεύθησαν ὑπὸ χηρῶν καὶ ἀδελφῶν προσχήματι τοῦ Καρποφόρου. Ὁ δὲ ἐξαφανίσας τὰ πάντα ἠπόρει. Οὗ ταῦτα πράξαντος, οὐκ ἔλιπεν ὃς ἀπαγγείλῃ τῷ Καρποφόρῳ· ὁ δὲ ἔφη ἀπαιτεῖν λόγους παρ' αὐτοῦ. Ταῦτα συνιδὼν ὁ Κάλλιστος καὶ τὸν παρὰ τοῦ δεσπότου κίνδυνον ὑφορώμενος, ἀπέδρα τὴν φυγὴν κατὰ θάλασσαν ποιούμενος· ὃς εὑρὼν πλοῖον ἐν τῷ Πόρτῳ ἕτοιμον πρὸς ἀναγωγὴν, ὅπου ἐτύγχανε πλέων, ἀνέβη πλευσόμενος. Ἀλλ' οὐδὲ οὕτως λαθεῖν δεδύνηται· οὐ γὰρ ἔλιπεν ὃς ἀπαγγείλῃ τῷ Καρποφόρῳ τὸ γεγενη-
113 v. μένον. Ὁ δὲ ἐπιστὰς κατὰ τὸν λιμένα, ἐπειρᾶτο ἐπὶ τὸ πλοῖον ὁρμᾶν κατὰ μεμηνυμένα. Τοῦτο δὲ ἦν ἑστὸς ἐν μέσῳ τῷ λιμένι, τοῦ δὲ πορθμέως βραδύνοντος, ἰδὼν πόρρωθεν ὁ Κάλλιστος τὸν δεσπότην, ὢν ἐν τῷ πλοίῳ καὶ γνοὺς ἑαυτὸν συνηλεῖφθαι, ἠφείδησε τοῦ ζῆν καὶ ἔσχατα ταῦτα λογισάμενος ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ναῦται καταπηδήσαντες εἰς τὰ σκάφη ἄκοντα αὐτὸν ἀνείλοντο. Τῶν δὲ ἀπὸ τῆς γῆς μεγάλα βοώντων, καὶ οὗτος τῷ δεσπότῃ παραδοθεὶς ἐπανήχθη εἰς τὴν Ῥώμην· ὃν ὁ δεσπότης εἰς πίστρινον κατέθετο. Χρόνου δὲ διελθόντος, ὡς συμβαίνει γίνεσθαι, προσελθόντες ἀδελφοὶ παρεκάλουν τὸν Καρποφόρον ὅπως ἐξαγάγῃ τῆς κολάσεως τὸν δραπέτην, φάσκοντες αὐτὸν ὁμολογεῖν ἔχειν παρά τισι χρῆμα ἀποκείμενον. Ὁ δὲ

18. Cod. ἐξαφανήσας.
19. Cod. ἔλειπεν, sed ἔλιπεν bis infra lin. 26 et 58.
28. In μεμηνυμένα, syllabæ μην exesæ tenuia vestigia supersunt.
30. Cod. πόρροθεν.

Καρποφόρος ὡς εὐλαβὴς, τοῦ μὲν ἰδίου ἔλεγεν ἀφειδεῖν, τῶν δὲ παραθηκῶν φροντίζειν· πολλοὶ γὰρ αὐτῷ ἀπεκλαίοντο λέγοντες, ὅτι τῷ αὐτοῦ προσχήματι ἐπίστευσαν τῷ Καλλίστῳ, ἃ πεπιστεύκεισαν· καὶ πεισθεὶς ἐκέλευσεν ἐξαγαγεῖν αὐτόν. Ὁ δὲ μηδὲν ἔχων ἀποδιδόναι, καὶ πάλιν ἀποδιδράσκειν μὴ δυνάμενος διὰ τὸ φρουρεῖσθαι, τέχνην θανάτου ἐπενόησε· καὶ σαββάτῳ σκηψάμενος ἀπιέναι ὡς ἐπὶ χρεώστας, ὥρμησεν ἐπὶ τὴν συναγωγὴν τῶν Ἰουδαίων συνηγμένων, καὶ στὰς κατεστασίαζεν αὐτῶν. Οἱ δὲ καταστασιασθέντες ὑπ' αὐτοῦ, ἐνυβρίσαντες αὐτὸν καὶ πληγὰς ἐμφορήσαντες, ἔσυρον ἐπὶ τὸν Φουσκιανὸν ἔπαρχον ὄντα τῆς πόλεως. Ἀπεκρίναντο δὲ τάδε· Ῥωμαῖοι συνεχώρησαν ἡμῖν τοὺς πατρῴους νόμους δημοσίᾳ ἀναγινώσκειν· οὗτος δὲ ἐπεισελθὼν ἐκώλυε
114 r. καταστασιάζων ἡμῶν, φάσκων εἶναι Χριστιανός. Τοῦ δὲ Φουσκιανοῦ πρὸ βήματος τυγχάνοντος, καὶ τοῖς ὑπ' Ἰουδαίων λεγομένοις κατὰ τοῦ Καλλίστου ἀγανακτοῦντος, οὐκ ἔλιπεν ὁ ἐπαγγείλας τῷ Καρποφόρῳ τὰ πρασσόμενα. Ὁ δὲ σπεύσας ἐπὶ τὸ βῆμα τοῦ ἐπάρχου ἐβόα· Δέομαι, κύριε Φουσκιανὲ, μὴ σὺ αὐτῷ πίστευε, οὐ γάρ ἐστι Χριστιανὸς, ἀφορμὴν δὲ ζητεῖ θανάτου χρήματά μου πολλὰ ἀφανίσας, ὡς ἀποδείξω. Τῶν δὲ Ἰουδαίων ὑποβολὴν τοῦτο νομισάντων, ὡς ζητοῦντος τοῦ Καρποφόρου ταύτῃ τῇ προφάσει ἐξελέσθαι αὐτὸν, μᾶλλον ἐπιφθόνως κατεβόων τοῦ ἐπάρχου. Ὁ δὲ κινηθεὶς ὑπ' αὐτῶν, μαστιγώσας αὐτὸν, ἔδωκεν εἰς μέταλλον Σαρδονίας. Μετὰ χρόνον δὲ ἑτέρων ἐκεῖ ὄντων μαρτύρων θελήσασα ἡ Μαρκία ἔργον τι ἀγαθὸν ἐργάσασθαι, οὖσα φιλόθεος παλλακὴ Κομόδου, προσκαλεσαμένη τὸν μακάριον

43. Cod. τῷ αὐτῷ.
46. Cod. φθορεῖσθαι.
47. Cod. σκεψάμενος.
56. Cod. φοσκιανοῦ.
60. Cod. μὴ ἑαυτῷ.
69. Cod. παλακή.

Οὐΐκτορα, ὄντα ἐπίσκοπον τῆς Ἐκκλησίας κατ᾽ ἐκεῖνο καιροῦ, ἐπηρώτα τίνες εἶεν ἐν Σαρδονίᾳ μάρτυρες. Ὁ δὲ πάντων ἀναδοὺς τὰ ὀνόματα, τὸ τοῦ Καλλίστου οὐκ ἔδωκεν, εἰδὼς τὰ τετολμημένα παρ᾽ αὐτοῦ. Τυχοῦσα οὖν τῆς ἀξιώσεως ἡ Μαρκία παρὰ τοῦ Κομόδου, δίδωσι τὴν ἀπολυσίμην ἐπιστολὴν Ὑακίνθῳ τινὶ σπάδοντι πρεσβυτέρῳ, ὃς λαβὼν διέπλευσεν εἰς τὴν Σαρδονίαν, καὶ ἀποδοὺς τῷ κατ᾽ ἐκεῖνο καιροῦ τῆς χώρας ἐπιτροπεύοντι, ἀπέλυσε τοὺς μάρτυρας, πλὴν τοῦ Καλλίστου. Ὁ δὲ γονυπετῶν καὶ δακρύων ἱκέτευε καὶ αὐτὸς τυχεῖν ἀπολύσεως. Δυσωπηθεὶς οὖν ὁ Ὑάκινθος ἀξιοῖ τὸν ἐπίτροπον φάσκων θρέψας εἶναι Μαρκίας, τασσόμενος αὐτῷ τὸ ἀκίνδυνον. Ὁ δὲ πεισθεὶς ἀπέλυσε καὶ τὸν Κάλλιστον· οὗ παραγενομένου ὁ Οὐΐκτωρ πάνυ ἤχθετο
114 v. ἐπὶ τῷ γεγονότι· ἀλλ᾽ ἐπεὶ εὔσπλαγχνος ἦν, ἡσύχασε· φυλασσόμενος δὲ τὸν ὑπὸ πολλῶν ὄνειδον (οὐ γὰρ ἦν μακρὰν τὰ ὑπ᾽ αὐτοῦ τετολμημένα), ἔτι δὲ καὶ τοῦ Καρποφόρου ἀντιπίπτοντος, πέμπει αὐτὸν καταμένειν ἐν Ἀνθείῳ, ὁρίσας αὐτῷ μηνιαῖόν τι ἐκτροφάς· μεθ᾽ οὗ κοίμησιν Ζεφυρῖνος συναράμενον αὐτὸν σχὼν πρὸς τὴν κατάστασιν τοῦ κλήρου ἐτίμησε τῷ ἰδίῳ κακῷ, καὶ τοῦτον μεταγαγὼν ἀπὸ τοῦ Ἀνθείου εἰς τὸ κοιμητήριον κατέστησεν. Ὧι ἀεὶ συνὼν, καὶ καθὼς φθάσας προείπον ὑποκρίσει αὐτὸν θεραπεύων ἐξεφάνισε μήτε κρῖναι τὰ λεγόμενα δυνάμενον μήτε νοοῦντα τὴν τοῦ Καλλίστου ἐπιβουλὴν, πάντα αὐτῷ πρὸς ἃ ἥδετο ὁμιλοῦντος. Οὕτω μετὰ τὴν τοῦ Ζεφυρίνου τελευτὴν νομίζων τετυ-

73. Cod. τὰ τολμημένα.

81. In θρέψας vocabulum latere videtur significans negligentiam (*un oubli*).

88. Fort. Ἀντίῳ. Certe *Antium* dicere videre.

ib. Erat a prima m. ἐκτροφῖς. Corrigendum εἰς τροφάς.

89. Cod. κύμησιν. Dicit: post mortem Carpophori.

ib. Cod. Ζεφυρῖνον .. αράμενον, duabus literis exesis, quarum prior σ fuisse cognoscitur: σναράμενον.

χηκέναι οὗ ἐθηρᾶτο, τὸν Σαβέλλιον ἀπέωσεν ὡς μὴ φρονοῦντα ὀρθῶς, δεδοικὼς ἐμὲ καὶ νομίζων οὕτω δύνασθαι ἀποτρίψασθαι τὴν πρὸς τὰς ἐκκλησίας κατηγορίαν, ὡς μὴ ἀλλοτρίως φρονῶν. Ἦν οὖν γόης καὶ πανοῦργος καὶ ἐπὶ χρόνῳ συνήρπασε πολλούς. Ἔχων δὲ καὶ τὸν ἰὸν ἐγκείμενον ἐν τῇ καρδίᾳ, καὶ εὐθέως μηδὲν φρονῶν, ἅμα δὲ καὶ αἰδούμενος τὰ ἀληθῆ λέγειν, διὰ τὸ δημοσίᾳ ἡμῖν ὀνειδίζοντα εἰπεῖν δίθεοί ἐστέ, ἀλλὰ καὶ διὰ τὸ ὑπὸ τοῦ Σαβελλίου συχνῶς κατηγορεῖσθαι ὡς παραβάντος τὴν πρώτην πίστιν, ἐφεῦρεν αἵρεσιν τοιάνδε, λέγων τὸν λόγον αὐτὸν εἶναι υἱὸν, αὐτὸν καὶ πατέρα, ὀνόματι μὲν καλούμενον, ἓν δὲ ὂν, τὸ πνεῦμα ἀδιαίρετον· οὐκ ἄλλο εἶναι πατέρα, ἄλλο δὲ υἱὸν, ἓν δὲ καὶ τὸ αὐτὸ ὑπάρχειν, καὶ τὰ πάντα γέμειν τοῦ θείου πνεύματος τά τε ἄνω καὶ κάτω, καὶ εἶναι τὸ ἐν τῇ παρθένῳ σαρκωθὲν πνεῦμα οὐχ ἕτερον παρὰ τὸν πατέρα, ἀλλὰ ἓν καὶ τὸ αὐτό. Καὶ τοῦτο εἶναι τὸ εἰρημένον "Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί;" Τὸ μὲν γὰρ βλεπόμενον, ὅπερ ἐστὶν ἄνθρωπος, τοῦτο εἶναι τὸν υἱὸν, τὸ δὲ ἐν τῷ υἱῷ χωρηθὲν Πνεῦμα τοῦτο εἶναι τὸν πα-
115 r. τέρα· οὐ γὰρ, φησὶν, ἐρῶ δύο θεοὺς, πατέρα καὶ υἱὸν, ἀλλ' ἕνα. Ὁ γὰρ ἐν αὐτῷ γενόμενος πατὴρ, προσλαβόμενος τὴν σάρκα ἐθεοποίησεν ἑνώσας ἑαυτῷ, καὶ ἐποίησεν ἓν, ὡς καλεῖσθαι πατέρα καὶ υἱὸν, ἕνα θεὸν, καὶ τοῦτο ἓν ὂν πρόσωπον μὴ δύνασθαι εἶναι δύο, καὶ οὕτως τὸν πατέρα συμπεπονθέναι τῷ υἱῷ· οὐ γὰρ θέλει λέγειν τὸν πατέρα πεπονθέναι καὶ ἓν εἶναι πρόσωπον *ἐκφυγεῖν τὴν εἰς τὸν πατέρα βλασφημίαν ὁ ἀνόητος καὶ

6. Subaudiendum αὐτοῦ.
9. Excidisse aliquid videtur potius quam depravatum esse.
10. Cod. οὐκ ἄλο.
11. Cod. γεμεῖν.
14. Joann. XIV, 11.
23. Cod. συνπεπονθέναι.
25. Ante ἐκφυγεῖν quædam omissa esse apparet.

ποικίλος, ὁ ἄνω κάτω σχεδιάζων βλασφημίας, ἵνα μόνον κατὰ τῆς ἀληθείας λέγειν δοκῇ, ποτὲ μὲν εἰς τὸ Σαβελλίου δόγμα ἐμπίπτων, ποτὲ δὲ εἰς τὸ Θεοδότου οὐκ αἰδεῖται. Τοιαῦτα ὁ γόης τολμήσας, συνεστήσατο διδασκαλεῖον κατὰ τῆς Ἐκκλησίας οὕτως διδάξας, καὶ πρῶτος τὰ πρὸς τὰς ἡδονὰς τοῖς ἀνθρώποις συγχωρεῖν ἐπενόησε, λέγων πᾶσιν ὑπ' αὐτοῦ ἀφίεσθαι ἁμαρτίας. Ὁ γὰρ παρ' ἑτέρῳ τινὶ συναγόμενος καὶ λεγόμενος Χριστιανὸς εἴ τι ἂν ἁμάρτῃ, φασὶν, οὐ λογίζεται αὐτῷ ἡ ἁμαρτία, εἰ προσδράμοι τῇ τοῦ Καλλίστου σχολῇ· οὗ τῷ ὅρῳ ἀρεσκόμενοι πολλοὶ συνείδησιν πεπληγότες, ἅμα τε καὶ ὑπὸ πολλῶν αἱρέσεων ἀποβληθέντες, τινὲς δὲ καὶ ἐπὶ καταγνώσει ἔκβλητοι τῆς ἐκκλησίας ὑφ' ἡμῶν γενόμενοι, προσχωρήσαντες αὐτοῖς, ἐπλήθυναν τὸ διδασκαλεῖον αὐτοῦ. Οὗτος ἐδογμάτισεν ὅπως εἰ ἐπίσκοπος ἁμάρτοι τι, εἰ καὶ πρὸς θάνατον, μὴ δεῖν κατατίθεσθαι. Ἐπὶ τούτου ἤρξαντο ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι δίγαμοι καὶ τρίγαμοι καθίστασθαι εἰς κλήρους. Εἰ δὲ καί τις ἐν κλήρῳ ὢν γαμοίη, μένειν τὸν τοιοῦτον ἐν τῷ κλήρῳ ὡς μὴ ἡμαρτηκότα· ἐπὶ τούτῳ φάσκων εἰρῆσθαι τὸ ὑπὸ τοῦ ἀποστόλου ῥηθὲν, "Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;" Ἀλλὰ καὶ παραβολὴν
115 v. τῶν ζιζανίων πρὸς τούτῳ ἔφη λέγεσθαι· "Ἄφετε τὰ ζιζάνια συναύξειν τῷ σίτῳ," τουτέστιν ἐν τῇ Ἐκκλησίᾳ τοὺς ἁμαρτάνοντας. Ἀλλὰ καὶ τὴν κιβωτὸν τοῦ Νῶε εἰς ὁμοίωμα Ἐκκλησίας ἔφη γεγονέναι, ἐν ᾗ καὶ κύνες καὶ λύκοι καὶ κόρακες, καὶ πάντα τὰ καθαρὰ καὶ ἀκάθαρτα· οὕτω φάσκων δεῖν εἶναι ἐν Ἐκκλησίᾳ ὁμοίως· καὶ ὅσα

31. Cod. συγχαρεῖν.
34. Leg. ὅ τι ἄν.
38. Cod. ἔκκλητοι.
44. Cod. ὢν γνώμη.
46. Rom. XIV, 4.
48. Fort. πρὸς τοῦτο.
ib. Matth. XIII, 30.
53. Ante ὁμοίως distinguitur in codice.

*πρὸς τοῦτο δυνατὸς ἦν συνάγειν οὕτως ἡρμήνευσεν, οὗ οἱ ἀκροαταὶ ἡσθέντες τοῖς δόγμασι διαμένουσιν ἐμπαίζοντες ἑαυτοῖς τε καὶ πολλοῖς, ὧν τῷ διδασκαλείῳ συρρέουσιν ὄχλοι. Διὸ καὶ πληθύνονται γαυριώμενοι ἐπὶ ὄχλοις διὰ τὰς ἡδονὰς, ἃς οὐ συνεχώρησεν ὁ Χριστὸς, οὗ καταφρονήσαντες οὐδὲν ἁμαρτεῖν κωλύουσι, φάσκοντες αὐτῷ ἀφιέναι τοῖς εὐδοκοῦσι· καὶ γὰρ καὶ γυναιξὶν ἐπέτρεψεν εἰ ἄνανδροι εἶεν καὶ ἡλικίᾳ τε τε καίοντα ἐναξία ἡ ἑαυτῶν ἀξίαν ἣν μὴ βούλοιντο καθαίρειν. Διὰ τοῦτο νομίμως γαμηθῆναι ἔχει ἕνα ὃν ἂν αἱρήσωνται σύγκοιτον, εἴτε οἰκέτην, εἴτε ἐλεύθερον, καὶ τοῦτον κρίνειν ἀντὶ ἀνδρὸς μὴ νόμῳ γεγαμημένην. Ἔνθεν ἤρξαντο ἐπιχειρεῖν πισταὶ λεγόμεναι ἀτοκίᾳ περιδεσμεῖσθαι καὶ φαρμάκοις, πρὸς τὸ τὰ συλλαμβανόμενα καταβάλλειν, διὰ τὸ μήτε ἐκ δούλου βούλεσθαι ἔχειν τέκνον, μήτε ἐξ εὐτελοῦς διὰ τὴν συγγένειαν καὶ ὑπέρογκον οὐσίαν. Ὁρᾶτε εἰς ὅσην ἀσέβειαν ἐχώρησεν ὁ ἄνομος μοιχείαν καὶ φόνον ἐν τῷ αὐτῷ διδάσκων, καὶ ἐπὶ τούτοις τοῖς τολμήμασιν ἑαυτοὺς οἱ ἀπηρυθριασμένοι καθολικὴν ἐκκλησίαν ἀποκαλεῖν ἐπιχειροῦσι, καί τινες νομίζοντες εὖ πράττειν συντρέχουσιν αὐτοῖς. Ἐπὶ τούτου πρώτως τετόλμηται δεύτερον*
116 r. *αὐτοῖς βάπτισμα.* Ταῦτα *μὲν οὖν ὁ θαυμασιώτατος* Κάλλιστος *συνεστήσατο, οὗ διαμένει τὸ διδασκαλεῖον φυλάσσον τὰ ἔθη καὶ τὴν παράδοσιν, μὴ διακρῖνον τίσι δεῖ κοινωνεῖν, πᾶσιν ἀκρίτως προσφέρων τὴν κοινωνίαν· ἀφ' οὗ καὶ τὴν τοῦ ὀνόματος μετέσχον ἐπίκλησιν κα-*

55. Cod. *ἐμπέζοντες.*
56. Cod. *διδασκαλείων.*
60. Scribendum videtur *αὐτόν.*
61–62. Ita hæc scripta sunt in codice. Nisi gravior corruptio inest, post *ἐπέτρεψεν* supple *ἁμαρτεῖν* (scilicet assumendo *σύγκοιτον*), et scrib. *ἡλικίᾳ καίοιντο αἱ ἐν ἀξίᾳ, τὴν ἑαυτῶν ἀξίαν ἣν* (sive potius *εἰ*) *μὴ βούλοιντο καθαιρεῖν.*
65. Cod. *ἤρξατο.*
71. Cod. *τολμήσασιν.*
72. Cod. *ἀπερυθρ.*
74. Literæ *ὀλμ* in codice exesæ.
75. Cod. *βάπτησμα.*
78. Fort. *πᾶσι δ' ἀκρίτως.*

λεῖσθαι διὰ τὸν πρωτοστατήσαντα τῶν τοιούτων ἔργων Κάλλιστον, Καλλιστιανοί.

13 Τούτου κατὰ πάντα τὸν κόσμον διηχηθείσης τῆς διδασκαλίας, ἐνιδὼν τὴν πραγματείαν ἀνὴρ δόλιος καὶ ἀπονοίας γέμων, Ἀλκιβιάδης τις καλούμενος, οἰκῶν ἐν Ἀπαμείᾳ τῆς Συρίας, γοργότερον ἑαυτὸν καὶ εὐφυέστερον ἐν κυβείαις κρίνας τοῦ Καλλίστου, ἐπῆλθε τῇ Ῥώμῃ φέρων βίβλον τινὰ, φάσκων ταύτην ἀπὸ Σηρῶν τῆς Παρθίας παρειληφέναι τινὰ ἄνδρα δίκαιον Ἠλχασαΐ, ἣν παρέδωκε τινὶ λεγομένῳ Σοβιαῒ χρηματισθεῖσαν ὑπὸ ἀγγέλου, οὗ τὸ ὕψος σχοινίων κ̅δ̅ ὃ γίνεται μίλια ϟ̅ϛ̅· τὸ δὲ πλάτος αὐτοῦ σχοινίων δ̅, καὶ ἀπὸ ὤμου εἰς ὦμον σχοινίων ϛ̅· τὰ δὲ ἴχνη τῶν ποδῶν αὐτοῦ ἐπὶ μῆκος σχοίνων γ̅ ἡμίσους· ἃ γίνεται μίλια δεκατέσσαρα· τὸ δὲ πλάτος σχοίνου ἑνὸς ἡμίσους, τὸ δὲ ὕψος ἡμισχοίνου. Εἶναι δὲ σὺν αὐτῷ καὶ θήλειαν, ἧς τὰ μέτρα κατὰ τὰ προειρημένα εἶναι λέγει· καὶ τὸν μὲν ἄρσενα υἱὸν εἶναι τοῦ θεοῦ, τὴν δὲ θήλειαν καλεῖσθαι ἅγιον Πνεῦμα. Ταῦτα τερατολογῶν, νομίζει ταράσσειν τοὺς μωροὺς, λέγων τοῦτον εὐηγγελίσθαι τοῖς ἀνθρώποις καινὴν ἄφεσιν ἁμαρτιῶν, ἐπὶ Τραϊανοῦ βασιλείας τρίτῳ, καὶ βάπτισμα ὁρίζει, ὃ καὶ αὐτὸ διηγήσομαι, φάσκων τοὺς ἐν πάσῃ ἀσελγείᾳ καὶ μιασμῷ καὶ ἀνομήμασιν ἐμφυρέντας, εἰ καὶ πιστὸς εἴη, ἐπιστρέψαντα καὶ τῆς βίβλου κατακούσαντα καὶ πιστεύσαντα, ὁρίζει βαπτίσματι λαμβάνειν 116 v. ἄφεσιν ἁμαρτιῶν. Ταῦτα δὲ ἐτόλμησε τεχνάσαι τὰ πανουργήματα ἀπὸ τοῦ προειρημένου δόγματος ἀφορμὴν λαβὼν, οὗ παρεστήσατο Κάλλιστος. Ἡδομένους

84. Cod. ἀλκηβιάδης.
87. Cod. ἀποσηρῶν.
99. Cod. λέγων, λέγων.
2. Cod. αὐτῷ.
3. Cod. ἀσεγεία.
4. Vocis πιστὸς literæ στο exesæ. Addendum videtur τις.
5. Codex ἐπιτρέψαντα.
6. Cod. ἄφεσιν ἄφεσιν ἁμαρτιῶν.

γὰρ κατανοήσας πολλοὺς ἐπὶ τοιαύτῃ ἐπαγγελίᾳ εὐκαίρως ἐνόμισεν ἐπιχειρεῖν. Καὶ τούτῳ δὲ ἡμεῖς ἀντιστάντες, οὐκ εἰάσαμεν ἐπιπολὺ πλανηθῆναι, πολλοὺς ἐλέγξαντες εἶναι τοῦτο πνεύματος νόθου ἐνέργειαν καὶ ἐπίνοιαν πεφυσιωμένης καρδίας, καὶ τοῦτον λύκου δίκην ἐπεγηγερμένον πλανωμένοις προβάτοις πολλοῖς [ἃ] ἀποπλανῶν διεσκόρπισεν ὁ Κάλλιστος. Ἀλλ' ἐπεὶ ἠρξάμεθα, καὶ τὰ τούτου δόγματα οὐ σιωπήσομεν· εἰς φανερόν τε ἀγαγόντες πρότερον τὸν βίον, δείξαντες καὶ τὴν νομιζομένην ἄσκησιν προσποιητὴν ὑπάρχουσαν, αὖθις καὶ τῶν ῥητῶν κεφάλαια παραθήσομαι, ἵνα τοῖς αὐτοῦ ἐγγράφοις ὁ ἐντυγχάνων ἐνατενίσας, ἐπιγνοίη τίς καὶ ὁποία εἴη ἡ τούτῳ τετολμημένη αἵρεσις.

14 Οὗτος νόμου πολιτείαν προβάλλεται δελεάσματος δίκην, φάσκων δεῖν περιτέμνεσθαι καὶ κατὰ νόμον ζῆν τοὺς πεπιστευκότας, ἀποσπῶν τινὰ τῶν προειρημένων αἱρέσεων. Τὸν Χριστὸν δὲ λέγει ἄνθρωπον κοινῶς πᾶσι γεγονέναι· τοῦτον δὲ οὐ νῦν πρώτως ἐκ παρθένου γεγεννῆσθαι, ἀλλὰ καὶ πρότερον, καὶ αὖθις πολλάκις γεννηθέντα καὶ γεννώμενον, πεφηνέναι καὶ φύεσθαι, ἀλλάσσοντα γενέσεις καὶ μετενσωματούμενον, ἐκείνῳ τῷ Πυθαγορείῳ δόγματι χρώμενος· τοσοῦτον δὲ πεφυσίωνται, ὡς καὶ προγνωστικοὺς ἑαυτοὺς λέγειν δῆλον μέτροις καὶ ἀριθμοῖς τῆς προειρημένης Πυθαγορείου τέχνης ἀφορμαῖς χρωμένους. Οὗτοι καὶ μαθηματικοῖς καὶ ἀστρολογικοῖς καὶ μαγικοῖς προσέχουσιν ὡς ἀληθέσι, καὶ τούτοις χρώμενοι ταράσσουσι τοὺς ἄφρονας, νομίζειν αὐτοὺς λόγου δυνατοῦ μετέχειν· ἐπαοιδάς τε καὶ

10. Cod. ἐνόμησεν.
11. Sic codex; sed post πολλούς distinguendum videtur.
12. Cod. ἐλλέγξαντες.
14. Addidi ἅ.
16. Cod. εἰς φανερὸν τί ἀγ.
17. Fort. καὶ δείξαντες τὴν ν.
27. Cod. γεγενῆσθαι.
31. Leg. δηλονότι.
33. Cod. ἀφορμᾶς, deinde in -μαῖς mutatum.
36. Fort. ὡς νομ.

ἐπιλόγους τινὰς διδάσκουσι πρός τε κυνοδήκτους καὶ 117 r. δαιμονιῶντας καὶ ἑτέραις νόσοις κατεχομένους, ὧν οὐδὲ ταῦτα σιωπήσομεν. Ἱκανῶς οὖν τὰς ἀρχὰς αὐτῶν διηγησάμενος τάς τε αἰτίας τῶν τολμημάτων, παρελεύσομαι ἐπιδιηγησάμενος τὰ ἔγγραφα, δι' ὧν εἴσονται οἱ ἐντυγχάνοντες τόν τε λῆρον καὶ τὰ ἄθεα αὐτῶν ἐπιχειρήματα.

15 Τὸ μὲν οὖν βάπτισμα τοῖς ἀπ' αὐτ . . . . ένοις, οὕτως παραδίδωσι, τοιάδε λέγων τοῖς ἀπατωμένοις· Εἴ τις οὖν τέκνα πλησιάσει, ἢ οἱῳδήποτε ζῴῳ ἢ ἄρρενι ἢ ἀδελφῇ ἢ θυγατρὶ, ἢ ἐμοίχευσεν ἢ ἐπόρνευσε, καὶ θέλει ἄφεσιν λαβεῖν τῶν ἁμαρτιῶν, ἀφ' ἧς ἂν ἀκούσῃ τῆς βίβλου ταύτης, βαπτισάσθω ἐκ δευτέρου ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου Θεοῦ, καὶ ἐν ὀνόματι υἱοῦ αὐτοῦ μεγάλου βασιλέως, καθαρισάτω καὶ ἁγνευσάτω καὶ ἐπιμαρτυρησάσθω αὐτῷ τοὺς ἑπτὰ μάρτυρας γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ, τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν. Ταῦτα τὰ θαυμάσια μυστήρια τοῦ Ἠλχασαΐ τὰ ἀπόρρητα καὶ μεγάλα, ἃ παραδίδωσι τοῖς ἀξίοις μαθηταῖς· οἷς οὐκ ἀρκεῖται ὁ ἄνομος, ἀλλ' ἐπὶ δύο καὶ τριῶν μαρτύρων ἐνσφραγίζει τὰ ἑαυτοῦ κακὰ, πάλιν οὕτως λέγων· Πάλιν λέγω, ὦ μοιχοὶ καὶ μοιχαλίδες καὶ ψευδοπροφῆται, ἐὰν θέλητε ἐπιστρέψαι ἵνα ἀφεθήσωνται ὑμῖν αἱ ἁμαρτίαι, καὶ ὑμῖν εἰρήνη καὶ μέρος μετὰ τῶν δικαίων, ἀφ' οὗ ἂν ἀκούσητε τῆς βίβλου ταύτης καὶ βαπτισθῆτε ἐκ δευτέρου σὺν τοῖς ἐνδύμασιν. Ἀλλ' ἐπεὶ ἐπαοιδαῖς τούτους εἴπομεν χρῆσθαι ἐπί τε κυνοδήκτων καὶ ἑτέρων, δείξομεν. Λέγει δὲ οὕτως· Ἂν τινῶν ἄνδρα ἢ γυναῖκα ἢ νεώτερον

46. Fort. τεκνίῳ.
ib. Cod. οἰοδήποτε.
56. Cod. ἐλχασαΐ.
61. Cod. θέλετε.
66. Fort. ἄν τιν' ἄνδρα.

ἢ νεωτέραν κύων λυσσῶν καὶ μαινόμενος, ἐν ᾧ ἔστι πνεῦμα διαφθορᾶς, δάκῃ ἢ περισχίσῃ ἢ προσψαύσῃ, ἐν αὐτῇ τῇ ὥρᾳ δραμέτω σὺν παντὶ τῷ φορέματι, καὶ
117 v. καταβὰς εἰς ποταμὸν ἢ εἰς πηγὴν ὅπου ἐὰν ᾖ τόπος βαθὺς, βαπτισάσθω παντὶ τῷ φορέματι αὐτοῦ καὶ προσδεξάσθω τῷ μεγάλῳ καὶ ὑψίστῳ Θεῷ ἐν καρδίας πίστει, καὶ τότε ἐπιμαρτυρησάσθω τοὺς ἑπτὰ μάρτυρας τοὺς γεγραμμένους ἐν τῇ βίβλῳ ταύτῃ. Ἰδοὺ μαρτύρομαι τὸν οὐρανὸν καὶ τὸ ὕδωρ καὶ τὰ πνεύματα τὰ ἅγια καὶ τοὺς ἀγγέλους τῆς προσευχῆς καὶ τὸ ἔλαιον καὶ τὸ ἅλας καὶ τὴν γῆν. Τούτους τοὺς ἑπτὰ μάρτυρας μαρτύρομαι ὅτι οὐκέτι ἁμαρτήσω, οὐ μοιχεύσω, οὐ κλέψω, οὐκ ἀδικήσω, οὐ πλεονεκτήσω, οὐ μισήσω, οὐκ ἀθετήσω, οὐδὲ ἐν πᾶσι πονηροῖς εὐδοκήσω. Ταῦτα οὖν εἰπὼν βαπτισάσθω σὺν παντὶ τῷ φορέματι αὐτοῦ, ἐν ὀνόματι τοῦ μεγάλου καὶ ὑψίστου Θεοῦ.

16 Ἕτερα δὲ πλεῖστα φλυαρεῖ, ταῦτα καὶ ἐπὶ φθισικοῖς ἐπιλέγειν διδάσκων, καὶ βαπτίζεσθαι ἐν ψυχρῷ, τεσσαρακοντάκις ἐπὶ ἡμέρας ἑπτὰ, ὁμοίως καὶ ἐπὶ δαιμονῶντας. Ὢ σοφίας ἀμιμήτου καὶ ἐπαοιδῶν δυνάμεων μεμεστωμένων. Τίς οὐκ ἐκπλαγήσεται τῇ τοιαύτῃ καὶ τοσαύτῃ δυνάμει τῶν λόγων; Ἀλλ' ἐπειδὴ καὶ ἀστρολογικῇ πλάνῃ κεχρῆσθαι αὐτοὺς ἔφημεν, ἐξ αὐτῶν δείξομεν· φησὶ γὰρ οὕτως· Εἰσὶν ἀστέρες πονηροὶ τῆς ἀσεβείας. Τοῦτο νῦν ἡμῖν εἴρηται, εὐσεβεῖς καὶ μαθηταὶ, φυλάσσεσθε ἀπὸ τῆς ἐξουσίας τῶν ἡμερῶν ἀρχῆς αὐτῶν καὶ μὴ ποιῆτε τὴν καταρχὴν τῶν ἔργων ἐν ταῖς ἡμέραις

68. Cod. περι..ίσῃ, cum parvo ductu qui videtur ultima pars literæ χ.

72. Leg. videtur προσευξάσθω.

73. Cod. ἐπιμαρτυρήσθω.

75. Voc. πνεύματα lacuna absorptum.

81. Cod. φερέματι.

83. Cod. φθητικοῖς.

85. Vel scribendum δαιμονῶσι, vel delenda præpositio.

86. Fort. δυνάμεως.

91. Leg. videtur ὑμῖν.

αὐτῶν, καὶ μὴ βαπτίζετε ἄνδρα ἢ γυναῖκα ἐν ταῖς ἡμέραις τῆς ἐξουσίας αὐτῶν, ὁπόταν διαπορεύηται ἐξ αὐτῶν ἡ σελήνη καὶ συνοδεύῃ αὐτοῖς. Αὐτὴν τὴν ἡμέραν φυλάσσεσθε ἕως οὗ ἐκπορεύεται ἀπ' αὐτῶν, καὶ τότε βαπτίζετε καὶ ἐνάρχεσθε ἐν πάσῃ ἀρχῇ τῶν ἔργων ὑμῶν. Ἔτι δὲ τιμήσατε τὴν ἡμέραν τοῦ σαββάτου, ἐπειδὴ ἔστιν ἡμέρα μία ἐξ αὐτῶν. Ἀλλὰ καὶ τὴν τρίτην σαβ-
118 r. βάτου πύλας ἔσεσθαι μὴ κατάρχεσθε, ἐπειδὴ πάλιν πληρουμένων τριῶν ἐτῶν Τραϊανοῦ Καίσαρος, ἀφότε ὑπέταξε ἐκ τοῦ τῆς ἐξουσίας τοῦ Πάρθου, ὅτε ἐπληρώθη τρία ἔτη, ἀγρίζεται ὁ πόλεμος μεταξὺ τῶν ἀγγέλων τῆς ἀσεβείας τῶν ἄρκτων, διὰ τοῦτο ταράσσονται πᾶσαι βασιλεῖαι τῆς ἀσεβείας.

17 Ταῦτα τοίνυν τὰ μεγάλα καὶ ἀπόρρητα μυστήρια ἄλογον ἡγούμενος καταπατεῖσθαι, ἢ εἰς πολλοὺς παραδίδοσθαι, συμβουλεύει ὡς πολυτελεῖς μαργαρίτας φυλάσσειν οὕτω λέγων· Τοῦτον δὲ τὸν λόγον μὴ ἀναγινώσκετε πᾶσιν ἀνθρώποις, καὶ ταύτας τὰς ἐντολὰς φυλάξατε ἐπιμελῶς, ὅτι οὐ πάντες ἄνδρες πιστοὶ οὐδὲ πᾶσαι γυναῖκες ὀρθαί· ταῦτα δὲ οὐδὲ Αἰγυπτίων σοφοὶ ἐν ἀδύτοις ἐχώρησαν, οὐδὲ ὁ σοφὸς Ἑλλήνων Πυθαγόρας ἐχώρησεν. Εἰ γὰρ τετυχήκει κατ' ἐκεῖνο καιροῦ Ἠλχασαΐ τις, ἀνάγκη Πυθαγόραν ἢ Θαλῆν ἢ Σόλωνα ἢ τὸν σοφὸν Πλάτωνα, ἢ καὶ τοὺς λοιποὺς Ἑλλήνων σοφοὺς μαθητεύειν Αἰγυπτίων ἱερεῦσιν ἔχουσι τὴν τοιαύτην καὶ τοσαύτην σοφίαν παρὰ Ἀλκιβιάδῃ, ἃ τῷ θαυμασιωτάτῳ ἑρμηνεῖ τοῦ δυστήνου Ἠλχασαΐ. Δοκεῖ

95. Cod. διαπορεύεται.
1. Literarum ἐξ αὐ vestigia tantum supersunt.
2. Pro πύλας ἔσεσθαι corrigendum videtur φυλάσσεσθε.
ib. Fort. κατάρχεσθαι.
4. Fort. ὑπέταξεν ἔκτου [καὶ δεκάτου] τῆς ἐξουσίας τὸν Πάρθον.
5. Cod. ἀγγρίζεται.
8. Vocum τὰ μεγάλα tenuia sunt vestigia.
17. Cod. θαλλῆν.
20. Delendum ἅ.

τοίνυν ἱκανὰ εἶναι πρὸς ἐπίγνωσιν τὰ εἰρημένα τῆς τούτων μανίας τοῖς ὑγιαίνοντα νοῦν κεκτημένοις· διὸ πλείοσι ῥητοῖς οὐκ ἔδοξε χρῆσθαι, οὖσι πλείστοις καὶ καταγελάστοις. Ἀλλ' ἐπεὶ μηδὲ ταῦτα παρελείπομεν τὰ ἐφ' ἡμῶν ἐπεγηγερμένα τά τε πρὸ ἡμῶν οὐκ ἐσιωπήσαμεν, δοκεῖ, ἵνα διὰ πάντων ὦμεν πεπορευμένοι [καὶ] μηδὲν ἀνεκδιήγητον καταλείπωμεν, εἰπεῖν τίνα καὶ τῶν Ἰουδαίων, καὶ τίνες αἱ ἐν τούτοις διαφοραί· ἔτι γὰρ ταῦτα νομίζω παραλείπεσθαι, ἃ μηδὲ αὐτὰ σιωπήσας ἐπὶ τὴν
118 v. ἀπόδειξιν τοῦ περὶ ἀληθείας λόγου χωρήσω, ὅπως μετὰ τὸν πολὺν ἀγῶνα τοῦ κατὰ πασῶν αἱρέσεων λόγου, ἐπὶ [τὸν] τῆς βασιλείας στέφανον ὁρμήσαντες εὐσεβῶς, τὰ ἀληθῆ πιστεύοντες μὴ ταρασσώμεθα.

18 Ἰουδαίων μὲν ἀρχῆθεν ἓν ἦν ἔθνος· εἷς γὰρ ὁ τούτοις δοθεὶς παρὰ Θεοῦ διδάσκαλος Μωσῆς καὶ εἷς ὁ διὰ τούτου νόμος· μία δὲ ἔρημος χώρα, καὶ ἓν ὄρος τὸ Σινᾶ· εἷς γὰρ ὁ τούτοις νομοθετήσας Θεός. Αὖθις δὲ διαβάντες τὸν Ἰορδάνην ποταμὸν, καὶ τὴν δορύκτητον γῆν κληρονομήσαντες διαφόρως τὸν τοῦ Θεοῦ νόμον διέσπασαν, ἄλλος ἄλλως ἐπινοῶν τὰ εἰρημένα, καὶ οὕτως διδασκάλους ἑαυτοῖς ἐπεγείραντες, δόξας αἱρέσεων ἐφευρόντες, εἰς μερισμὸν ἐχώρησαν, ὧν τὴν διαφορὰν ἐκθήσομαι· εἰ δὲ καὶ εἰς πλεῖστα μέρη διεσπάσθησαν τῷ μακρῷ χρόνῳ, ἀλλά γε τὰ κεφαλαιωδέστερα αὐτῶν ἐκθήσομαι, δι' ὧν καὶ τὰ λοιπὰ οἱ φιλομαθεῖς εἴσονται εὐκόλως. Τρία γὰρ παρ' αὐτοῖς εἴδη διαιρεῖται, καὶ τοῦ μὲν αἱρετισταὶ εἰσὶ Φαρισαῖοι, τοῦ δὲ Σαδδουκαῖοι, ἕτεροι δὲ Ἐσσηνοί. Οὗτοι τὸν βίον σεμνότερον ἀσκοῦσι φιλάλ-

27. Addidi καί.
28. Cod. καταλείπομεν.
31. Cod. χωρῆσα.
33. Addidi τόν.
ib. Vox εὐσεβῶς prorsus evanida.
34. Cod. πιστεύωντες.

35. Titulus rubricatus: Ἰουδαῖοι.
49. Cod. ubique ἐσηνοί. De Essenis cf. quæ narrant Fl. Josephus de Bell. Jud. II, 8, unde sua Noster hausit, et Phil. Jud. ed.

λῆλοι ὄντες καὶ ἐγκρατεῖς, πάσης τε ἐπιθυμίας ἔργον ἀποστρέφονται, ἀπεχθῶς καὶ πρὸς [τὸ] τὰ τοιαῦτα ἀκοῦσαι ἔχοντες, γάμον τε ἀπαγορεύουσι, τοὺς δὲ ἀλλοτρίους παῖδας ἀναλαμβάνοντες τεκνοποιοῦνται καὶ πρὸς τὰ ἴδια ἤθη ἄγουσιν, οὕτως ἀνατρέφοντες καὶ ἐπὶ τοῖς μαθήμασι προβιβάζοντες, οὐ τὸ γαμεῖν κωλύοντες, ἀλλ' αὐτοὶ γάμου ἀπεχόμενοι. Γυναῖκας δὲ, εἰ καὶ τῇ αὐτῇ προαιρέσει βούλοιντο προσέχειν, οὐ προσδέχονται, κατὰ μηδένα τρόπον γυναιξὶ πιστεύοντες.

19 Καταφρονοῦσι δὲ πλούτου, καὶ τὸ πρὸς τοὺς δεομένους κοινωνεῖν οὐκ ἀποστρέφονται, ἀλλ' οὐδέ τις παρ' αὐτοῖς ὑπὲρ τὸν ἕτερον πλουτεῖ. Νόμος γὰρ παρ' αὐ- 119 r. τοῖς τὸν προσιόντα τῇ αἱρέσει τὰ ὑπάρχοντα πωλοῦντα τῷ κοινῷ προσφέρειν, ἃ ὑποδεχόμενος [ὁ] ἄρχων διανέμει ἅπασι πρὸς τὰ δέοντα. Οὕτως οὐδεὶς ἐνδεὴς παρ' αὐτοῖς. Ἐλαίῳ δὲ οὐ χρῶνται, μολυσμὸν ἡγούμενοι τὸ ἀλείφεσθαι. Χειροτονοῦνται δὲ οἱ ἐπιμεληταὶ οἱ πάντων κοινῶν φροντίζοντες, πάντες δὲ ἀεὶ λευχειμονοῦσι.

20 Μία δὲ αὐτῶν οὐκ ἔστι πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοί. Καὶ εἴ τις ἀπὸ ξένης παρῇ τῶν αἱρετιστῶν, πάντα αὐτῷ κοινὰ ἡγοῦνται, καὶ οὓς οὐ πρότερον

Mangey tom. II, p. 459 et sq. et p. 632 et sq., apud quem Ἐσσαῖοι vocantur.

50. Josephus loc. cit. *τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται.*

51. Addidi *τό.*

52. Josephus l. c. *καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δ' ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐκτυποῦσι.*

55. Josephus l. c. *τὸν μὲν γάμον .... οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλασσόμενοι.*

59. Josephus l. c. *καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνητικόν.* Porphyrius qui eadem habet (*de Abst.* IV, 11, 12 etc.) scribit *κοινωνικόν.*

62. Josephus l. c. *τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας.*

63. Addidi *ὁ.*

66. Cod. *ἀλείψεσθαι.*

ib. Josephus: *χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταὶ, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι.*

67. Supersunt literæ *κοινῶ.... .ζοντες*, cum obscuris vestigiis literarum *ντ* et accentu.

68. Joseph. *κατοικοῦσι.*

70. Josephus: *καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους.*

ᾔδεσαν, ὡς οἰκείους καὶ συνήθεις προσδέχονται. Περιΐασι δὲ τὴν πατρῴαν γῆν ἕκαστός τε ἀποδημοῦντες, μηδὲν φέροντες πλὴν ὅπλου. Ἔχουσι δὲ καὶ κατὰ πόλεις προεστῶτα, ὃς τὰ συναγόμενα εἰς τοῦτο ἀναλίσκει, ἐσθῆτα καὶ τροφὰς αὐτοῖς παρασκευάζων. Καταστολὴ δὲ αὐτῶν καὶ σχῆμα κόσμιον. Χιτῶνας δὲ δύο ἢ διπλᾶς ὑποδέσεις οὐ κτῶνται· ἐπὰν δὲ τὰ παρόντα παλαιωθῇ, τότε ἕτερα προσίενται. Οὐδὲν δὲ ὅλως οὔτε ἀγοράζουσιν οὔτε πωλοῦσιν, ὃ δ' ἂν ἔχῃ τις τῷ μὴ ἔχοντι δοὺς, ὃ οὐκ ἔχει λαμβάνει.

21 Παραμένουσι δὲ ἀτάκτως καὶ ἐπιμόνως εὐχόμενοι ἕωθεν, μηδὲν πρότερον φθεγξάμενοι εἰ μὴ τὸν Θεὸν ὑμνήσωσι· καὶ οὕτω προελθόντες ἕκαστοι ἐφ' ὃ βούλονται πράττουσι, καὶ ἕως ὥρας πέμπτης πράξαντες ἐπανίασιν. Ἔπειτα πάλιν συνελθόντες εἰς ἕνα τόπον περιζώμασί τε λινοῖς περιζωσάμενοι πρὸς τὸ καλύψασθαι τὴν αἰσχύνην, οὕτως ὕδατι ψυχρῷ ἀπολούονται, καὶ μετὰ τὸ οὕτως ἁγνίσασθαι, εἰς ἓν οἴκημα συνίασιν (οὐδεὶς δὲ ἑτεροδόξῳ σύνεισιν ἐν τῷ οἴκῳ), καὶ περὶ ἀριστοποιΐαν χωροῦσι. Καθισάντων δὲ κατὰ τάξιν μεθ' ἡσυχίας
119 v. προσφέρονται ἄρτον, ἔπειτα ἕν τι προσφάγιον, ἐξ οὗ ἑκάστῳ τὸ αὔταρκες μέρος. Οὐ πρότερον δὲ γεύεταί τις αὐτῶν, εἰ μὴ ἐπεύξεται εὐλογῶν ὁ ἱερεύς. Μετὰ δὲ τὸ ἄριστον ἐπευξαμένου πάλιν, ἀρχόμενοί τε καὶ πάλιν παυόμενοι ὑμνοῦσι τὸν Θεόν. Ἔπειτα τὰς ἐσθῆτας, ἃς

71. Cod. *εἴδεσαν*.

72. Fort. *ἕκαστός τις*.

75. Josephus: *ταμιεύων ἐσθῆτα καὶ τὰ ἐπιτήδεια*.

81. Corrigendum videtur *εὐτάκτως*. Confer l. 90, *κατὰ τάξιν*.

86. Josephus: *ζωσάμενοί τε σκεπάσμασι* (Porph. *σκέπασι*) *λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι· καὶ μετὰ ταύτην τὴν ἁγνείαν, εἰς ἴδιον οἴκημα συνίασιν*.

90. Cod. *καθησάντων*.

91. Josephus: *ὁ μὲν σιτοποιὸς ἐν τάξει παρατίθησιν ἄρτους, ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι*.

93. Cod. *εἰμί*.

94. Cod. *δὲ καί*.

95. Cod. *παβόμενοι*.

ib. Josephus: *γεραίρουσι τὸν Θεὸν ὡς χορηγὸν τῆς τροφῆς*.

ἔνδον συνεστιώμενοι ἀμφιέννυνται, ἀποθέμενοι ὡς ἱερὰς, εἰσὶ δὲ λιναῖ, τὰς ἐν τῇ προόδῳ πάλιν ἀναλαμβάνοντες, ἐπὶ τὰ φίλα ἔργα ὁρμῶσιν ἕως δείλης. Δειπνοῦσι δὲ ὁμοίως τοῖς προειρημένοις πάντα ποιήσαντες. Οὐδεὶς δὲ πώποτε κραυγάσει, ἤ τις ἑτέρα θορυβώδης ἀκολουθήσεται φωνὴ, ἠρέμα δὲ ἕκαστοι λαλοῦντες, εὐσχημόνως ἕτερος τῷ ἑτέρῳ τὴν ὁμιλίαν συνεχώρει, ὡς τοῖς ἔξωθεν μυστήριόν τι καταφαίνεσθαι τὴν τῶν ἔνδον σιωπήν. Νήφουσι δὲ πάντοτε πάντα μέτρῳ καὶ ἐσθίοντες καὶ πίνοντες.

22 Πάντες μὲν οὖν τῷ προεστῶτι προσέχουσι, καὶ ὅσα κελεύσει ὡς νόμῳ πείθονται. Ἐσπουδάκασι γὰρ πρὸς τὸ ἐλεεῖν καὶ βοηθεῖν τοῖς καταπονουμένοις. Πρὸ δὲ πάντων ὀργῆς ἀπέχουσι καὶ θυμοῦ καὶ πάντων τῶν ὁμοίων, ἐπίβουλα ταῦτα τοῦ ἀνθρώπου κρίνοντες. Οὐδεὶς δὲ ὄμνυσι παρ᾽ αὐτοῖς, ὅσα δ᾽ ἄν τις εἴπῃ, τοῦτο ὅρκου ἰσχυρότερον κρίνεται. Εἰ δὲ ὀμόσει τις, καταγινώσκεται ὡς μὴ πιστευθείς. Σπουδάζουσι δὲ περὶ τὰς τοῦ νόμου ἀναγνώσεις καὶ προφητῶν, ἔτι δὲ καὶ εἴ τι σύνταγμα εἴη πιστῶν. Πάνυ δὲ περιέργως ἔχουσι περὶ βοτάνας καὶ λίθους, περιεργότεροι ὄντες πρὸς τὰς τούτων ἐνεργείας, φάσκοντες μὴ μάτην ταῦτα γεγονέναι.

23 Τοῖς δὲ βουλομένοις τῇ αἱρέσει μαθητεύειν οὐκ εὐθέως τὰς παραδόσεις ποιοῦνται, εἰ μὴ πρότερον δοκιμάσωσιν.
120 r. Ἐπ᾽ ἐνιαυτὸν δὲ τὰς ὁμοίας τροφὰς παρατιθέασιν ἔξω τῆς ἑαυτῶν συνόδου οὖσιν ἐν ἑτέρῳ οἴκῳ, ἀξινάριόν τε

96. Cod. ἀμφιέννυνται.
ib. Joseph. καταθέμενοι.
97. Cod. λίναι.
1. Corrigendum videtur ἀκουσθήσεται.
3. Fort. συγχωρεῖ. Josephus: τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις.
7–8. Scrib. ὅσ᾽ ἂν κελεύσῃ, vel ὅσα κελεύει.
13. Cod. ὠμώσει.
21. Cod. τοῖς pro τάς.
23. Syllabarum συνοδ tenuissima vestigia in cod. Josephus:

καὶ τὸ λινοῦν περίζωμα καὶ λευκὴν ἐσθῆτα δόντες. Ἐπειδὰν τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισιν ἐγγίω τῇ διαίτῃ, καὶ καθαρωτέρως ἀπολαύεται ἢ τὸ πρότερον. Οὐδέπω δὲ σὺν αὐτοῖς τροφῆς μεταλαμβάνει· μετὰ γὰρ τὸ δεῖξαι εἰ ἐγκρατεύεσθαι δύναται, ἐπὶ ἔτη ἄλλα δύο δοκιμάζεται τοῦ τοιούτου (γὰρ) τὸ ἦθος, καὶ φανεὶς ἄξιος, οὕτως εἰς αὐτοὺς κρίνεται. Πρὶν δὲ αὐτοῖς συνεστιαθῇ, ὅρκοις φρικτοῖς ὁρκίζεται, πρῶτον μὲν εὐσεβήσειν τὸ Θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν καὶ κατὰ μηδένα τρόπον ἀδικήσειν τινὰ, μηδένα δὲ μήτε ἀδικοῦντα μήτε ἐχθρὸν μισήσειν, προσεύχεσθαι δὲ ὑπὲρ αὐτῶν, συναγωνίζεσθαι αὐτῶν τοῖς δικαίοις, τὸ πιστὸν πᾶσι παρέξειν, μάλιστα τοῖς κρατοῦσιν· οὐ γὰρ δίχα Θεοῦ συμβαίνει τινὶ τὸ ἄρχειν· κἂν αὐτὸς ἄρχῃ, μηδέποτε ὑπερηφανεύσασθαι ἐν ἐξουσίᾳ, μηδὲ ἀπειθήσειν ἢ τινὶ κόσμῳ πλεῖον τοῦ ἔθους χρήσασθαι· φιλαλήθη δὲ εἶναι, τὸν δὲ ψευδόμενον ἐλέγχειν, μηδὲ κλέπτειν, μηδὲ συνείδησιν ἐπὶ ἀνόμῳ κέρδει μολύνειν, μηδὲν ἀποκρύπτειν τοὺς συναιρεσιώτας· ἑτέροις δὲ μηδὲν ἐξειπεῖν, κἂν μέχρι θανάτου τις βιάζηται. Πρὸς τούτοις ὄμνυσι μηδενὶ μεταδοῦναι τῶν δογμάτων ἑτέρως ἢ ὡς αὐτὸς μετέλαβε.

τῷ δὲ ζητοῦντι τὴν αἵρεσιν αὐτῶν οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι κ.τ.λ.

26. Cod. ἐγγίῳ, cum ι subscripto.

ib. Josephus καθαρωτέρων. Porphyrius qui Josephum exscripsit καθαρώτερον. Hoc adverbio καθαρωτέρως carent lexica.

27. Josephus: παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω.

ib. Cod. οὐδυνέω pro οὐδέπω.

29. Dele vocem γάρ.

30. Joseph.: οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται.

31. Joseph.: ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις.

33. Porphyr. διαφυλάξειν.

34. Aliter apud Josephum: μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους καὶ συναγωνιεῖσθαι (Porph. συναγωνίζεσθαι, Euseb. συναδικεῖσθαι) τοῖς δικαίοις.

38. Joseph.: μηδὲ πώποτε ἐξυβρίζειν εἰς τὴν ἐξουσίαν.

42. Voce συναιρεσιώτης carent lexica. Joseph.: τοὺς αἱρετιστάς.

45. Porphyr. et Euseb. παρέλαβεν. Josephus addit: ἀφέξεσθαι

24 Τοιούτοις οὖν ὅρκοις δεσμεύουσι τοὺς προσερχομένους· εἰ δέ τις ἐν ἁμαρτήματι τιν[ὶ καταγνωσθ]ῇ, ἀπο-
120 v. βάλλεται τοῦ δόγματος, ὁ δὲ ἀποβληθεὶς, δεινῷ μόρῳ ἔσθ' ὅτε διαφθείρεται. Τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν. Ἔσθ' ὅτε οὖν τὸ σῶμα λιμῷ διαφθείρουσιν, . . εν ἐν ἐσχάτοις ποτὲ ἐλεῶσι πολλοὺς ἤδη ἐκλείποντας αὐτῷ ἱκανὴν μέχρι θανάτου ἐπιτιμίαν ἡγούμενοι.

25 Περὶ δὲ τὰς κρίσεις ἀκριβέστατοι καὶ δίκαιοι· δικάζουσι δὲ συνελθόντες οὐκ ἐλάττους τῶν ἑκατὸν, τὸ δὲ ὁρισθὲν ἀπ' αὐτῶν ἀκίνητον. Τιμῶσι δὲ τὸν νομοθέτην μετὰ τὸν Θεὸν, καὶ εἴ τις εἰς τοῦτον βλασφημήσει, κολάζεται. Τοῖς δὲ ἄρχουσι καὶ πρεσβυτέροις ὑπακούειν διδάσκονται· εἰ δὲ ἐπὶ τὸ αὐτὸ δέκα καθέζονται, οὐ λαλήσει εἷς, εἰ μὴ τοῖς ἐννέα δόξει. Καὶ τὸ πτύσαι δὲ εἰς μέσον καὶ τὸ δεξιὸν μέρος φυλάττονται· τὸ δὲ τῷ σαββάτῳ ἀπέχεσθαι ἔργου φροντίζουσι μᾶλλον πάντων Ἰουδαίων. Οὐ μόνον γὰρ τροφὰς αὐτοῖς παρασκευάζονται μιᾶς ἡμέρας πρὸς τὸ μὴ πῦρ ἅπτειν, ἀλλ' οὐδὲ σκεῦος μετατιθέασιν οὐδὲ ἀποπατίζουσι. Τινὲς δὲ οὐδὲ

δὲ ληστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα.

47. Literas uncis supplevimus prorsus ablatas.

48. Joseph.: ἐκβάλλουσι τοῦ τάγματος. Quod τάγματος Nostro reddendum videtur.

ib. Joseph.: ἐκκριθεὶς, οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται.

50. Vox οὐδὲ pæne tota periit.

52. Fort. ὅθεν (duæ literæ desunt), et deinde ἐλεοῦσι.

53. Legendum αὐτῶν. Joseph.: ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι.

57. Leg. ὑπ' αὐτῶν, ut in Josepho.

58. Fort. βλασφημήσειε.

62. Joseph.: εἰς μέσους ἢ τὸ δεξιὸν—μέρος—φυλάσσονται.

ib. Cod. φυλάττωνται.

63. Joseph.: καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι, διαφορώτατα Ἰουδαίων ἁπάντων.

64. Cod. αὐτοῖς. Joseph. ἑαυτοῖς—πρὸ μιᾶς ἡμέρας.

65. Joseph.: ὡς μηδὲ πῦρ ἐναύοιεν.

66. Formam ἀποπατεῖν adhibet Josephus.

ib. Τινὲς—χωρίζονται. Hæc non comparent in Josepho.

κλινιδίου χωρίζονται. Ταῖς δὲ ἄλλαις ἡμέραις, ἐπὰν ἀποπατῖσαι θέλοιεν, βόθρον ὀρύξαντες ποδιαῖον τῇ σκαλίδι (τοιοῦτον γάρ ἐστι τὸ ἀξινάριον ὃ τοῖς προσϊοῦσι μαθητεύεσθαι πρώτως διδόασι), καὶ περικαλύψαντες τὸ ἱμάτιον ἱζάνουσι, φάσκοντες μὴ δεῖν ὑβρίζειν τὰς αὐγὰς, ἔπειτα τὴν ἀνασκαφεῖσαν γῆν ἐπεμβάλλουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσιν ἐκλε[γό]μενοι [τοὺς] ἐρη-
121 r. μοτέρους τόπους. Ἐπὰν δὲ τοῦτ[ο ποιήσωσ]ιν, εὐθὺς ἀπολούονται ὡς μιαινούσης τῆς ἐκκρίσεως.

26 Διήρηνται δὲ [κα]τὰ [χρ]όνον καὶ οὐχ ὁμοίως τὴν ἄσκησιν φυλάττουσιν εἰς τέσσαρα μέρη διαχωρισθέντες. Ἕτεροι γὰρ αὐτῶν τὰ ὑπὲρ τὸ δέον ἀσκοῦσιν, ὡς μηδὲ νόμισμα βαστάζειν, λέγοντες μὴ δεῖν εἰκόνα ἢ φέρειν ἢ ὁρᾶν ἢ ποιεῖν. Διὸ οὐδὲ εἰς πόλιν τις αὐτῶν εἰσπορεύεται, ἵνα μὴ διὰ πύλης εἰσέλθῃ, ἐφ' ᾗ ἀνδριάντες ἔπεισιν, ἀθέμιτον τοῦτο ἡγούμενοι τὸ ὑπὸ εἰκόνας παρελθεῖν. Ἕτεροι δὲ ἐπὰν ἀκούσωσι τινὸς περὶ Θεοῦ διαλεγομένου καὶ τῶν τούτου νόμων, εἰ ἀπερίτμητος εἴη, παραφυλάξας τὸν τοιοῦτον ἐν τόπῳ τινὶ μόνον, φονεύειν ἀπειλεῖ εἰ μὴ περιτμηθείη· ὃς εἰ μὴ βούλοιτο πείθεσθαι, οὐ φείδεται, ἀλλὰ καὶ σφάζει. Ὅθεν ἐκ τοῦ συμβαίνοντος τὸ ὄνομα προσέλαβον, Ζηλωταὶ καλούμενοι, ὑπό τινων δὲ Σικάριοι. Ἕτεροι δὲ αὐτῶν οὐδένα κύριον ὀνομάζουσι πλὴν τὸν Θεὸν, εἰ καὶ αἰκίζοιτό τις ἢ καὶ ἀναιροῖτο. Τοσοῦτον δὲ οἱ μετέπειτα ἐλάττους τῇ ἀσκή-

68. Ἐπὰν—θέλοιεν hæc non habet Josephus. Malim ἀποπατῆσαι quam ἀποπατίσαι.
69. Joseph.: ἀξινίδιον.
70. Joseph.: περικαλύψαντες θοιματίῳ.
72. Joseph.: τὴν ἀνορυχθεῖσαν γῆν ἐφέλκουσιν εἰς τ. β.
73–75. Uncis inclusa prorsus ablata sunt in codice.
75. Cod. ὡς μὴ αἰνούσης.
78. Sequentia non habet Josephus.
81. Cod. ἐφ' ἥν.
86. Cod. εἰμὶ.
88. Unde apud nos hodierna vox *Sectaire*.
89. De voce Σικάριοι cf. Cangium *Glossar. med. et inf. Græc.* s. h. v.

σει γεγένηνται, ὥστε τοὺς τοῖς ἀρχαίοις ἔθεσιν ἐμμένοντας μηδὲ προσψαύειν αὐτῶν· ὧν εἰ ψαύσοιεν, εὐθέως ἀπολούονται, ὥς τινος ἀλλοφύλου ψαύσαντες. Εἰσὶ δὲ καὶ μακρόβιοι οἱ πλεῖστοι, ὥστε καὶ πλέον ἑκατὸν ἔτεσι ζῆν. Φασὶν οὖν εἶναι αἴτιον τό τε τῆς ἄκρας θεοσεβείας, καὶ τῷ καταγνωσθῆναι ἀμέτρως προσφέρεσθαι 121 v. ἐγκρατιστὰς εἶναι καὶ ἀοργήτους· θανάτου δὲ καταφρονοῦσι χαίροντες, ἡνίκα μετὰ συνειδήσεως ἀγαθῆς τελευτῶσιν. Εἰ δὲ καὶ αἰκίζοιτό τις τοὺς τοιούτους, ἵνα ἢ τὸν νόμον δυσφημήσῃ, ἢ εἰδωλόθυτον φάγῃ, οὐ π[ον]ήσει ὑπομένων θανεῖν καὶ βασάνους βαστάσαι, ἵνα τὸ συνειδὸς μὴ παρέλθῃ.

27 Ἔρρωται δὲ παρ᾽ αὐτοῖς καὶ ὁ τῆς ἀναστάσεως λόγος· ὁμολογοῦσι γὰρ καὶ τὴν σάρκα ἀναστήσεσθαι καὶ ἔσεσθαι ἀθάνατον, ὃν τρόπον ἤδη ἀθάνατός ἐστιν ἡ ψυχή, ἣν χωρισθεῖσαν νῦν ἔστιν εἰς ἕνα χῶρον εὔπνουν καὶ φωτεινὸν ἀναπαύεσθαι ἕως κρίσεως, ὃν χῶρον Ἕλληνες ἀκούσαντες Μακάρων νήσους ὠνόμασαν. Ἀλλὰ καὶ ἕτερα τούτων δόγματα πολλοὶ τῶν Ἑλλήνων σφετερισάμενοι, ἰδίας δόξας συνεστήσαντο. Ἔστι γὰρ ἡ κατὰ τούτους ἄσκησις περὶ τὸ Θεῖον ἀρχαιοτέρα πάντων ἐθνῶν, ὡς δείκνυσθαι πάντας τοὺς περὶ Θεοῦ εἰπεῖν τετολμηκότας, ἢ τῆς περὶ τῶν ὄντων δημιουργίας, μὴ ἑτέρωθεν παρειληφέναι τὰς ἀρχὰς ἢ ἀπὸ τῆς Ἰουδαϊκῆς νομοθεσίας· ὧν μάλιστα Πυθαγόρας καὶ οἱ ἀπὸ τῆς Στοᾶς παρ᾽ Αἰγυπτίοις τούτοις μαθητευθέντες παρέλαβον. Λέγουσι δὲ καὶ κρίσιν ἔσεσθαι καὶ τοῦ παντὸς ἐκπύρωσιν, καὶ τοὺς ἀδίκους κολασθήσεσθαι εἰσαεί.

92. Cod. γεγένηται.

93. Cod. πρὸς ψάβειν.

94. Hæc rursus apud Josephum.

95. Cod. ἐκτόν.

97. Cod. καταγνωσθὴ ἀμ.

2. Cod. π..ήσει, duabus literis ablatis.

10. De Μακάρων νήσοις cf. *Thesaurus Ling. Gr.* v. Μάκαρ.

Ἀσκεῖται δὲ ἐν αὐτοῖς τὸ προφητεύειν καὶ προλέγειν τὰ ἐσόμενα.

28 Ἔστι μὲν οὖν καὶ ἕτερον Ἐσσηνῶν τάγμα, τοῖς μὲν αὐτοῖς ἤθεσι καὶ διαίτῃ χρώμενοι, ἑνὶ δὲ τούτων ἐνδιαλλάττουσι τῷ γαμεῖν, δεινόν τι λέγοντες δρᾶν τοὺς 122 r. ἀ[πο]ποιήσαντας γάμου· πρὸς τὴν ἀναίρεσιν τοῦ βίου γίνεσθαι τοῦτο καὶ μὴ δεῖν ἐκκόπτειν τὴν τῶν τέκνων διαδοχὴν φάσκοντες, ὡς εἰ πάντες τοῦτο φρονήσειαν, ἐκκοπήσεσθαι ῥᾳδίως τὸ πᾶν γένος ἀνθρώπων. Δοκιμάζουσι μέντοι τριετίᾳ τὰς γαμετάς· ἐπὰν δὲ τρὶς καθαρθῶσιν εἰς [πεῖρα]ν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. Ταῖς ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐπιδεικνύμενοι τὸ μὴ δι' ἡδονὴν γαμεῖν, ἀλλὰ διὰ τέκνων χρείαν. Ὁμοίως δὲ καὶ αἱ γυναῖκες ἀπολούονται καὶ αὐταὶ ἐπ' ἕνα ἐνδυόμεναι λινοῦν, ὃν τρόπον οἱ ἄνδρες τὰ περιζώματα. Ταῦτα μὲν οὖν κατὰ Ἐσσηνούς. Ἕτεροι δὲ καὶ αὐτοὶ τῶν Ἰουδαίων ἐθῶν ἀσκηταὶ καὶ κατὰ γένος καὶ κατὰ νόμους Φαρισαῖοι καλούμενοι, ὧν τὸ μὲν πλεῖστον μέρος ἐστὶ κατὰ πάντα τόπον, πάντων μὲν Ἰουδαίων καλουμένων, διὰ δὲ τὰς ἰδίως δοξαζομένας γνώμας ὀνόμασι κυρίοις ἐπικαλουμένων. Οὗτοι μὲν οὖν τὴν ἀρχαίαν παράδοσιν διακρατοῦντες, ἐπὶ τοῖς κατὰ νόμον καθαροῖς καὶ μὴ καθαροῖς ἐπιεικῶς ἐξετάζοντες διαμένουσι· τά τε τοῦ νόμου ἑρμηνεύουσι, διδασκάλους εἰς ταῦτα προβιβάζοντες. Οὗτοι εἱμαρμένην εἶναι λέγουσι, καὶ τινὰ μὲν κατ' ἐξουσίαν εἶναι, τινὰ δὲ κατὰ τὴν

23. Cod. Ἐσηνῶν.
24. Cod. ἐνδιαλάττ.
25. Cod. λέγοντος.
26. Literæ πο prorsus ablatæ.
31. Ex Josepho suppletum.
32. Joseph. ἐκδεικνύμενοι.
34. Fortasse ἔπεμμα ἐνδ., quod ex dialecto, ut fit, in vulgarem linguam intraverit. Malim tamen ἐπένδυμα.
36. Cod. ἐσηνούς.
37. Cod. ἐθνῶν.
38. De Pharisæis cf. Fl. Joseph. Antiq. Jud. XVIII, 1, 5.
41. Cod. καιρίοις.
43. Cod. ἐπιεικός.

εἱμαρμένην, ὡς τινὰ μὲν ἐφ' ἡμῖν, τινὰ δὲ τῆς εἱμαρμένης, Θεὸν δὲ πάντων εἶναι αἴτιον, καὶ μηδὲν ἄνευ θελήματος αὐτοῦ διοικεῖσθαι ἢ συμβαίνειν. Οὗτοι καὶ σαρκὸς ἀνάστασιν ὁμολογοῦσι καὶ ψυχὴν ἀθάνατον, καὶ κρίσιν ἐσομένην καὶ ἐκπύρωσιν, καὶ δικαίους μὲν ἀφθάρτους ἔσεσθαι, ἀδίκους δὲ εἰσαεὶ κολασθήσεσθαι ἐν πυρὶ ἀσβέστῳ.

29 Ταῦτα μὲν οὖν καὶ Φαρισαῖοι. Σαδδουκαῖοι δὲ τὴν μὲν εἱμαρμένην ἀναιροῦσι, [καὶ] τὸ[ν Θεὸν] μηδέν τι κακὸν δρᾶν ἢ ἐφορᾶν ὁμολογοῦσιν, εἶναι δὲ ἐξ ἀνθρώ-
122 v. πων ἐξουσίαν τὸ αἱρεῖσθαι τὸ ἀγαθὸν ἢ κακόν. Ἀνάστασιν δὲ ἀρνοῦνται οὐ μόνον σαρκὸς, ἀλλὰ καὶ ψυχὴν μὴ διαμένειν νομίζουσι· [ταύτην δὲ] εἶναι μόνον τὸ ζῆν, καὶ τοῦτο δὲ εἶναι οὗ χάριν ἐγένετο ἄνθρωπος· ἐνὶ δὲ τῷ πληροῦσθαι τὸν τῆς ἀναστάσεως λόγον, ἐν τῷ καταλείψαντας ἐπὶ γῆς τὰ τέκνα τελευτᾶν· μετὰ δὲ θάνατον μηδὲν ἐλπίζειν παθεῖν ἢ κακὸν ἢ ἀγαθόν. Λύσιν γὰρ ἔσεσθαι καὶ ψυχῆς καὶ σώματος καὶ εἰς τὸ μὴ εἶναι χωρεῖν τὸν ἄνθρωπον, καθ' ὃ καὶ τὰ λοιπὰ ζῷα· ὅ,τι δ' ἂν δράσῃ ἄνθρωπος ἐν τῷ βίῳ κακὸν ἄνθρωπος καὶ διαλλαχθῇ, κεκέρδηκε τὴν ὑπὸ ἀνθρώπων διαφυγὼν κόλασιν· ὅ,τι δ' ἂν κτήσηται καὶ πλουτήσας δοξασθῇ, τοῦτο κεκέρδηκε· μέλειν δὲ θεῷ μηδὲν τῶν κατὰ ἕνα. Καὶ οἱ μὲν Φαρισαῖοι φιλάλληλοι, οἱ δὲ Σαδδουκαῖοι φίλαυτοι. Αὕτη ἡ αἵρεσις περὶ τὴν Σαμάρειαν μᾶλλον ἐκρατύνθη. Καὶ αὐτοὶ δὲ τοῖς τοῦ νόμου ἔθεσι προσέχουσι, λέγοντες δεῖν οὕτω ζῆν ἵνα καλῶς βιώσῃ καὶ

55. Literarum uncis inclusarum tenuissima vestigia supersunt. Restituimus ex Josepho B. Jud. II, 8, § 14.

57. Corrig. videtur τοῦ αἱρ.

59. Exesorum vocabulorum satis certa vestigia adsunt.

60–61. Cod. ἐν δὲ τῷ πληρ.

66. Fortasse ἄνθρωπον ἐν.

67. Cod. διαλαχθῇ.

ib. Cod. διὰ φυγῶν.

69. Cod. μέλλειν.

τέκνα ἐπὶ γῆς καταλείπῃ. Προφήταις δὲ οὐ προσέχουσιν, ἀλλ' οὐδὲ ἑτέροις τισὶ σοφοῖς, πλὴν μόνῳ τῷ διὰ Μωσέως νόμῳ, μηδὲν ἑρμηνεύοντες. Ταῦτα μὲν οὖν ἃ καὶ οἱ Σαδδουκαῖοι αἱρετίζουσιν.

30 Ἐπεὶ τοίνυν καὶ τὰς παρὰ Ἰουδαίοις διαφορὰς ἐκτεθείμεθα, εὔλογον δοκεῖ καὶ τὴν ἄσκησιν τῆς τούτων θεοσεβείας μὴ παρασιωπᾶν. Ἔστι μὲν οὖν ἡ κατὰ πάντας Ἰουδαίους κατὰ τὴν θεοσέβειαν πραγματεία τετραχῇ, θεολογικὴ, φυσικὴ, ἠθικὴ, ἱερουργική. Καὶ τὸν μὲν Θεὸν ἕνα εἶναι λέγουσι δημιουργόν τε τοῦ παντὸς
123 r. καὶ κ . . ποιήσαντα πάντα οὐ πρότερον ὄ[ντα], οὐδὲ ἔκ τινος ὑποκειμένης συγχρόνου οὐσίας, ἀ[λλὰ θ]ελήσαντα καὶ κτίσαντα. Εἶναί τε ἀγγέλους καὶ τούτους γενομένους πρὸς λειτουργίαν τῆς κτίσεως, ἀλλὰ καὶ πνεῦμα ἐξουσιαστικὸν πρὸς δόξαν καὶ αἶνον Θεῷ ἀεὶ παραμένοντα· πάντα δὲ ἐν τῇ κτίσει αἴσθησιν ἔχειν καὶ μηδὲν εἶναι ἄψυχον. Ἤθους τε ἀντιποιοῦνται σεμνοῦ καὶ σώφρονος βίου, καθὼς ἔστιν ἐκ τῶν νόμων ἐπιγνῶναι. Ταῦτα δὲ πάλαι ἀκριβαζόμενα ἦν παρὰ τοῖς ἀρχῆθεν νεοστὶ τὸν νόμον παρειληφόσιν, ὡς τὸν ἐντυγχάνοντα καταπλαγῆναι ἐπὶ τοσαύτῃ σωφροσύνῃ καὶ ἐπιμελείᾳ τοῦ περὶ τὸν ἄνθρωπον νομοθετουμένου ἤθους. Ἱερουργικὴ δὲ λειτουργία ἄκρως ἐξήσκητο παρ' αὐτοῖς εὐσχημόνως πρὸς τὸ θεῖον προσφερομένη, καθὼς τοῖς βουλομένοις ῥᾴδιόν ἐστιν ἐντυχοῦσι τῇ περὶ τούτων ἐξαγορευούσῃ βίβλῳ μαθεῖν, ὡς σεμνῶς καὶ ὁσίως τῷ Θεῷ ἀπαρχόμενοι τῶν παρ' αὐτοῦ δεδωρημένων εἰς χρῆσιν καὶ ἀπόλαυσιν ἀνθρώπων, κελευόμενοι εὐτάκτως καὶ παραμόνως ἐλειτούργουν. Τούτων δέ τινα οἱ Σαδδουκαῖοι ἀπαγορεύουσιν· οὐ γὰρ βούλονται ἀγγέλους ἢ

78. Cod. ἐκτεθήμεθα.
84. Fortasse καί bis exaratum erat. Sequuntur aliæ lacunæ duæ.
93. In νεοστὶ fortasse latet ἐν ὄρει.
4. Cod. βούλοινται.

πνεύματα ὑπάρχειν. Οἱ δὲ πάντες ὁμοίως Χριστὸν προσδέχονται, τοῦ μὲν νόμου καὶ τῶν προφητῶν παρεσόμενον προκηρυξάντων. Τῶν δὲ Ἰουδαίων τὸν καιρὸν τῆς παρουσίας μὴ ἐπιγνόντων, ἐπιμένειν τὴν ὑπόνοιαν τοῦ δοκεῖν μὴ τὰ εἰ[ρημένα] περὶ τῆς παρουσίας τετελέσθαι, προσδοκᾶν δὲ ἤδη Χριστὸν παρεσόμενον διὰ τὸ
123 v. παρόντα μὴ ἐπεγνωκέναι. Καὶ τὰ σύμβολα τῶν καιρῶν τοῦ ἤδη παραγεγονέναι ὁρῶντας ταράττεσθαι, αἰδεῖσθαί τε ὁμολογεῖν ἐληλυθέναι, ἐπεὶ αὐτόχειρες αὐτοῦ γεγένηνται ἀγανακτοῦντες, ἐλεγχόμενοι ὑπ' αὐτοῦ ὅτι τοῖς νόμοις μὴ ὑπήκουσαν. Καὶ τὸν μὲν οὕτως ἀποσταλέντα ὑπὸ τοῦ Θεοῦ, Χριστὸν οὐκ εἶναι τοῦτον λέγουσιν· ἐλεύσεσθαι δὲ ἕτερον, τὸν οὐκ ὄντα, εἰς ὄντα μὲν σύμβολα ἐκ μέρους, ὅσα ὁ νόμος καὶ οἱ προφῆται προέφηναν, ὁμολογοῦσι, τινὰ δὲ καὶ πλανώμενοι νομίζουσι. Γένεσιν μὲν γὰρ αὐτοῦ ἐσομένην λέγουσιν ἐκ γένους Δαβὶδ, ἀλλ' οὐκ ἐκ παρθένου καὶ ἁγίου Πνεύματος, ἀλλ' ἐκ γυναικὸς καὶ ἀνδρὸς ὡς πᾶσιν ὅρος γεννᾶσθαι ἐκ σπέρματος, φάσκοντες τοῦτον ἐσόμενον βασιλέα ἐπ' αὐτοὺς, ἄνδρα πολεμιστὴν καὶ δυνατὸν, ὃς ἐπισυνάξας τὸ πᾶν ἔθνος Ἰουδαίων, πάντα τὰ ἔθνη πολεμήσας, ἀναστήσει αὐτοῖς τὴν Ἱερουσαλὴμ πόλιν βασιλίδα, εἰς ἣν ἐπισυνάξει ἅπαν τὸ ἔθνος, καὶ πάλιν ἐπὶ τὰ ἀρχαῖα ἔθη ἀποκαταστήσει, βασιλεῦον καὶ ἱερατεῦον καὶ κατοικοῦν ἐν πεποιθήσει ἐν χρόνοις ἱκανοῖς· ἔπειτα ἐπαναστῆναι κατ' αὐτῶν πόλεμον ἐπισυναχθέντων· ἐν ἐκείνῳ τῷ πολέμῳ πεσεῖν τὸν Χριστὸν ἐν μαχαίρῃ, ἔπειτα μετ' οὐ πολὺ τὴν συντέλειαν καὶ ἐκπύρωσιν τοῦ παντὸς ἐπιστῆναι, καὶ οὕτως τὰ περὶ τὴν ἀνάστασιν

9. Syllabæ ρημένα ablatæ.
ib. Cod. ἐπί.
13. Scripsimus ἐληλυθέναι. Initio lacunæ ἐ, in fine αι, et paulo ante accentus conspicitur.
19. Cod. πλανώμενον.
23. Cod. γενᾶσθαι.

δοξαζόμενα ἐπιτελεσθῆναι τάς τε ἀμοιβὰς ἑκάστῳ κατὰ τὰ πεπραγμένα ἀποδοθῆναι.

31 Δοκεῖ μὲν ἡμῖν ἱκανῶς τὰ πάντων Ἑλλήνων τε καὶ βαρβάρων δόγματα ἐκτεθεῖσθαι, μηδὲν δὲ ἀπολελειπέναι μήτε τῶν φιλοσοφουμένων μήτε τῶν ὑπὸ αἱρετικῶν
124 r. φ[ασκο]μένων ἀναπόδεικτον. Οἷς ἐξ αὐτῶν τῶν ἐκτεθέντων φανερὸς γεγένηται ὁ ἔλεγχος ἢ κλεψιλογησάντων ἢ τινὰ ἐρανισαμένων αὐτὰ τὰ ὑπὸ Ἑλλήνων πεπονημένα παραθεμένων ὡς θεῖα. Διὰ πάντων οὖν διαδραμόντες καὶ μετὰ πολλοῦ πόνου ἐν ταῖς ἐννέα βίβλοις τὰ πάντα δόγματα ἐξειπόντες, πᾶσί τε ἀνθρώποις ἐφόδιον ἐν βίῳ μικρὸν καταλιπόντες, καὶ τοῖς παροῦσιν οὐκ ὀλίγοις χαρᾶς καὶ θυμηδίας φιλομάθειαν παρασχόντες, εὔλογον ἡγούμεθα ὥσπερ κορυφὴν τοῦ παντὸς [τὸν] περὶ ἀληθείας λόγον ἐπενέγκαι, καὶ τοῦτον ἐν μιᾷ βίβλῳ τῇ δεκάτῃ περιγράψαι, ὅπως ὁ ἐντυγχάνων μὴ μόνον ἀνατροπὴν τῶν τετολμηκότων αἱρέσεις συστήσασθαι ἐπιγνοὺς καταφρονήσῃ τῶν ματαίων, ἀλλὰ καὶ τὴν τῆς ἀληθείας δύναμιν ἐπιγνοὺς, ἀξίως Θεῷ πιστεύσας σωθῆναι δυνηθῇ.

37. Cod. ἐκτεθῆσθαι.
ib. Cod. ἀπολελυπέναι.
39. Literæ suppletæ lacunam exacte implent; supersunt vestigia literarum α et κ.
43. Cod. τοῖς. Vel βιβλίοις.
46. Cod. θυμιδίας.
47. Addidi τόν.

# ΩΡΙΓΕΝΟΥΣ

## ΤΟΥ ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΥ

### ΒΙΒΛΙΟΝ Ι′.

1 ΤΑΔΕ ἔνεστιν ἐν τῇ δεκάτῃ τοῦ κατὰ πασῶν αἱρέσεων Ἐλέγχου.

2 Ἐπιτομὴ πάντων τῶν φιλοσόφων.

3 Ἐπιτομὴ πασῶν αἱρέσεων.

4 Καὶ ἐπὶ πᾶσι τίς ὁ τῆς ἀληθείας λόγος.

5 Τὸν λαβύρινθον τῶν αἱρέσεων οὐ βίᾳ διαρρήξαντες ἀλλὰ μόνῳ ἐλέγχῳ ἀληθείας δυνάμει διαλύσαντες, πρόσιμεν ἐπὶ τὴν τῆς ἀληθείας ἀπόδειξιν· τότε γὰρ τῆς πλάνης ἔντεχνα σοφίσματα ἀσύστατα φανερωθήσεται, ἐπὰν ὁ τῆς ἀληθείας ὅρος ἐπιδειχθῇ οὐκ ἀπὸ σοφίας Ἑλλήνων ἀρχὰς μεταλαβών, οὐδ' Αἰγυπτίων δόγματα (τὰ ἐν αὐτοῖς μετ' ἀξιοπιστίας θρησκευόμενα
124 v. μάταια) ὡς ἄρρητα διδαχθεὶς, οὐδὲ Χαλδαίων ἀσυστάτῳ περιεργίᾳ σοφισθεὶς, οὐδὲ Βαβυλωνίων ἀλογίστῳ μανίᾳ δι' ἐν[εργεί]ας δαιμόνων καταπλαγεὶς, ἀλλ' ὡς ὑπάρχει τρόπῳ ὅρος ἀληθὴς ὤν, ἀφύλακτός τε καὶ ἀκαλλώπιστος, μόνον φανεὶς ἐλέγξει τὴν πλάνην. Περὶ οὗ εἰ καὶ πλειστάκις ἀποδείξεις ἐποιήσαμεν, καὶ ἱκανῶς τὸν τῆς

4. Cod. ἐπὶ τῷ μή.
ib. Fort. πασῶν τῶν αἱρέσεων.
8. Cod. πρόσειμεν.
15. Lacunam explevimus.
ib. Scribendum videtur ἀλλ' ᾧ.
16. Cod. ἀληθείς.

ἀληθείας κανόνα ἀφθόνως τοῖς βουλομένοις ἐπεδείξαμεν, ἀλλά γε καὶ νῦν οὐκ ἄλογον ἐκρίναμεν ἐπὶ πᾶσι τοῖς Ἕλλησι δεδοκημένοις καὶ αἱρετικοῖς ὡσεὶ κορωνίδα τῶν βίβλων ἐπενέγκαι ταύτην τὴν ἀπόδειξιν διὰ τῆς δεκάτης βίβλου.

6 Συμπεριλαβόντες τοίνυν τὰ πάντων τῶν παρ' Ἕλλησι σοφῶν δόγματα ἐν τέσσαρσι βιβλίοις, τὰ δὲ τοῖς αἱρεσιάρχαις ἐν πέντε, νῦν τὸν περὶ ἀληθείας λόγον ἕνα ἐπιδείξομεν, ἀνακεφαλαιούμενοι πρῶτον τὰ πᾶσι δεδοκημένα. Οἱ μὲν γὰρ τῶν Ἑλλήνων δογματισταὶ τὴν φιλοσοφίαν τριχῇ διελόντες, οὕτως ἐφιλοσόφησαν, οἱ μὲν φυσικὴν, οἱ δὲ ἠθικὴν, οἱ δὲ διαλεκτικὴν προσαγορεύσαντες, καὶ οἱ μὲν τὴν φυσικὴν οὗτοι γεγένηνται, οὕτως δὲ διηγήσαντο, οἱ μὲν ἐξ ἑνὸς τὰ πάντα, οἱ δὲ ἐκ πλειόνων· καὶ τῶν ἐξ ἑνὸς, οἱ μὲν ἐξ ἀποίου, οἱ δὲ ἐκ τοῦ ποιοῦ· καὶ τῶν ἐκ ποιοῦ, οἱ μὲν ἐκ πυρὸς, οἱ δὲ ἐξ ἀέρος, οἱ δὲ ἐξ ὕδατος, ἄλλοι δὲ ἐκ γῆς. Καὶ τῶν ἐκ πλειόνων, οἱ μὲν ἐξ ἀριθμητῶν, οἱ μὲν ἐκ δυοῖν, οἱ δὲ ἐκ τεσσάρων, οἱ δὲ ἐκ ε̄, οἱ δὲ ἐκ ϛ̄· καὶ τῶν ἐξ
125 r. ἀπείρων οἱ μὲν ἐξ ὁμοίων τοῖς γενομένοις, οἱ δὲ ἐξ ἀνομοίων. Καὶ πρὸς τούτοις οἱ μὲν ἐξ [ἀπα]θῶν, οἱ δὲ ἐκ παθητικῶν. Ἀποίου μὲν οὖν καὶ ἑνὸς σώματος τὴν τῶν ὅλων συνεστήσαντο γένεσιν οἱ Στωϊκοί. Ἀρχὴ γὰρ τῶν ὅλων κατ' αὐτοὺς ἐστὶν ἡ ἄποιος ὕλη καὶ δι' ὅλων τρέπει· μεταβαλλούσης δὲ αὐτῆς, γίνεται πῦρ, ἀὴρ, ὕδωρ, γῆ. Ἐξ ἑνὸς δὲ καὶ ποιοῦ γεγενῆσθαι τὰ πάντα

25. Cod. βίβλοις (ι superscr.).
ib. Supple δεδοκημένα.
26. Leg. videtur ἑνὶ, sc. βιβλίῳ.
31. Sext. Empir. Adv. Physic. X, 310. ed. Fabric. p. 684 et sqq.
36. Ex Sexto Empir. supple: οἱ δὲ ἐξ ἀπείρων. Καὶ τῶν ἐξ ἀριθμητῶν.
ib. Sext. Emp. ἐκ δύο.
38. Sext. γεννωμένοις.
39. Sext. Καὶ τούτων οἱ μέν.
ib. Sext. παθητῶν. Ἐξ ἀποίου.
41. Sext. ὑπεστήσαντο.
42. Sext. τῶν ὄντων.
43. Sext. τρεπτή. Sic lege.
ib. Sext. τε ταύτης, γίνεται τὰ τέσσαρα στοιχεῖα, πῦρ κ. τ. λ.

θέλουσιν οἵ τε περὶ τὸν Ἵππασον καὶ Ἀναξίμανδρον καὶ Θαλῆ τὸν Μιλήσιον. Ἵππασος μὲν ὁ Μεταπόντιος καὶ Ἡράκλειτος ὁ Ἐφέσιος, ἐκ πυρὸς ἀπεφήναντο τὴν γένεσιν· Ἀναξίμανδρος δὲ ἐξ ἀέρος· Θαλῆς δὲ ἐξ ὕδατος· Ξενοφάνης δὲ ἐκ γῆς· Ἐκ γῆς γὰρ, φησὶ, πάντα ἐστὶ, καὶ εἰς τὴν γῆν πάντα τελευτᾷ.

7 Ἐκ πλειόνων δὲ καὶ ἀριθμητῶν, δυεῖν μὲν γῆς τε καὶ ὕδατος τὰ ὅλα συνεστηκέναι φησὶν ὁ ποιητὴς Ὅμηρος, ὅτε μὲν λέγων,

Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθὺν,

ποτὲ δὲ,

Ἀλλ' ὑμεῖς [μὲν] πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Συμφέρεσθαι δ' αὐτῷ δοκεῖ καὶ ὁ Κολοφώνιος Ξενοφάνης· φησὶ γὰρ

Πάντες γαίης καὶ ὕδατος ἐγενόμεθα.

Ἐκ γῆς δὲ καὶ ἀέρος Εὐριπίδης, ὡς πάρεστιν ἐπιγνῶναι ἐκ τοῦ λέγειν αὐτὸν,

Αἰθέρα καὶ γαῖαν πάντων γενέτειραν ἀείδω.

Ἐκ τεσσάρων δὲ Ἐμπεδοκλῆς, οὕτως λέγων·

45. Sext. οἵ τε. Cod. οἱ δέ.
46. Sext. Θαλῆ. Ὧν Ἵππασος μὲν καὶ κατά τινας Ἡράκλειτος.
ib. Dicitur etiam Μεταποντῖνος; cf. Steph. Byz. sub h. v. Sic scribit Sext. Emp. Pyrrh. III, 4, p. 135.
47. Sext. ἀπέλιπον.
48. Sext. δὲ κατ' ἐνίους.
49. Fort. versus restituendus qui apud Sextum: Ἐκ γαίης γὰρ πάντα καὶ εἰς γῆν πάντα τελευτᾷ.
51. Cod. ἀριθμῶν, correctum e Sexto.
ib. Sext. δυοῖν.
52. τὰ ὅλα συνεστ. φησὶν desunt in Sext.
ib. Cod. φησί.
54. Homer. Il. Ξ, 201.
ib. Cod. τιθέν.
55. Sext. ὁτὲ δέ.
56. Homer. Il. Η, 99. Ex editt. μὲν addidi.
57. Cod. συμφερὲς, posito ς super φε.
ib. Sext. δοκεῖ κατ' ἐνίους.
59. Ex Sext. Emp. Adv. Physic. I, 361, sic legendus est hic versus: Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.
60. Sext. αἰθέρος.
ib. Sext. ἐκδέξασθαι.
63. οὕτως λέγων desunt in Sext.

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς, ἀὴρ, Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεὺς,
Νῆστις δὲ ἠδακτοῖς σπονδε κρουνῷ μαβρόντιον.

Ἐκ πέντε δὲ, Ὄκελλος ὁ Λευκανὸς, καὶ Ἀριστοτέλης· συμπαρέλαβον γὰρ τοῖς τέσσαρσι στοιχείοις τὸ πέμπτον
125 v. καὶ κυκλοφορητικὸν σῶμα, καὶ λέγουσιν εἶναι τὰ οὐράνια. Ἐκ δὲ τῶν ς̄ τὴν τῶν πάντων ὑπέθεντο γένεσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα. Ἐν οἷς μὲν γὰρ λέγει "δ̄ τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε," ἐκ τεσσάρων ποιεῖ τὴν γένεσιν· ὅταν δὲ προσθῇ,

Νεῖκός τ' οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
καὶ φιλίῃ μετὰ οἷσιν, ἴση μῆκός τε πλάτος τε,

ἓξ καὶ παραδίδωσι τὰς τῶν ὅλων ἀρχὰς, δ̄ μὲν ὑλικὰς, γῆν, ὕδωρ, πῦρ, ἀέρα· δύο δὲ τὰς δραστηρίους, φιλίαν καὶ νεῖκος. Ἐξ ἀπείρων δὲ ἐδογμάτισαν τὴν τῶν πάντων γένεσιν οἱ περὶ Ἀναξαγόραν τὸν Κλαζομένιον καὶ Δημόκριτον καὶ Ἐπίκουρον καὶ ἄλλοι παμπληθεῖς, ὧν ἐκ μέρους πρότερον ἐμνήσθημεν. Ἀλλ' ὁ μὲν Ἀναξαγόρας ἐξ ὁμοίων τοῖς γεννωμένοις. Οἱ δὲ περὶ τὸν Δημόκριτον καὶ Ἐπίκουρον, ἐξ ἀνομοίων τε καὶ ἀπαθῶν, τουτέστιν ἐκ τῶν ἀτόμων. Οἱ δὲ περὶ τὸν Ποντικὸν Ἡρακλείδην καὶ Ἀσκληπιάδην ἐξ ἀνομοίων, παθητῶν

64. De versibus hisce Empedoclis quos plurimi scriptores laudant, vid. Fabric. in Sext. Empir. p. 620.

ib. γὰρ pro τῶν Sext.

65. Laertius, Heraclitus, Athenagoras et alii Ζεὺς ἀργής: sed Plutarchus Ζεὺς αἰθὴρ, ut indicat Fabricius loc. cit.

66. Versus ita correctus ab editoribus: Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον. Pro τέγγει fort. noster σπένδει voluit.

67. Cod. ὁ κη.γλος λευκανός.

69. Sext. ἐξ οὗ pro καί.

71. Cod. δὲ τῶν. Sextus τέσταρα.

72. Sext. πρῶτον ἄκουε omittit.

74. Cod. διχάζων ἀταλλάττον.

75. Cod. φιλία. Sext. recte φιλίῃ μετὰ τοῖσιν.

76. καὶ deest in Sext. qui habet τῶν ὄντων.

77. Sext. ἀέρα, πῦρ.

78. Sext. ἐδόξασαν τὴν τῶν πραγμάτων.

84. ἐκ deest ap. Sext.

85. Post ἀνομοίων Sextus addit particulam μέν.

δὲ, καθάπερ τῶν ἀνάρχων ὄγκων. Οἱ δὲ περὶ τὸν Πλάτωνα, ἐκ τριῶν εἶναι ταῦτα λέγουσι, θεὸν καὶ ὕλην καὶ παράδειγμα. Τὴν δὲ ὕλην μερίζει εἰς τέσσαρας ἀρχὰς, πῦρ, ὕδωρ, γῆν, ἀέρα· θεὸν δὲ τὸν ταύτης εἶναι δημιουργὸν, τὸ δὲ παράδειγμα νοῦν.

8 Πεπεισμένοι τοίνυν ὅτι πᾶσι τούτοις ὁμολογουμένως ἄπορος εὑρίσκεται ὁ τῆς φυσιολογίας λόγος, αὐτοὶ περὶ τῶν τῆς ἀληθείας παραδειγμάτων ὡς ἔσται καὶ πεπιστεύκαμεν ἀόκνως ἐροῦμεν, πλ[ὴν] καὶ τὰ τοῖς αἱρεσι-
126 r. άρχαις ἐπιτομῇ πρότερον ἐκθέμενοι, ἵνα καὶ διὰ τούτου εὔγνωστα τὰ πάντων δόγματα παραστήσαντες, φανερὰν καὶ εὔγνωστον τὴν ἀλήθειαν ἐπιδείξωμεν.

9 Ἀλλ᾽ ἐπεὶ οὕτως δοκεῖ, ἀρξώμεθα πρῶτον ἀπὸ τῶν τοῦ ὄφεως λειτουργῶν. Νaaσσηνοὶ ἄνθρωπον καλοῦσι τὴν πρώτην τῶν ὅλων ἀρχὴν, τὸν αὐτὸν καὶ υἱὸν ἀνθρώπου· τοῦτον δὲ τριχῇ διαιροῦσιν. Ἔστι μὲν γὰρ αὐτοῦ, φασὶ, τὸ μὲν νοερὸν, τὸ δὲ ψυχικὸν, τὸ δὲ χοϊκόν. Καλοῦσι δὲ αὐτὸν Ἀδάμαν, καὶ νομίζουσι τὴν εἰς αὐτὸν εἶναι γνῶσιν ἀρχὴν τοῦ δύνασθαι γνῶναι θεόν. Καὶ ταῦτα πάντα τὰ νοερὰ καὶ τὰ ψυχικὰ καὶ τὰ χοϊκὰ κεχωρηκέναι εἰς τὸν Ἰησοῦν, καὶ ὁμοῦ δι᾽ αὐτοῦ λελαληκέναι τὰς τρεῖς οὐσίας τοῖς τρισὶ γένεσι τοῦ παντὸς, οὕτω φάσκουσι τριγενῆ, ἀγγελικὸν, ψυχικὸν, χοϊκὸν, καὶ τρεῖς εἶναι ἐκκλησίας, ἀγγελικὴν, ψυχικὴν, χοϊκήν· ὀνόματα δὲ αὐταῖς, ἐκλεκτὴ, κλητὴ, αἰχμάλωτος. Ταῦτα ἐστὶ τὰ κατ᾽ αὐτοὺς κεφάλαια, ὡς ἐν ὀλίγῳ ἐστὶ καταλαβεῖν. Ταῦτά φασι παραδεδωκέναι τὸν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου τῇ Μαριάμνῃ, καταψευδόμενοι ἀμφοτέρων.

86. Sext. ἀνάρμων ὄγκων. Sequentia non sunt Sexti.
88. μερίζει, id est Plato Leg. X, p. 889, B. πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα φύσει πάντα εἶναι καὶ τύχῃ φασί.
93. Fort. ἔστι.
99. Cod. ναασηνοί.
13. Cod. perperam φησίν.

10 Οἱ δὲ Περᾶται, Ἀδέμης ὁ Καρύστιος καὶ Εὐφράτης ὁ Περατικὸς, λέγουσιν ἕνα εἶναι κόσμον τινὰ, οὕτως καλοῦντες τοῦτον τριχῇ διῃρημένον. Ἔστι δὲ τριχῆς διαιρέσεως παρ' αὐτοῖς τὸ μὲν ἓν μέρος, οἷον ἡ μία ἀρχὴ καθάπερ πηγὴ μεγάλη, εἰς ἀπείρους τομὰς τῷ λόγῳ
126 v. τμηθῆναι δυναμένη. Ἡ δὲ πρώτη τομὴ καὶ προσεχεστέρα κατ' αὐτοὺς, ἐστὶν ἡ τριὰς, καὶ καλεῖται ἀγαθὸν τέλειον, μέγεθος πατρικόν. Τὸ δὲ δεύτερον μέρος τῆς τριάδος οἱονεὶ δυνάμεων ἀπείρων τι πλῆθος· τρίτον, ἰδικόν· καὶ ἔστι τὸ μὲν πρῶτον ἀγέννητον, ὅθεν διαρρήδην λέγουσι τρεῖς θεοὺς, τρεῖς λόγους, τρεῖς νοῦς, τρεῖς ἀνθρώπους. Ἑκάστῳ γὰρ μέρει τοῦ κόσμου τῆς διαιρέσεως διακεκριμένης, διδόασι καὶ θεοὺς καὶ λόγους καὶ ἀνθρώπους καὶ τὰ λοιπά. Ἄνωθεν δὲ ἀπὸ τῆς ἀγεννησίας καὶ τῆς τοῦ κόσμου πρώτης τομῆς, ἐπὶ συντελείᾳ λοιπὸν τοῦ κόσμου καθεστηκότος, κατεληλυθέναι ἐπὶ τοῖς Ἡρώδου χρόνοις τριφυῆ τινα ἄνθρωπον καὶ τρισώματον καὶ τριδύναμον, καλούμενον Χριστὸν, ἀπὸ τῶν τριῶν ἔχοντα τοῦ κόσμου μερῶν ἐν αὐτῷ πάντα τὰ τοῦ κόσμου συγκρίματα καὶ τὰς δυνάμεις. Καὶ τοῦτο εἶναι θέλουσι τὸ εἰρημένον, "Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σώματι." Κατενεχθῆναι δὲ ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο, τοῦ τε ἀγεννήτου καὶ τοῦ αὐτογεννήτου, εἰς τοῦτον τὸν κόσμον, ἐν ᾧ ἐσμὲν ἡμεῖς, παντοῖα δυνάμεων σπέρματα. Κατεληλυθέναι δὲ τὸν Χριστὸν ἄνωθεν ἀπὸ ἀγεννησίας, ἵνα διὰ τῆς καταβάσεως αὐτοῦ, πάντα σωθῇ τὰ τριχῇ διῃρημένα. Ἃ μὲν γὰρ, φησὶν, ἔστιν ἄνωθεν κατενηνεγμένα, ἀνελεύσεται δι' αὐτοῦ, τὰ δὲ ἐπιβουλεύσαντα τοῖς κατενηνεγμένοις,

16. Supra Ἀκέμβης ὁ Καρύστιος. Cod. Καροίστιος.
ib. Cod. Ἐφράτης Περατικός.
18. Debebat δὲ τῆς τριχῇ διαιρ.
19. Fort. οἱονεὶ μία.
32. Cod. τριφυήν.
36. Coloss. II, 9, ubi σωματικῶς.
42. Cod. σωθεῖ.

ἀφιεῖ εἰκῆ, καὶ κολασθέντα ἀποπέμπεται. Δύο δὲ εἶναι μέρη τὰ σωζόμενα λέγει, τὰ ὑπερκείμενα, ἀπαλλαγέντα τῆς φθορᾶς· τὸ δὲ τρίτον ἀπόλλυσθαι, ὃν κόσμον ἴδιον καλεῖ. Ταῦτα καὶ οἱ Περᾶται.

11 Τοῖς δὲ Σιθιανοῖς δοκεῖ, ὅτι τῶν ὅλων εἰσὶ τρεῖς ἀρχαὶ περιωρισμέναι. Ἑκάστη δὲ τῶν ἀρχῶν πέφυκε δύνασθαι γενέσθαι ὡς ἐν ἀνθρωπίνῃ ψυχῇ πᾶσα ἥτις

127 r. οὖν διδασκομένη τέχνη οἱονεὶ γένοιτο, παιδίον αὐλητῇ γενέσθαι αὐλεῖν, ἢ γεωμέτρῃ γεωμετρεῖν, ἢ τινὶ τέχνῃ ὁμοίως. Αἱ δὲ τῶν ἀρχῶν, φασὶν, οὐσίαι εἰσὶ φῶς καὶ σκότος. Τούτων δέ ἐστιν ἐν μέσῳ πνεῦμα ἀκέραιον· τὸ δὲ πνεῦμα τὸ τεταγμένον ἐν μέσῳ τοῦ σκότους, ὅπερ ἐστὶ κάτω, καὶ τοῦ φωτὸς, ὅπερ ἐστὶν ἄνω, λέγουσιν, οὐκ ἔστι πνεῦμα ὡς ἄνεμος ἢ ῥιπὴ ἢ λεπτή τις αὖρα νοηθῆναι δυναμένη, ἀλλ᾽ οἱονεί τις ὀσμὴ μύρου, ἢ θυμιάματος ἐκ συνθέσεως κατασκευαζομένου λεπτῆς, διοδεύσασα δύναμις ἀνεπινοήτῳ τινὶ καὶ κρείττονι λόγου φορᾷ εὐωδίας. Ἐπεὶ τοίνυν ἐστὶν ἄνω τὸ φῶς καὶ κάτω τὸ σκότος, καὶ τούτων μέσον τὸ πνεῦμα, τὸ δὲ φῶς ἀκτὶς ἡλίου ἄνωθεν ἐκλάμπουσα εἰς τὸ ὑποκείμενον σκότος, ἡ δὲ τοῦ πνεύματος εὐωδία φέρεται μέσην ἔχουσα τάξιν καὶ ἐξικνεῖται ὥσπερ ἡ τῶν θυμιαμάτων ὀσμὴ ἐπὶ τῷ πυρὶ φέρεται, τοιαύτης δὲ οὔσης τῆς δυνάμεως τῶν διῃρημένων τριχῶς τοῦ πνεύματος καὶ τοῦ φωτὸς, ὁμοῦ ἐστὶ κάτω ἡ δύναμις ἐν τῷ σκότει τῷ ὑποτεταγμένῳ, τὸ δὲ σκότος ὕδωρ εἶναι φασὶ φοβερὸν, εἰς ὃ κατέσπασται [καὶ] μετενήνεκται εἰς τοιαύτην φύσιν μετὰ τοῦ πνεύματος τὸ φῶς. Φρόνιμον οὖν τὸ σκότος

47. Cod. ἀπόλλυσθαι.

52–53. Corrige ex capite ubi de Sithianis agitur, cod. fol. 48 fine recti: παιδίον [ἐγχρονίσαν] αὐλητῇ γενέσθαι αὐλητὴν, ἢ γεωμέτρῃ γεωμέτρην, ἢ ἡτινιοῦν τέχνῃ ὁμ.

62. Codex φορᾶς.

71. Inserui καί, quod legitur suo loco in capite de Sithianis.

ὂν καὶ γινῶσκον ὅτι ἂν ἀπαρθῇ ἀπ' αὐτοῦ τὸ φῶς, μένει τὸ σκότος ἔρημον, ἀφανὲς, ἀλαμπὲς, ἀδύναμον, ἄπρακτον, ἀσθενὲς, τόδε πάσῃ συνέσει καὶ φρονήσει βιάζεται κατέχειν εἰς ἑαυτὸ τὴν λαμπηδόνα καὶ τὸν σπινθῆρα τοῦ φωτὸς μετὰ τῆς τοῦ πνεύματος εὐωδίας. Εἰκόνα τούτου ταύτην παρεισάγουσι, λέγοντες, ὥσπερ ἡ κόρη τοῦ ὀφθαλμοῦ ὑποκειμένων ὑδάτων σκοτεινὴ φαίνεται, φωτίζεται δὲ ὑπὸ τοῦ πνεύματος, οὕτως ἀντιποιεῖται τὸ σκότος τοῦ πνεύματος, ἔχει δὲ παρ' ἑαυτῷ πάσας τὰς δυνάμεις βουλομένας ἀφίστασθαι καὶ ἀνιέναι. Εἰσὶ δὲ αὗται ἀπειράκις ἄπειροι, ἐξ ὧν τὰ πάντα κυκλοῦται καὶ γίνεται ἐπιμιγνυμένων δίκην σφραγίδων. Ὥσπερ γὰρ 127 v. σφραγὶς ἐπικοινωνήσασα κηρῷ τὸν τύπον ἐποίησεν αὐτὴ παρ' ἑαυτῇ ἥτις οὖν μένουσα, οὕτως καὶ αἱ δυνάμεις ἐπικοινωνήσασαι τὰ πάντα ἀπεργάζονται γένη ζῴων ἄπειρα. Γεγονέναι οὖν ἀπὸ τῆς πρώτης συνδρομῆς τῶν τριῶν ἀρχῶν μεγάλης σφραγῖδος ἰδέαν, οὐρανὸν καὶ γῆν εἶδος ἔχουσαν παραπλήσιον μήτρᾳ ὀμφαλὸν ἐχούσῃ μέσον. Οὕτως δὲ καὶ τὰς λοιπὰς ἐκτυπώσεις τῶν πάντων ἐκτετυπῶσθαι ὥσπερ οὐρανὸν καὶ γῆν μήτρᾳ παραπλησίους. Ἐκ δὲ τοῦ ὕδατος γεγονέναι φασὶ πρωτόγονον ἀρχὴν, ἀνεμόφθορον, καὶ λάβρον καὶ πάσης γενέσεως ἀγγεῖον, βρασμόν τινα καὶ κίνησιν ἐργαζόμενον τῷ κόσμῳ ἐκ τῆς τῶν ὑδάτων κινήσεως. Τοῦτον δὲ ἐπιτελεῖν εἶδος συρίγματι ὄφεως παραπλήσιον, φέρων ὅθεν ἦν ὁ φορῶν ὁ κόσμος πρὸς γένεσιν ὁρμᾷ ὀργήσας ὡς μήτρα, καὶ ἐντεῦθεν θέλουσι συνίστασθαι τὴν τῶν

75. Cod. τῷ δέ.
85. Cod. κλήρῳ.
ib. Cod. αὐτῇ.
88. Cod. γέγονεν οὖν.
89. Cod. εἰδέαν.
90. Cod. παραπλησίαν.

94. Recte supra suo loco: ἄνεμος σφοδρὸς καὶ λάβρος. Ex illis autem uberioribus sequentia quoque corriges multifariam corrupta. Nos codicem reddimus.

ὅλων γένεσιν. Τοῦτον δὲ εἶναι πνεῦμα ἄνεμον λέγουσι τέλειον θεὸν ἐκ τῆς τῶν ὑδάτων καὶ τῆς τοῦ πνεύματος εὐωδίας καὶ φωτὸς λαμπηδόνος γεγονέναι, καὶ εἶναι γέννημα θηλείας νοῦν τὸν ἄνωθεν σπινθῆρα κάτω ἀναμεμιγμένον σὺν τοῖς περὶ συγκρίτοις σώματος σπεύδειν καὶ φεύγειν, ἐκφυγόντα πορεύεσθαι καὶ τὴν λύσιν οὐχ εὑρίσκειν διὰ τὴν ἐν τοῖς ὕδασι δέσιν. Διὸ ἐβόα ἐκ τῆς τῶν ὑδάτων μίξεως κατὰ τὸν ψαλμῳδὸν ὡς λέγουσι· "Πᾶσα οὖν ἡ φροντὶς τοῦ ἄνω φωτός ἐστιν, ὅπως ῥύσηται τὸν κάτω σπινθῆρα ἀπὸ τοῦ κάτω πατρὸς" ἀνέμου, ἐπεγείροντος βρασμὸν καὶ τάραχον καὶ ἑαυτῷ νοῦν ποιήσαντος οὐκ ὄντα αὐτοῦ φάσκουσιν ἰδόντα τὸν τέλειον λόγον τοῦ ἄνωθεν φωτὸς αὐτὸν ἀπομορφώσαντα εἴδει ὄφεως κεχωρηκέναι ἐν μήτρᾳ, ἵνα τὸν νοῦν ἐκεῖνον τὸν ἐκ τοῦ φωτὸς σπινθῆρα ἀναλαβεῖν δυνηθῇ. Καὶ τοῦτο εἶναι τὸ εἰρημένον, "Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκέ-
128 r. νωσε μορφὴν δούλου λαβών." Καὶ ταύτην εἶναι τὴν μορφὴν οἱ κακοδαίμονες θέλουσι καὶ πολυπή[μονες] Σιθιανοί. Ταῦτα μὲν οὖν καὶ οὗτοι λέγουσιν.

12 Ὁ δὲ πάνσοφος Σίμων οὕτως λέγει· ἀπέραντον εἶναι δύναμιν, ταύτην ῥίζωμα τῶν ὅλων εἶναι. Ἔστι δὲ, φησὶν, ἡ ἀπέραντος δύναμις τὸ πῦρ καθ' αὐτὸ, οὐδὲν ἁπλοῦν καθάπερ οἱ πολλοὶ ἁπλᾶ λέγοντες εἶναι τὰ (δὲ) τέσσαρα στοιχεῖα, καὶ τὸ πῦρ ἁπλοῦν εἶναι νενομίκασιν, ἀλλ' εἶναι τοῦ πυρὸς τὴν φύσιν διπλῆν, καὶ τῆς διπλῆς ταύτης καλεῖ τὸ μέν τι κρυπτὸν, τὸ δὲ φανερὸν, κεκρύφθαι δὲ τὰ κρυπτὰ ἐν τοῖς φανεροῖς τὸ πῦρ, καὶ τὰ φανερὰ τοῦ πυρὸς ὑπὸ τῶν κρυπτῶν γεγονέναι. Πάντα

4. Cod. γένημα.
5. Cod. συνκρίτοις.
16. Philipp. II, 6 et 7.
19. Cernuntur vestigia literæ η et compendii ες.
23. Cod. καθ' αὐτόν.
24. Dele δέ, ortum ex δ'.
27. Cod. μέν τοι.

δὲ, φησὶ, νενόμισται τὰ μέρη τοῦ πυρὸς ὁρατὰ καὶ ἀόρατα φρόνησιν ἔχειν. Γέγονεν οὖν, φασὶν, ὁ κόσμος ἀγέννητος ἀπὸ τοῦ ἀγεννήτου πυρός. Ἤρξατο δὲ, φησὶν, οὕτως γίνεσθαι· ἓξ ῥίζας τὰς πρώτας τῆς ἀρχῆς τῆς γενέσεως ὁ ἀγέννητος ἀπὸ τῆς ἀρχῆς τοῦ πυρὸς ἐκείνου λαβών· ταύτας γὰρ ῥίζας γεγονέναι κατὰ συζυγίαν ἀπὸ τοῦ πυρὸς, ἅς τινας καλεῖ νοῦν καὶ ἐπίνοιαν, φωνὴν καὶ ὄνομα, λογισμὸν καὶ ἐνθύμησιν. Εἶναι δὲ ἐν ταῖς ἓξ ῥίζαις ὁμοῦ τὴν ἀπέραντον δύναμιν· εἶναι φησὶ τὸν ἑστῶτα στάντα στησόμενον, ὃς ἐξεικονίσθη ἐν ταῖς ἓξ δυνάμεσιν ἔσται, οὐσίᾳ δυνάμει μεγέθει ἀποτελέσματι, μία καὶ αὐτὴ τῇ ἀγεννήτῳ καὶ ἀπεράντῳ δυνάμει, οὐδὲν ὅλως ἔχουσα ἐνδεέστερον ἐκείνης τῆς ἀγεννήτου καὶ ἀπαραλλάκτου καὶ ἀπεράντου δυνάμεως. Ἐὰν δὲ μείνῃ δύναμις μόνον ἐν ταῖς ἓξ δυνάμεσι καὶ μὴ ἐξεικονισθῇ, ἀφανίζεται, φησὶ, καὶ ἀπόλλυται οὕτως ὡς ἡ δύναμις ἡ γραμματικὴ ἢ γεωμετρικὴ [ἐν] ἀνθρώπου ψυχῇ ὑπάρξαι μὴ προσλαβοῦσα τεχνίτην τὸν διδάξαντα. Αὐτὸν δὲ εἶναι ὁ Σίμων λέγει τὸν ἑστῶτα στάντα στησόμενον, ὄντα δύναμιν τὴν ὑπὲρ τὰ πάντα. Ταῦτα τοίνυν καὶ ὁ Σίμων.

13 Ὁ δὲ Οὐαλεντῖνος καὶ οἱ ἀπὸ τῆς τούτου σχολῆς εἶναι λέγουσι τὴν τοῦ παντὸς ἀρχὴν πατέρα, καὶ ἐναντίᾳ 128 v. δὲ δόξῃ προσφέρονται. Οἱ μὲν γὰρ αὐτῶν, μόνον εἶναι καὶ γεννητικὸν, οἱ δὲ ἀδυνάτως ἔχειν γεννᾶν ἄνευ θηλείας καὶ τούτου σύζυγον προστιθέασι σιγὴν, βυθὸν αὐτὸν ὀνομάσαντες. Ἐκ τούτου τινὲς καὶ τῆς συζύγου προβολὰς γεγονέναι ἓξ, νοῦν καὶ ἀλήθειαν, λόγον καὶ

31. Fort. φησίν.

39. Cod. πάντα.

ib. Scribe ὃς ἐὰν ἐξεικονισθῇ, ut est supra in capite de Simone.

41. Cod. αὔτη.

43. Cod. ἀπαραλάκτου.

46. Inseruimus ἐν ex capite de Simone, ubi non legitur ὑπάρξαι quod nostrum locum turbat.

ζωὴν, ἄνθρωπον καὶ ἐκκλησίαν, καὶ εἶναι ταύτην τὴν ὀγδοάδα πρωτογενέτειραν· τάς τε ἑνὸς τοῦ ὅρου προβολὰς γεγενημένας πάλιν καλεῖσθαι ἐντὸς πληρώματος, δεύτερα δὲ τὰ ἐκτὸς πληρώματος, καὶ τρίτα τὰ ἐκτὸς τοῦ ὅρου ὧν ἡ γέννησις τὸ ὑστέρημα ὑπάρχει. Τὸ δὲ ἕκτον ἐν ὑστερήματι προβληθέντος αἰῶνος γεγονέναι καὶ τοῦτον εἶναι δημιουργὸν λέγει, μὴ βουλόμενος αὐτὸν πρῶτον εἶναι θεὸν, ἀλλὰ δύσφημόν τε αὐτὸν καὶ τὰ ὑπ' αὐτοῦ γεγενημένα, τὸν δὲ Χριστὸν ἐκ τοῦ ἐντὸς πληρώματος κατεληλυθέναι ἐπὶ σωτηρίᾳ τοῦ ἀποπλανηθέντος πνεύματος, ὃ κατοικεῖ ἐν τῷ ἔσω ἡμῶν ἀνθρώπῳ, ὃν σωζόμενον φασὶ τούτου χάριν τοῦ ἐνοικοῦντος. Τὴν δὲ σάρκα μὴ σώζεσθαι θέλει, δερμάτινον χιτῶνα ἀποκαλῶν καὶ ἄνθρωπον φθειρόμενον. Ταῦτα ἐν ἐπιτομῇ ἐξεῖπον, πολλῆς ὕλης κατ' αὐτοὺς τυγχανούσης καὶ διαφόρων γνωμῶν. Οὕτως οὖν δοκεῖ καὶ τῇ Οὐαλεντίνου σχολῇ.

14 Βασιλείδης δὲ καὶ αὐτὸς λέγει εἶναι θεὸν οὐκ ὄντα, πεποιημένον κόσμον ἐξ οὐκ ὄντων, οὐκ ὄντα οὐκ ὢν, καταβαλλόμενόν τι σπέρμα ὡσεὶ κόκκον σινάπεως ἔχοντα ἐν ἑαυτῷ τὸ πρέμνον, τὰ φύλλα, τοὺς κλάδους, τὸν καρπὸν, ἢ ὡς ᾠὸν ταοῦ ἔχον ἐν ἑαυτῷ τὴν τῶν χρωμάτων ποικίλην πληθὺν, καὶ τοῦτο εἶναι φασὶ τὸ τοῦ κόσμου σπέρμα ἐξ οὗ τὰ πάντα γέγονεν. Ἔχειν γὰρ ἐν ἑαυτῷ τὰ πάντα τὸν οὐκ ὄντα ὑπὸ τοῦ οὐκ ὄντος θεοῦ γενέσθαι. Προβεβουλευμένη ἦν οὖν, φασὶν, ἐν αὐτῷ τῷ σπέρματι υἱότης τριμερὴς, κατὰ πάντων οὐκ ὄντι θεῷ ὁμοούσιος, γεννητὴ ἐξ οὐκ ὄντων. Ταύτης τῆς

60. Fort. τὰ ἐντὸς πλ.
61. Cod. τρία τά.
62. Cod. ἕκτου.
64. Prius erat βουλόμενον.
68. Cod. κατομεῖ ἐν.
74. Titulus rubricatus Βασιλείδης.
76. Cod. συνάπεως.
78. Cod. ἔχοντα ἐν.
79. Fort. φησί.
82. Cod. προβεβουλευμένα.
ib. Fort. φησίν.
83. Cod. ἑαυτῷ.
ib. Fort. κατὰ πάντα.

υἱότητος τριχῇ διῃρημένης, τὸ μέν τι ἦν λεπτομερὲς, τὸ δὲ παχυμερὲς, τὸ δὲ ἀποκαθάρσεως δεόμενον. Τὸ μὲν οὖν λεπτομερὲς εὐθέως ἅμα πρῶτον τῷ γενέσθαι 129 r. τοῦ σπέρματος τὴν πρώτην καταβολὴν ὑπὸ τοῦ οὐκ ὄντος, διέσφυξε καὶ ἀνῆλθεν ἄνω, καὶ ἐγένετο πρὸς τὸν οὐκ ὄντα· ἐκείνου γὰρ πᾶσα φύσις ὀρέγεται δι' ὑπερβολὴν κάλλους, ἄλλα δὲ ἄλλως· ἡ δὲ παχυμερεστέρα ἔτι μένουσα ἐν τῷ σπέρματι, μιμητική τις οὖσα ἀναδραμεῖν μὲν οὐκ ἠδυνήθη· πολὺ γὰρ ἐνδεεστέρα ἦν τῆς λεπτομεροῦς· ἀνεπτέρωσε δὲ αὐτὴν τῷ πνεύματι τῷ ἁγίῳ· τοῦτο γὰρ εὐεργετεῖ ἡ υἱότης ἐναυξομένη καὶ εὐεργετοῦσα. Ἡ δὲ τρίτη υἱότης ἀποκαθάρσεως δεῖται· αὕτη μεμένηκεν ἐν τῷ τῆς πανσπερμίας σωρῷ, καὶ αὐτὴ εὐεργετοῦσα καὶ εὐεργετουμένη. Εἶναι δέ τι καλούμενον κόσμος, τὸ δὲ ὑπερκόσμιον· διαιρεῖται γὰρ ὑπ' αὐτοῦ εἰς δύο τὰς πρώτας διαιρέσεις. Τὸ δὲ τούτων μέσον καλεῖ μεθόριον πνεῦμα ἅγιον, ἔχον τὴν ὀσμὴν τῆς υἱότητος· ἀπὸ τῆς πανσπερμίας τοῦ σωροῦ τοῦ κοσμικοῦ σπέρματος διέσφυξε καὶ ἐγεννήθη ὁ μέγας ἄρχων, ἡ κεφαλὴ τοῦ κόσμου, κάλλει καὶ μεγέθει ἀνεκλαλήτῳ. Οὗτος ὑψώσας ἑαυτὸν ἄχρι τοῦ στερεώματος ᾠήθη μὴ εἶναι ἑαυτοῦ ἐπάνω ἕτερον· καὶ ἐγένετο πάντων τῶν ὑποκειμένων φωτεινότερος καὶ δυνατώτερος πλὴν τῆς ὑπολελειμμένης υἱότητος, ἣν ἠγνόει οὖσαν αὐτοῦ σοφωτέραν. Οὗτος ὁ τραπεὶς ἐπὶ τὴν τοῦ κόσμου δημιουργίαν, πρῶτον γεννᾷ υἱὸν αὐτῷ, αὐτοῦ κρείττονα· καὶ τοῦτον ἐκ δεξιῶν αὐτοῦ ἐκάθισε· καὶ ταύτην οὗτοι φάσκουσι τὴν ὀγδοάδα. Αὐτὸς οὖν τὴν οὐράνιον κτίσιν ἅπασαν ἐργάζεται. Ἕτερος δὲ ἄρχων ἀπὸ τῆς παν-

85. Cod. διηρημένου.
97. Cod. καὶ αὔτη.
99. Cod. κόσμον.
2. Cod. καλλιμεθόριον.
4. Cod. διέσφιξε.
11. Fort. αὐτῷ, αὐτοῦ.

σπερμίας ἀνέβη, μείζων μὲν πάντων τῶν ὑποκειμένων χωρὶς τῆς ἐγκαταλελειμμένης υἱότητος, πολὺ δὲ ἐλάττων τοῦ προτέρου ὃν καλοῦσιν ἑβδομάδα. Αὐτός ἐστι πάντων τῶν ὑφ᾽ αὐτὸν ποιητὴς καὶ δημιουργὸς καὶ διοικητής· καὶ οὗτος ἑαυτῷ ἐποίησεν υἱὸν φρονιμώτερον καὶ σοφώτερον. Ταῦτα δὲ πάντα κατὰ προλογισμὸν εἶναι ἐκείνου τοῦ οὐκ ὄντος λέγουσιν, εἶναι δὲ κόσμους καὶ διαστήματα ἄπειρα. Τὸν δὲ Ἰησοῦν τὸν ἐκ Μαρίας κεχωρηκέναι τὴν Εὐαγγελίου δύναμιν, τὴν κατελθοῦσαν καὶ φωτίσασαν τόν τε τῆς ὀγδοάδος υἱὸν καὶ τῆς ἑβδο-
129 v. μάδος, ἐπὶ τῷ φωτίσαι καὶ φυλοκρινῆσαι καὶ καθαρίσαι τὴν καταλελειμμένην υἱότητα εἰς τὸ εὐεργετεῖν τὰς ψυχὰς καὶ εὐεργετεῖσθαι. Καὶ αὐτοὺς εἶναι αἰτίους φασὶν, ὅπου τούτου χάριν εἰσὶν ἐν κόσμῳ, ἵνα διδάξαντες τὰς ψυχὰς καθαρίσωσι καὶ ἅμα τῇ υἱότητι ἀνέλθωσι πρὸς τὸν ἄνω πατέρα, οὗ ἡ πρώτη ἐχώρησεν υἱότης, καὶ ἕως τούτου συνεστάναι φάσκουσι τὸν κόσμον, ἕως πᾶσαι αἱ ψυχαὶ ἅμα τῇ υἱότητι χωρήσωσι. Ταῦτα δὲ καὶ Βασιλείδης τερατολογῶν οὐκ αἰσχύνεται.

15 Ἰουστῖνος δὲ καὶ αὐτὸς ὅμοια τούτοις τολμῶν, οὕτως λέγει· τρεῖς εἶναι ἀρχὰς τῶν ὅλων ἀγεννήτους, ἀρρενικὰς δύο, θῆλυν μίαν. Τῶν δὲ ἀρρενικῶν ἡ μέν τις ἀρχὴ καλεῖται ἀγαθὸς, αὐτὸ μόνον οὕτω λεγόμενον, προγνώστης τῶν ὅλων· ἡ δὲ ἑτέρα, πατὴρ πάντων τῶν γεννητῶν, ἀπρόγνωστος, καὶ ἄγνωστος, καὶ ἀόρατος, Ἐλωεὶμ δὲ καλεῖται, φησίν. Ἡ θήλεια, ἀπρόγνωστος, ὀργίλη, δίγνωμος, δισώματος, καθὼς ἐν τοῖς περὶ αὐτοῦ λόγοις λεπτομερῶς διηγησάμεθα, τὰ μὲν ἄνω αὐτῆς μέχρι βουβῶνος, εἶναι παρθένον, ἀπὸ δὲ βουβῶνος καὶ κάτω, ἔχιδναν. Καλεῖται δὲ ἡ τοιαύτη Ἐδὲμ καὶ Ἰήλ. Ταύτας φάσκει ἀρχὰς εἶναι τῶν ὅλων, ἀφ᾽

16. Cod. ἐλάττω. 32. Cod. χρήσωσι. 44. Cod. ἔχιδνα.

ὧν τὰ πάντα ἐγένετο. Τὸν Ἐλωεὶμ δὲ ἀπρογνώστως ἐλθεῖν εἰς ἐπιθυμίαν τῆς μιξοπαρθένου, καὶ ἐπιμιγέντα γεννῆσαι ἀγγέλους δώδεκα. Τούτων τὰ ὀνόματα * καὶ οἱ μὲν πατρικοὶ [τῷ πατρὶ] συναιροῦνται, οἱ δὲ μητρικοὶ τῇ μητρί. Τούτους εἶναι τοῦ ἀλληγορικῶς εἰρηκότος Μωσέως τὰ ἐν τῷ νόμῳ γεγραμμένα. Πεποιῆσθαι δὲ τὰ πάντα ὑπὸ τοῦ Ἐλωεὶμ καὶ τῆς Ἐδέμ· καὶ τὰ μὲν ζῷα ἅμα τοῖς λοιποῖς ἀπὸ τοῦ θηριώδους μέρους, τὸν δὲ ἄνθρωπον ἀπὸ τῶν ἄνωθεν τοῦ βουβῶνος. Καὶ ἡ μὲν Ἐδὲμ κατατεθεῖσθαι ἐν αὐτῷ τὴν ψυχὴν, ἥτις αὐτῆς δύναμις ἦν. Τοῦτον δὲ φάσκει μαθόντα ἀνεληλυθέναι πρὸς τὸν ἀγαθὸν καὶ καταλελυπηκέναι τὴν Ἐδέμ· ἐφ' ᾧ ὀργισθεῖσαν ταύτην πᾶσαν τὴν ἐπιβουλὴν ποιεῖσθαι κατὰ τοῦ πνεύματος τοῦ Ἐλωεὶμ, ὅπερ κατέθετο ἐν τῷ ἀνθρώπῳ. Καὶ τούτου χάριν ἀπεσταλκέναι τὸν πατέρα τὸν Βαροὺχ διαταττόμενον τοῖς προφήταις, ἵνα ῥυσθῇ τὸ πνεῦμα τοῦ Ἐλωεὶμ, καὶ πάντας ὑποσεσύρθαι ἀπὸ
130 r. τῆς Ἐδέμ. Ἀλλὰ καὶ τὸν Ἡρακλέα φάσκει προφήτην γεγονέναι, ἡττῆσθαι δὲ αὐτὸν ὑπὸ τῆς Ὀμφάλης, τουτέστιν ὑπὸ τῆς Βάβελ, ἣν Ἀφροδίτην ὀνομάζουσιν. Ὕστερον δὲ ἐν ταῖς ἡμέραις Ἡρώδου γεγονέναι τὸν (δὲ) Ἰησοῦν υἱὸν Μαρίας καὶ Ἰωσὴφ, ᾧ τὸν Βαροὺχ φάσκει λελαληκέναι· καὶ τούτῳ δὲ ἐπιβεβουλευκέναι τὴν Ἐδὲμ, μὴ δεδυνῆσθαι δὲ αὐτὸν ἀπατῆσαι, καὶ τούτου χάριν πεποιηκέναι σταυρωθῆναι· οὗ τὸ πνεῦμα ἀνεληλυθέναι πρὸς τὸν ἀγαθὸν λέγει. Καὶ πάντων δὲ τῶν οὕτως τοῖς μωροῖς καὶ ἀδρανέσι λόγοις πειθομένων * σωθή-

48. Nomina hic omissa. Suo loco posita sunt libro V, capite de Justino.

49. Addidimus τῷ πατρὶ ex libro V.

54. Fort. Καὶ τῇ μέν.

58. Fort. delendum τήν.

64. Cod. ὀμφαλῆς, ut libro V.

66. Delendum potius videtur δέ quam scribendum τόνδε.

72. Excidisse nonnulla videntur post πειθομένων.

σεσθαι· τὸ δὲ σῶμα καὶ τὴν ψυχὴν τῆς Ἐδὲμ καταλείπεσθαι, ἣν καὶ γῆν Ἰουστῖνος ὁ ἄφρων καλεῖ.

16 Οἱ δὲ Δοκῆται τοιαῦτα λέγουσιν· εἶναι τὸν πρῶτον θεὸν ὡς σπέρμα συκῆς, ἐκ δὲ τούτου ἐληλυθέναι τρεῖς αἰῶνας, ὡς τὸ πρέμνον καὶ τὰ φύλλα καὶ τὸν καρπόν· τούτους δὲ προβεβληκέναι λ̄ αἰῶνας ἕκαστον· ἡνῶσθαι δὲ αὐτοὺς κατὰ δέκα πάντας, μόνον δὲ διαθέσεσι διαφέρειν τινὰς τινῶν πρώτους. Προβεβλῆσθαι δὲ ἀπειράκις ἀπείρους αἰῶνας, καὶ εἶναι τοὺς πάντας ἀρρενοθήλεας. Τούτους δὲ βουλευσαμένους ὁμοῦ συνελθόντας ἐκ τοῦ μέσου αἰῶνος, γεννῆσαι ἐκ παρθένου Μαρίας σωτῆρα τῶν πάντων, κατὰ πάντα ὅμοιον τῷ πρώτῳ σώματι ἐν σπέρματι ἐκείνῳ, ἐν τούτῳ δὲ ἥττονα, διὰ τὸ γεννητὸν εἶναι· τὸ γὰρ σπέρμα ὅθεν ἡ συκῆ, ἀγέννητον. Ἦν οὖν τὸ μέγα τῶν αἰώνων φῶς ὅλον, οὐδεμίαν ἐπιδεχόμενον κόσμησιν, ἔχον ἐν ἑαυτῷ πάντων τῶν ζῴων ἰδέας· τοῦτο ἐπιφοιτῆσαν εἰς τὸ ὑποκείμενον χάος παρεσχηκέναι αἰτίαν τοῖς γεγονόσι καὶ οὖσι, καταβάν τε ἄνωθεν ἰδεῶν αἰωνίων ἀπεμάξατο κάτω (τὸ χάος) τὰς μορφάς. Ὁ γὰρ τρίτος αἰὼν ὁ ἑαυτὸν τριπλασιάσας ὁρῶν τοὺς χαρακτῆρας αὐτοῦ πάντας κατασπωμένους εἰς τὸ κάτω σκότος, οὐκ ἀγνοῶν τήν τε τοῦ σκότους δεινότητα καὶ τὴν τοῦ φωτὸς ἀφελότητα, ἐποίησεν οὐρανὸν, καὶ μέσον πήξας διεχώρισεν ἀναμέσον τοῦ σκότους καὶ ἀναμέσον τοῦ φωτός. Πασῶν οὖν τῶν ἰδεῶν τοῦ τρίτου αἰῶνος καὶ αὐτοῦ τὸ ἐκτύπωμα κρα-

75. Cod. δοκῖται.

80. Malim πρωτεύοντας.

85. Cod. ἐν πάρματι. Et pro ἐκείνῳ haud dubie legendum συκίνῳ. Suo loco libro VIII: ἰσοδύναμον κατὰ πάντα σπέρματι τῷ συκίνῳ.

ib. Cod. ἧττον. Malim ἥττονα, τῷ. Ex ultima syllaba voc. ἥττονα factum ΔΙΑ.

86. Cod. ἀγέννητον εἶναι. Correxi ex libro VIII.

91. Cod. ἰδέων et ἀπεμάξαντο. Deinde turbant vocabula τὸ χάος, a librario serius inter lineas scripta.

98. Cod. ἰδέων.

130 v. τεῖσθαί φησιν ὑπὸ τοῦ σκότους * πῦρ ὢν αὖθις ζῶν ὑπὸ τοῦ φωτὸς γενόμενον ὑπῆρξεν, ἐξ ἧς φάσκουσι τὸν μέγαν ἄρχοντα γεγονέναι, περὶ οὗ Μωϋσῆς ὁμιλεῖ, λέγων εἶναι τοῦτον θεὸν πύρινον καὶ δημιουργὸν, ὃς καὶ τὰς ἰδέας πάντων μεταβάλλει ἀεὶ εἰς σῶμα. Ταύτας τὰς ψυχὰς * οὐ χάριν ἀσκοῦσι τὸν σωτῆρα παραγεννηθῆναι ἐπιδεικνύντα τὴν ὁδὸν δι' ἧς φεύξονται αἱ κρατούμεναι ψυχαὶ, ἐνδεδύσθαι δὲ τὸν Ἰησοῦν τὴν δύναμιν ἐκείνην τὴν μονογενῆ· διὸ μὴ δύνασθαι θεαθῆναι ὑπό τινος διὰ τὸ μεθαλλόμενον μέγεθος τῆς δόξης. Πάντα δὲ συμβεβηκέναι αὐτῷ φασὶ καθὰ ἐν τοῖς Εὐαγγελίοις γέγραπται.

17 Οἱ δὲ κατὰ Νόϊμον τὸν Ἄραβα φασὶν εἶναι τὴν τοῦ παντὸς ἀρχὴν πρῶτον ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου, καὶ τὰ γενόμενα καθὼς Μωϋσῆς λέγει, μὴ ὑπὸ τοῦ πρώτου ἀνθρώπου γεγονέναι, ἀλλὰ ὑπὸ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, οὐχ ὅλου ἀλλ' ἐκ μέρους αὐτοῦ. Εἶναι δὲ τὸν υἱὸν τοῦ ἀνθρώπου ἰῶτα, ὅ ἐστι δεκὰς κύριος ἀριθμὸς, ἐν ᾧ ἐστὶν ἡ τοῦ παντὸς ἀριθμοῦ ὑπόστασις, δι' οὗ πᾶς ἀριθμὸς συνέστηκε, καὶ ἡ τοῦ παντὸς γένεσις, πῦρ, ἀὴρ, ὕδωρ, γῆ. Τούτου δὲ ὄντος, ἰῶτα ἓν, καὶ κεραία μία, τέλειον ἐκ τελείου ῥυεῖσα κεραία ἄνωθεν πάντα ἔχουσα, ὅσα καὶ αὐτὴ, ὅσα καὶ ὁ ἄνθρωπος ἔχει ὁ πατὴρ τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Γεγονέναι οὖν φησὶ τὸν κόσμον Μωϋσῆς ἐν ἓξ ἡμέραις, τουτέστιν ἐν ἓξ δυνάμεσιν, ἐξ ὧν ὁ κόσμος ἀπὸ τῆς κεραίας γέγονε τῆς μιᾶς· οἵ τε γὰρ κύβοι καὶ τὰ ὀκτάεδρα καὶ αἱ πυραμίδες καὶ πάντα τὰ τούτοις παραπλήσια σχήματα (ἴσα ἦν), ἐξ ὧν συνέστηκε

1. Fort. ἑξῆς.
4. Fort. σώματα.
5. Fort. οὗ χάριν φάσκουσι. Deinde cod. παραγενηθῆναι, superscripto ν.
9. Cod. μεταλλόμενον.
12. Titulus rubricatus: Νόϊμος ὁ Ἄραψ. Infra Μονόϊμος.
14. Cod. Μωσῆς.
20. Legendum, ut est in libro VIII, ὄντος ἰῶτα ἐν κεραίᾳ μιᾷ.
27. Delenda vocabula ἴσα ἦν, quæ absunt ab iisdem verbis in libro VIII.

πῦρ, ἀὴρ, ὕδωρ, γῆ, ἀπὸ τῶν ἀριθμῶν γεγόνασι τῶν κατειλημμένων ἐν ἐκείνῃ τῇ ἀπλῇ τοῦ ἰῶτα κεραίᾳ, ἥτις ἐστὶν υἱὸς ἀνθρώπου. Ὅταν οὖν, φησὶ, ῥάβδον λέγῃ Μωϋσῆς στρεφομένην εἰς Αἴγυπτον, τὰ πάθη καταλέγει τὸν κόσμον τοῦ ἰῶτα ἀλληγορουμένως, οὐδὲ πλειόνων δὲ παθῶν ἐσχημάτισεν. Εἰ δὲ, φησὶ, θέλεις ἐπιγνῶναι
131 r. τὸ πᾶν, ἐν σεαυτῷ ζήτησον, τίς ὁ λέγων ἡ ψυχή μου, ἡ σάρξ μου, ὁ νοῦς μου, καὶ ἓν ἕκαστον κατιδιοποιούμενος ὡς ἕτερος αὐτῷ· τοῦτον νόει τέλειον ἐκ τελείου, πάντα ἴδια ἡγούμενον οὐκ ὄντα τὰ καλούμενα, καὶ τὰ πάντα ὄντα. Ταῦτα μὲν οὖν καὶ Μονοΐμῳ δοκεῖ.

18 Τατιανὸς δὲ παραπλησίως τῷ Οὐαλεντίνῳ καὶ τοῖς ἑτέροις φησὶν αἰῶνας εἶναι τινὰς ποτὲ τοὺς ἐκ τῶν ὑπό τινος κάτω τὸν κόσμον δεδημιουργῆσθαι καὶ τὰ ὄντα. Κυνικωτέρῳ δὲ βίῳ ἀσκεῖσθαι σχεδὸν οὐδὲν Μαρκίωνος ἀπεμφαίνει, πρός τε τὰς δυσφημίας καὶ τὰς περὶ γάμων νομοθεσίας.

19 Μαρκίων δὲ ὁ Ποντικὸς καὶ Κέρδων ὁ τούτου διδάσκαλος, καὶ αὐτοὶ ὁρίζουσιν εἶναι τρεῖς τὰς τοῦ παντὸς ἀρχὰς, ἀγαθὸν, δίκαιον, ὕλην· τινὲς δὲ τούτων μαθηταὶ προστιθέασι, λέγοντες ἀγαθὸν, δίκαιον, πονηρὸν, ὕλην. Οἱ δὲ πάντα, τὸν μὲν ἀγαθὸν οὐδὲν ἄλλως πεποιηκέναι, τὸν δὲ δίκαιον, οἱ μὲν τὸν πονηρὸν, οἱ δὲ μόνον δίκαιον ὀνομάζουσι, πεποιηκέναι δὲ τὰ πάντα φάσκουσιν ἐκ τῆς ὑποκειμένης ὕλης· πεποιηκέναι γὰρ οὐ καλῶς, ἀλλ' ἀλόγως. Ἀνάγκη γὰρ τὰ γενόμενα ὅμοια εἶναι τῷ πεποιηκότι· διὸ καὶ ταῖς παραβολαῖς ταῖς εὐαγγελικαῖς οὕτως χρῶνται λέγοντες· "Οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν," καὶ τὰ ἑξῆς, εἰς τοῦτο φάσκων

29. Cod. διπλῇ, correctum ex lib. VIII.
30. Cod. λέγει.
32. Fort. τοῦ κόσμου τῷ. In lib. VIII τῆς κτίσεως.
32–33. Leg. οὐδὲ πλείονα τῶν δώδεκα παθῶν, ex lib. VIII.
39. Τατιανός in titulo rubricato.
43. Cod. τῆς δυσφ.
46. Cod. τοὺς παντός.
49. Leg. videtur οἱ δὲ πάντες.
55. S. Matth. VII, 18.

εἰρῆσθαι τὰ ὑπ᾽ αὐτοῦ κακῶς νομιζόμενα. Τὸν δὲ Χριστὸν υἱὸν εἶναι τοῦ ἀγαθοῦ καὶ ὑπ᾽ αὐτοῦ πεπέμφθαι ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν, ὃν ἔσω ἄνθρωπον καλεῖ, ὡς ἄνθρωπον φανέντα λέγων οὐκ ὄντα ἄνθρωπον, καὶ ὡς ἔνσαρκον οὐκ ἔνσαρκον, δοκήσει πεφηνότα, οὔτε γένεσιν ὑπομείναντα οὔτε πάθος, ἀλλὰ τῷ δοκεῖν. Σάρκα δὲ οὐ θέλει ἀνίστασθαι. Γάμον δὲ φθορὰν εἶναι λέγων κυνικωτέρῳ βίῳ προσάγων τοὺς μαθητὰς, ἐν τούτοις νομίζων λυπεῖν τὸν δημιουργὸν, εἰ τῶν ὑπ᾽ αὐτοῦ γεγονότων ἢ ὡρισμένων ἀπέχοιτο.

20 Ἀπελλῆς δὲ ὁ τούτου μαθητὴς ἀπαρεσθεὶς τοῖς ὑπὸ τοῦ διδασκάλου εἰρημένοις, καθὰ προείπομεν, ἄλλῳ λόγῳ
131 v. ὑπέθετο τέσσαρας εἶναι θεοὺς, ὧν ἕνα φάσκων, ὃν οὔτε οἱ προφῆται ἔγνωσαν, οὗ εἶναι υἱὸν τὸν Χριστόν· ἕτερον δὲ τὸν δημιουργὸν τοῦ παντὸς, ὃν οὐ θεὸν εἶναι θέλει, ἕτερον δὲ, πύρινον τὸν Φανέντα, ἕτερον δὲ πονηρὸν, οὓς ἀγγέλους καλεῖ, προσθεὶς δὲ τὸν Χριστὸν, καὶ πέμπτον ἐρεῖ. Προσέχειν δὲ βίβλῳ, ἣ φανερώσεις καλεῖ Φιλουμένης τινὸς ἣν προφῆτιν νομίζει· τὴν δὲ σάρκα τὸν Χριστὸν οὐκ ἐκ τῆς παρθένου λέγει προσειληφέναι, ἀλλ᾽ ἐκ τῆς παρακειμένης τοῦ κόσμου οὐσίας. Οὕτως κατὰ τοῦ νόμου καὶ τῶν προφητῶν συντάγματα ἐποίησε, καταλύειν αὐτοὺς ἐπιχειρῶν ὡς ψευδῆ λελαληκότας καὶ θεὸν μὴ ἐγνωκότας· σάρκας τε ἀπόλλυσθαι ὁμοίως Μαρκίωνι λέγει.

21 Κήρινθος δὲ ὁ ἐν τῇ Αἰγύπτῳ ἀσκηθεὶς αὐτὸς οὐχ ὑπὸ τοῦ πρώτου θεοῦ τὸν κόσμον γεγονέναι ἠθέλησεν, ἀλλ᾽ ὑπὸ δυνάμεώς τινος ἀγγελικῆς, πολὺ κεχωρισμένης καὶ διεστώσης τῆς ὑπὲρ τὰ ὅλα αὐθεντίας καὶ ἀγνοούσης

64. Corrig. προσάγει.
67. Titulus rubr.: Ἀπελλῆς ὁ Ταττιανοῦ μαθητής.
72. Φανέντα etiam in libro VII majuscula scribendum erat.
74. Fort. ἣν φαν.
75. Cod. προφήτην.
80. Cod. ἀπόλυσθαι.

τὸν ὑπὲρ πάντα θεόν. Τὸν δὲ Ἰησοῦν λέγει μὴ ἐκ παρθένου γεγεννῆσθαι· γεγονέναι δὲ αὐτὸν ἐξ Ἰωσὴφ καὶ Μαρίας υἱὸν, ὅμοιον τοῖς λοιποῖς ἀνθρώποις, καὶ διενηνοχέναι ἐν δικαιοσύνῃ καὶ σωφροσύνῃ καὶ συνέσει ὑπὲρ πάντας τοὺς λοιπούς. Καὶ μετὰ τὸ βάπτισμα κατεληλυθέναι εἰς αὐτὸν ἐκ τῆς ὑπὲρ τὰ ὅλα αὐθεντίας τὸν Χριστὸν ἐν εἴδει περιστερᾶς, καὶ τότε κηρῦξαι τὸν ἄγνωστον πατέρα καὶ δυνάμεις ἐπιτελέσαι. Πρὸς δὲ τῷ τέλει τοῦ πάθους ἀποπτῆναι τὸν Χριστὸν ἀπὸ τοῦ υἱοῦ· πεπονθέναι τὸν Ἰησοῦν, τὸν δὲ Χριστὸν ἀπαθῆ μεμενηκέναι, πνεῦμα Κυρίου ὑπάρχοντα.

22 Εὐιαιωναῖοι δὲ τὸν μὲν κόσμον ὑπὸ τοῦ ὄντος θεοῦ γεγονέναι λέγουσι, τὸν δὲ Χριστὸν ὁμοίως Κηρίνθῳ. Ζῶσι δὲ πάντα κατὰ νόμον Μωϋσῇ, οὕτω φάσκοντες δικαιοῦσθαι.

23 Θεόδοτος δὲ ὁ Βυζάντιος ἐξηγήσατο αἵρεσιν τοιάνδε, φάσκων τὰ μὲν ὅλα ὑπὸ τοῦ ὄντος θεοῦ γεγονέναι, τὸν δὲ Χριστὸν ὁμοίως τοῖς προειρημένοις γνωστικοῖς φάσκει τοιούτῳ τινὶ τρόπῳ πεφηνέναι. Εἶναι δὲ τὸν Χριστὸν κ[οιν]ὸν ἄνθρωπον πᾶσιν· ἐν δὲ τούτῳ δια-
132 r. φέρειν ὅτι κατὰ βουλὴν θεοῦ γεγένηται ἐκ παρθένου, ἐπισκιάσαντος τοῦ ἁγίου Πνεύματος, οὐκ ἐν τῇ παρθένῳ σαρκωθέντα, ὕστερον δὲ ἐπὶ τοῦ βαπτίσματος κατεληλυθέναι τὸν Χριστὸν ἐπὶ τὸν Ἰησοῦν ἐν εἴδει περιστερᾶς, ὅθεν φασὶ μὴ πρότερον τὰς δυνάμεις αὐτῷ ἐνεργηθῆναι. Θεὸν δὲ οὐκ εἶναι τὸν Χριστὸν θέλει. Καὶ τοιαῦτα Θεόδοτος.

24 Ἕτεροι δὲ καὶ ἐξ αὐτῶν πάντα τοῖς προειρημένοις λέγουσιν, ἓν μόνον ἐνδιαλλάξαντες ἐν τῷ τὸν Μελχι-

87. Cod. γεγενῆσθαι.
97. Sic codex hoc loco. Supra libro VII Ἐβιωναῖοι.
6. Literæ οιν prorsus evanidæ.
14. Pro his legitur in libro VII, ἕτερός τις καὶ αὐτὸς Θεόδοτος καλούμενος.
15. Cod. λέγουσι.

σεδὲκ ὡς δύναμίν τινα ὑπειληφέναι, φάσκοντες αὐτὸν ὑπὲρ πᾶσαν δύναμιν ὑπάρχειν, οὐ κατ' εἰκόνα δὲ εἶναι τὸν Χριστὸν θέλουσιν.

25 Οἱ δὲ Φρύγες ἐκ Μοντάνου τινὸς καὶ Πρισκίλλης καὶ Μαξιμίλλης τὰς ἀρχὰς τῆς αἱρέσεως λαβόντες, προφήτιδας τὰ γύναια νομίζοντες, καὶ προφήτην τὸν Μοντᾶνον· τὰ δὲ περὶ τῆς τοῦ παντὸς ἀρχῆς καὶ δημιουργίας, ὀρθῶς λέγειν νομίζουσι, καὶ τὰ περὶ τὸν Χριστὸν οὐκ ἀλλοτρίως προσειλήφασιν· ἐν δὲ τοῖς προειρημένοις σφάλλονται, ὧν τοῖς λόγοις ὑπὲρ τὰ εὐαγγέλια προσέχοντες πλανῶνται, νηστείας κενὰς καὶ παραδόσεις ὁρίζοντες.

26 Ἕτεροι δὲ αὐτῶν τῇ τῶν Νοητιανῶν αἱρέσει προσκείμενοι, τὰ μὲν περὶ τὰ γύναια καὶ Μοντᾶνον ὁμοίως δοκοῦσι, τὰ δὲ περὶ τῶν ὅλων πατέρα δυσφημοῦσιν, αὐτὸν εἶναι υἱὸν καὶ πατέρα λέγοντες ὁρατὸν καὶ ἀόρατον, γεννητὸν καὶ ἀγέννητον, θνητὸν καὶ ἀθάνατον. Οὗτοι τὰς ἀφορμὰς ἀπὸ Νοητοῦ τινὸς λαβόντες.

27 Ὁμοίως δὲ καὶ Νοητὸς τῷ μὲν γένει ὢν Σμυρναῖος, ἀνὴρ ἀκριτόμυθος καὶ ποικίλος, εἰσηγήσατο τοιάνδε αἵρεσιν ἐξ Ἐπιγόνου τινὸς εἰς Κλεομένην χωρήσασαν, καὶ οὕτως ἕως νῦν ἐπὶ τοὺς διαδόχους διαμείνασαν, λέγων ἕνα τὸν πατέρα καὶ θεὸν τῶν ὅλων· τοῦτον πάντα πεποιηκότα, ἀφανῆ μὲν τοῖς οὖσι γεγονέναι ὅτε ἠβούλετο· φανῆναι δὲ τότε ὅτε ἠθέλησε· καὶ τοῦτον εἶναι ἀόρατον ὅτε μὴ ὁρᾶται· ὁρατὸν δὲ, ὅταν ὁρᾶται· ἀγέννητον δὲ, ὅταν μὴ γεννᾶται· γεννητὸν δὲ, ὅταν γεν-
132 v. νᾶται ἐκ παρθένου, ἀπαθῆ καὶ ἀθάνατον, ὅτε μὴ πάσχῃ μήτε θνήσκῃ· ἐπὰν δὲ πάθη προσέλθῃ, πάσχειν καὶ θνήσκειν τοῦτον τὸν πατέρα· αὐτὸν υἱὸν νομίζουσι κατὰ καιροὺς καλούμενον πρὸς τὰ συμβαίνοντα. Τούτων τὴν

19. Cod. μοντανοῦ.
23. Fort. νομίζονται.
29. Pro καὶ fort. κατά.
35. Cod. ποικῖλος.

αἵρεσιν ἐκράτυνε Κάλλιστος, οὗ τὸν βίον ἐκτεθείμεθα ἀσφαλῶς, ὃς καὶ αὐτὸς αἵρεσιν ἀπεγέννησεν· ἐξ ὧν ἀφορμὰς λαβὼν καὶ αὐτὸς ὁμολογῶν ἕνα εἶναι τὸν πατέρα καὶ θεὸν τοῦτον δημιουργὸν τοῦ παντὸς, τοῦτον δὲ εἶναι υἱὸν ὀνόματι μὲν λεγόμενον καὶ ὀνομαζόμενον, οὐσίᾳ δὲ [ἓν] εἶναι, πνεῦμα γὰρ, φησὶν, ὁ θεὸς οὐχ ἕτερόν ἐστι παρὰ τὸν λόγον ἢ ὁ λόγος παρὰ τὸν θεόν· ἓν οὖν τοῦτο πρόσωπον ὀνόματι μὲν μεριζόμενον, οὐσίᾳ δὲ οὔ. Τοῦτον τὸν λόγον ἕνα εἶναι θεὸν ὀνομάζει καὶ σεσαρκῶσθαι λέγει. Καὶ τὸν μὲν κατὰ σάρκα ὁρώμενον καὶ κρατούμενον υἱὸν εἶναι θέλει, τὸν δὲ ἐνοικοῦντα πατέρα, ποτὲ μὲν τῷ Νοητοῦ δόγματι περιρρηγνύμενος, ποτὲ δὲ τῷ Θεοδότου, μηδὲν ἀσφαλὲς κρατῶν. Ταῦτα τοίνυν Κάλλιστος.

28 Ἑρμογένης δέ τις καὶ αὐτὸς θελήσας τι λέγειν, ἔφη τὸν θεὸν ἐξ ὕλης συγχρόνου καὶ ὑποκειμένης τὰ πάντα πεποιηκέναι· ἀδυνάτως γὰρ ἔχειν τὸν θεὸν μὴ οὐχὶ ἐξ ὄντων τὰ γενόμενα ποιεῖν.

29 Ἕτεροι δέ τινες ὡς καινόν τι παρεισάγοντες ἐκ πασῶν αἱρέσεων ἐρανισάμενοι ξένην βίβλον σκευάσαντες Ἠλχασαΐ τινος ἐπονομαζομένην, οὗτοι τὰς μὲν ἀρχὰς τοῦ παντὸς ὁμοίως ὁμολογοῦσιν ὑπὸ τοῦ θεοῦ γεγονέναι, Χριστὸν δὲ ἕνα οὐχ ὁμολογοῦσιν, ἀλλ' εἶναι τὸν μὲν ἄνω ἕνα, αὐτὸν δὲ μεταγγιζόμενον ἐν σώμασι [πολλοῖς] πολλάκις, καὶ νῦν δὲ ἐν τῷ Ἰησοῦ ὁμοίως [π]οτὲ μὲν ἐκ τοῦ θεοῦ γεγενῆσθαι, ποτὲ δὲ πνεῦμα γεγονέναι, ποτὲ δὲ ἐκ παρθένου, ποτὲ δὲ οὔ. Καὶ τοῦτον δὲ μετέπειτα ἀεὶ ἐν σώμασι μεταγγίζεσθαι καὶ ἐν πολλοῖς κατὰ καιροὺς δείκνυσθαι. Χρῶνται δὲ ἐπα[οι]δαῖς καὶ βαπτίσμασιν

48. Fort. ἐκτεθείμεθα σαφῶς.
52. Addidimus ἕν.
57. Cod. θέλειν.
58. Cod. Νοητῷ.
ib. Cod. περιρηγ..μενος, duabus literis evanidis.
65. Titulus rubricatus Ἐλχασαΐται.
70. Vocis πολλοῖς vestigia exstant, sed non prorsus certa.

ἐπὶ τῇ τῶν στοιχείων ὁμολογίᾳ. Σεσόβηνται δὲ περὶ ἀστρολογίαν καὶ μαθηματικὴν, καὶ μαγικοῖς. Προγνωστικοὺς δὲ ἑαυτοὺς λέγουσιν.

137 r.
30 . . . . . . . . . . . . . . . τοῦ θεοῦ μετοικεῖ εἰς Μεσοποταμίας πόλεως Χαρρὰν, εἰς τὴν νῦν μὲν Παλαιστίνην καὶ Ἰουδαίαν προσαγορευομένην χώραν, τότε δὲ Χαναανῖτιν, περὶ ἧς καὶ κατὰ τοῦτο τὸ μέρος τὸν λόγον οὐκ ἀμελῶς παρεδώκαμεν ἐν ἑτέροις λόγοις. Διὰ τοῦτο τοίνυν γίνεται ἡ καταρχὴ τῆς κατὰ τὴν Ἰουδαίαν αὐξήσεως, ἥτις τὴν προσηγορίαν μετέσχεν . . . . . . . . ἐξ Ἰούδα παιδὸς τοῦ Ἰακὼβ τοῦ τετάρτου, οὗ καὶ . . . . . . . . . κέκληται· διὰ τὸ ἐξ αὐτοῦ τὸ βασιλικὸν γένος . . . . . . . μετοικεῖ τῆς Μεσοποταμίας . . . . . . . . . . ἑκατοντούτης γενόμενος . . . . . . . . . . . γενόμενος ξ̄, γεννᾷ τὸν Ἰακώβ· ὁ δὲ Ἰακὼβ ἐτῶν π̄ζ̄ γεννᾷ τὸν Λευΐ· ὁ δὲ Λευῒ ἐτῶν μ̄ γεννᾷ τὸν Καάθ· ὁ δὲ Καὰθ ἐτῶν . . . . . . ἡνίκα συγκατῆλθε τῷ Ἰακὼβ εἰς Αἴγυπτον. Γίνεται τοίνυν πᾶς ὁ χρόνος ὃν παρῴκησεν Ἀβραὰμ καὶ πᾶν τὸ αὐτοῦ γένος κατὰ τὸν Ἰσαὰκ (τῇ) ἐν τῇ τότε καλουμένῃ Χαναανίτιδι γῇ, ἔτη σ̄ῑε̄· τούτου δὲ γίνεται... Θάρρα· τούτου Ναχὼρ, τούτου Σεροὺρ, ὅθεν καὶ τὸ Ἑβραίους καλεῖσθαι . . . . . . . . . ἦσαν δὲ οὗτοι ο̄β̄ ἔθνη, ὧν καὶ τὰ ὀνόματα ἐκτεθείμεθα ἐν ἑτέραις βίβλοις, μηδὲ τοῦτο καταλιπόντες, κατὰ τρόπον βουλόμενοι τοῖς φιλομαθέσιν ἐπιδεικνύναι ἣν ἔχομεν στορ-

77. Literæ ἀστρ plane evanidæ. Post μαγικοῖς excidit fortasse ἐπτόηνται.

79. Turbatus ordo foliorum. Hic inserendum fol. 137.

80. Fort. πόλιν Χαρράν.

85. Spatium vacuum litterarum 11.

86. Rursus litt. 13.

88. Item litt. 11.

ib. Rursus litt. 26.

89. Cod. ἑκατὸν τούτης.

ib. Rursus litt. 22.

92. Lacuna litt. 9.

94. Dele τῇ.

96. Lacuna 3 litt.

97. Lacuna litt. fere 23.

98. Cod. ἐκτεθήμεθα.

99. Cod. βουλόμενος.

γὴν περὶ τὸ Θεῖον, τὴν δὲ ἀδίστακτον γνῶσιν ἣν ἐν πόνοις κεκτήμεθα περὶ τὴν ἀλήθειαν. Τούτου δὲ τοῦ Ἔβερ γίνεται πατὴρ Σάλα, τούτου δὲ Καϊνὰν, τούτου δὲ Ἀρφαξὰδ, οὗ γίνεται Σὴμ, τούτου δὲ Νῶε, ἐφ' οὗ ὁ κατὰ πάντα κόσμον γίνεται κατακλυσμὸς, οὗ οὔτε Αἰγύπτιοι οὔτε Χαλδαῖοι οὔτε Ἕλληνες μέμνηνται· οἷς κατὰ τόπους οἵ τε ἐπὶ τοῦ Ὠγύγου καὶ Δευκαλίωνος γεγένηνται κατακλυσμοί. Εἰσὶν οὖν καὶ ἐπὶ τούτων γενεαὶ ε̅, ἔτη υ̅ζ̅ε̅. Οὗτος εὐσεβέστατος γενόμενος καὶ θεοφιλὴς μόνος ἅμα γυναικὶ καὶ τέκνοις καὶ ταῖς τούτων τρισὶ γυναιξὶ διέφυγε τὸν γενόμενον κατακλυσμὸν ἐν κιβωτῷ διασωθεὶς, ἧς καὶ τὰ μέτρα καὶ τὰ λείψανα, καθὼς ἐκτεθείμεθα, ἕως νῦν ἀποδείκνυται ἐν ὄρεσιν
137 v. Ἀραρὰδ καλουμένοις, οὖσι πρὸς τὴν τῶν Ἀδιαβηνῶν χώραν. Ἐνιδεῖν οὖν ἐστὶ τοῖς φιλοπόνως ἱστορεῖν βουλομένοις ὡς φανερῶς ἐπιδέδεικται τὸ τῶν θεοσεβῶν γένος ἀρχαιότερον πάντων Χαλδαίων, Αἰγυπτίων, Ἑλλήνων. Τί δὲ καὶ τοὺς ἐπάνω τοῦ Νῶε καὶ θεοσεβεῖς καὶ θεοῦ ὁμιλητὰς ὀνομάζειν νῦν χρὴ, ἱκανῆς οὔσης τῆς πρὸς τὸ προκείμενον ταύτης τῆς περὶ ἀρχαιότητος μαρτυρίας;

31 Ἀλλ' ἐπεὶ οὐκ ἄλογον δοκεῖ ἐπιδεῖξαι ταῦτα τὰ περὶ σοφίαν ἠσχολημένα ἔθνη μεταγενέστερα ὄντα τῶν Θεὸν σεβασάντων, εὔλογον εἰπεῖν καὶ πόθεν τὸ γένος αὐτοῖς καὶ πότε μετοικήσαντες ταύταις ταῖς χώραις, οὐ τὸ ὄνομα ἐξ αὐτῶν τῶν χωρῶν μετέσχον, ἀλλ' αὐτοὶ προσεποίησαν ἐκ τῶν πρώτως ἀρξάντων καὶ κατοικησάντων. Γίνονται τῷ Νῶε τρεῖς παῖδες Σὴμ, Χὰμ, Ἰάφεθ· ἐκ τούτων πᾶν γένος ἀνθρώπων πεπλήθυνται καὶ πᾶσα χώρα κατοικεῖται· ῥῆμα γὰρ θεοῦ ἐπ' αὐτοὺς ἴσχυσεν

5. Cod. ἀφαξ̀δ (sic). 8. Cod. ὅτε. 26. Cod. οὗ.

εἰπόντος· "αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν." Τοσοῦτον δυνηθέντος ἑνὸς ῥήματος γεννῶνται ἐκ τῶν τριῶν παῖδες κατὰ γένος ο̅β̅, ἐκ μὲν τοῦ Σὴμ κ̅ε̅, ἐκ δὲ τοῦ Ἰάφεθ ι̅ε̅, ἐκ δὲ τοῦ Χαὰμ λ̅β̅. Τῷ δὲ Χὰμ γίνονται παῖδες ἐκ τῶν προειρημένων λ̅β̅· τούτου Χάρι, ἐξ οὗ Χαναναῖοι, Μεζραεὶμ, ἐξ οὗ Αἰγύπτιοι, Χοῦς, ἐξ οὗ Αἰθίοπες, Φοὺδ, ἐξ οὗ Λίβυες· οὗτοι τῇ κατ' αὐτοὺς φωνῇ ἕως νῦν τῇ τῶν προγόνων προσηγορίᾳ καλοῦνται· εἰς δὲ τὸ Ἑλληνικὸν οἷς νῦν ὀνόμασι κέκληνται ὀνομάζονται. Εἰ δὲ μηδὲ τὸ οἰκεῖσθαι τὰς τούτων χώρας πρότερον ἦν, μηδὲ ἀρχὴν γένος ἀνθρώπων δείκνυται, οὗτοι δὲ υἱοὶ τοῦ Νῶε ἀνδρὸς γίνονται θεοσεβοῦς, ὃς καὶ αὐτὸς μαθητὴς γεγένηται ἀνδρῶν θεοσεβῶν, οὗ χάριν διέφυγε πολλὴν ὕδατος πρόσκαιρον ἀπειλήν· πῶς οὐ προγενέστεροι ἦσαν θεοσεβεῖς πάντων Χαλδαίων, Αἰγυπτίων, Ἑλλήνων, ὧν πατὴρ ἐκ τούτου Ἰάφεθ γεννᾶται, ὄνομα Ἰωύαν, ἐξ οὗ Ἕλληνες καὶ Ἴωνες; Εἰ δὲ τὰ περὶ φιλοσοφίας ἀναπασχοληθέντα ἔθνη πολλῷ μεταγενέστερα τοῦ τῶν θεοσεβῶν γένους καὶ κατακλυσμοῦ παντὸς δείκνυται· πῶς οὐχὶ καὶ βάρβαρα καὶ ὅσα ἐν κόσμῳ γνωστά τε καὶ ἄγνωστα νεώτερα τούτων φανήσεται; Τούτου τοίνυν τοῦ λόγου κρατήσαντες μαθηταὶ Ἕλληνες, Αἰγύπτιοι, Χαλδαῖοι
133 r. καὶ πᾶν γένος ἀνθρώπων τί τὸ Θεῖον καὶ ἡ τούτου εὔτακτος δημιουργία παρ' ἡμῶν τῶν φίλων τοῦ θεοῦ, καὶ μὴ κομπολόγῳ τοῦτο ἠσκηκότων, ἀλλ' ἢ ἀληθείας γνώσει καὶ ἀσκήσει σωφροσύνης εἰς ἀπόδειξιν αὐτοῦ λόγους ποιουμένων.

32. Genes. I, 28.

37. Pro vitioso Χάρι in LXX est Χαναάν.

ib. Cod. μετραείμ.

42. Cod. γένους.

49. Leg. ἐνασχοληθέντα, sive potius ἐναποσχοληθέντα.

51. Cod. male καὶ κατὰ λογισμοῦ.

56. Post ἡμῶν vel alio loco hujus periodi excidisse videtur ἔλαβον.

57. Fort. κομπολόγως.

32 Θεὸς εἷς ὁ πρῶτος καὶ μόνος καὶ ἁπάντων ποιητὴς καὶ κύριος, σύγχρονον ἔσχεν οὐδὲν, οὐ χάος ἄπειρον, οὐχ ὕδωρ ἀμέτρητον ἢ γῆν στερρὰν, οὐχὶ ἀέρα πυκνὸν, οὐ πῦρ θερμὸν, οὐ πνεῦμα λεπτὸν, οὐκ οὐρανοῦ μεγάλου κυανέαν μορφήν· ἀλλ' ἦν εἷς μόνος ἑαυτῷ, ὃς θελήσας ἐποίησε τὰ ὄντα οὐκ ὄντα πρότερον, πλὴν ὅτε ἠθέλησε ποιεῖν ὡς ἔμπειρος ὢν τῶν ἐσομένων. Πάρεστι γὰρ αὐτῷ καὶ πρόγνωσις, διαφόρους τε τοῖς ἐσομένοις ἀρχὰς πρότερον ἐδημιούργει, πῦρ καὶ πνεῦμα, ὕδωρ καὶ γῆν, ἐξ ὧν διαφόρων τὴν ἑαυτοῦ κτίσιν ἐποίει, καὶ τὰ μὲν, μονοούσια, τὰ δὲ, ἐκ δύο, τὰ δὲ, ἐκ τριῶν, τὰ δὲ, ἐκ τεσσάρων συνεδέσμει. Καὶ τὰ μὲν ἐξ ἑνὸς, ἀθάνατα ἦν· λύσις γὰρ οὐ παρακολουθεῖ. Τὸ γὰρ ἓν οὐ λυθήσεται πώποτε, τὰ δὲ ἐκ δύο, ἢ τριῶν, ἢ τεσσάρων, λυτὰ, διὸ καὶ θνητὰ ὀνομάζεται. Θάνατος γὰρ τοῦτο κέκληται, ἡ τῶν δεδεμένων λύσις. Ἱκανὸν οὖν νῦν τοῖς εὖ φρονοῦσιν ἀποκεκρίσθαι, οἳ εἰ φιλομαθήσουσι καὶ τὰς τούτων οὐσίας καὶ τὰς αἰτίας τῆς κατὰ πάντα δημιουργίας ἐπιζητήσουσιν, εἴσονται ἐντυχόντες ἡμῶν βίβλῳ περιεχούσῃ περὶ τῆς τοῦ παντὸς οὐσίας· τὸ δὲ νῦν ἱκανὸν εἶναι ἐκθέσθαι τὰς αἰτίας, ἃς οὐ γνόντες Ἕλληνες κομψῷ τῷ λόγῳ τὰ μέρη τῆς κτίσεως ἐδόξασαν τὸν κτίσαντα ἀγνοήσαντες· ὧν ἀφορμὰς σχόντες οἱ αἱρεσιάρχαι ὁμοίοις λόγοις τὰ ὑπ' ἐκείνων προειρημένα μετασχηματίσαντες, αἱρέσεις καταγελάστους συνεστήσαντο.

33 Οὗτος οὖν μόνος καὶ κατὰ πάντων Θεὸς, λόγον πρῶτον ἐννοηθεὶς ἀπογεννᾷ οὐ λόγον ὡς φωνὴν, ἀλλ' ἐνδιάθετον τοῦ παντὸς λογισμόν. Τοῦτον μόνον ἐξ ὄν-

60. Titulus rubricatus in codice: Ὠριγένης καὶ Ὠριγένους δόξα.
72. Cod. ubique λῦσις.
80. Cod. γνῶντες.
83. Cod. τὰ ὑπέκεινα.

των ἐγέννα· τὸ γὰρ ὄν, αὐτὸς ὁ πατὴρ ἦν, ἐξ οὗ τὸ γεννηθῆναι αἴτιον τοῖς γινομένοις. Λόγος ἦν ἐν αὐτῷ φέρων τὸ θέλειν τοῦ γεγεννηκότος, οὐκ ἄπειρος τῆς τοῦ πατρὸς ἐννοίας· ἅμα γὰρ τῷ ἐκ τοῦ γεννήσαντος προελθεῖν πρωτότοκος τούτου γενόμενος, φωνὴν ἔχει ἐν ἑαυτῷ τὰς ἐν τῷ πατρικῷ ἐννοηθείσας ἰδέας, ὅθεν κελεύοντος
133 v. πατρὸς γίνεσθαι κόσμον τὸ κατὰ ἓν Λόγος ἀπετελεῖτο ἀρέσκων Θεῷ. Καὶ τὰ μὲν ἐπὶ γενέσει πληθύνοντα, ἄρσενα καὶ θήλεα εἰργάζετο· ὅσα δὲ πρὸς ὑπηρεσίαν καὶ λειτουργίαν, ἢ ἄρσενα ἢ θηλειῶν μὴ προσδεόμενα, ἢ οὔτε ἄρσενα, οὔτε θήλεα. Καὶ γὰρ αἱ τούτων πρῶται οὐσίαι ἐξ οὐκ ὄντων γενόμεναι, πῦρ καὶ πνεῦμα, ὕδωρ καὶ γῆ, οὔτε ἄρσενα οὔτε θήλεα ὑπάρχειν ἑκάστη τούτων δῦνται προελθεῖν ἄρσενα καὶ θήλεα, πλὴν εἰ βούλοιτο ὁ κελεύων Θεὸς ἵνα Λόγος ὑπουργῇ. Ἐκ πυρὸς εἶναι ἀγγέλους ὁμολογῶ, καὶ οὐ τούτοις παρεῖναι θηλείας λέγω. Ἥλιον δὲ καὶ σελήνην καὶ ἀστέρας ὁμοίως ἐκ πυρὸς καὶ πνεύματος, καὶ οὔτε ἄρσενας οὔτε θηλείας νενόμικα, ἐξ ὕδατος δὲ ζῷα νηκτὰ εἶναι θέλων καὶ πτηνὰ ἄρσενα καὶ θήλεα· οὕτω γὰρ ἐκέλευσεν ὁ θελήσας Θεὸς, γόνιμον εἶναι τὴν ὑγρὰν οὐσίαν. Ὁμοίως ἐκ γῆς ἑρπετὰ καὶ θηρία καὶ παντοδαπῶν ζῴων ἄρσενα καὶ θήλεα· οὕτως γὰρ ἐνεδέχετο ἡ τῶν γεγονότων φύσις. Ὅσα γὰρ ἠθέλησεν, ἐποίει ὁ Θεός. Ταῦτα λόγῳ ἐδημιούργει, ἑτέρως γενέσθαι μὴ δυνάμενα, ἢ ὡς ἐγένετο. Ὅτε δὲ (ἢ) ὡς ἠθέλησε καὶ ἐποίησεν, ὀνόματι καλέσας ἐσήμηνεν. Ἐπὶ τούτοις τὸν πάντων ἄρχοντα δημιουργὸν ἐκ πασῶν συνθέτων οὐσιῶν ἐσκεύασεν· οὐ θεὸν θέλων ποιεῖν

91. Cod. γεγενηκότος.
92. Cod. τὸ ἐκ.
93. Cod. ἔχειν ἐν.
98. Medium ἢ delendum videtur.
2–3. Fort. ὑπάρχει· ἑκάστης τούτων δύναται. Aut, si malis, ὑπάρχουσιν οὔτε.
4. Cod. ὑπουργεῖ, mutatum in -ῇ.
14. Ex præcedentibus male repetitum ἢ quod post ὅτε δέ legitur.

ἔσφηλεν, οὐδὲ ἄγγελον (μὴ πλανῶ), ἀλλ' ἄνθρωπον. Εἰ γὰρ θεόν σε ἠθέλησε ποιῆσαι, ἐδύνατο· ἔχεις τοῦ Λόγου τὸ παράδειγμα· ἄνθρωπον θέλων, ἄνθρωπόν σε ἐποίησεν· εἰ δὲ θέλεις καὶ θεὸς γενέσθαι, ὑπάκουε τῷ πεποιηκότι, καὶ μὴ ἀντίβαινε νῦν, ἵνα ἐπὶ τῷ μικρῷ πιστὸς εὑρεθεὶς, καὶ τὸ μέγα πιστευθῆναι δυνηθῇς. Τούτου ὁ Λόγος μόνος ἐξ αὐτοῦ· διὸ καὶ θεὸς, οὐσία ὑπάρχων Θεοῦ. Ὁ δὲ κόσμος ἐξ οὐδενός· διὸ οὐ θεός· οὗτος ἐπιδέχεται καὶ λύσιν ὅτε βούλεται ὁ κτίσας. Ὁ δὲ κτίσας Θεὸς κακὸν οὐκ ἐποίει οὐδὲ ποιεῖ * καλὸν καὶ ἀγαθὸν, ἀγαθὸς γὰρ ὁ ποιῶν. Ὁ δὲ γενόμενος ἄνθρωπος, ζῷον αὐτεξούσιον ἦν, οὐκ ἄρχον, οὐ νοῦν ἔχον, οὐκ ἐπινοίᾳ καὶ ἐξουσίᾳ καὶ δυνάμει πάντων κρατοῦν, ἀλλὰ δοῦλον καὶ πάντα ἔχον τὰ ἐναντία· ὃς τῷ αὐτεξούσιον ὑπάρχειν, τὸ κακὸν ἐπιγεννᾷ, ἐκ συμβεβηκότος ἀποτελούμενον μὲν οὐδὲν, ἐὰν μὴ ποιῇς. Ἐν γὰρ τῷ θέλειν καὶ νομίζειν τι κακὸν, τὸ κακὸν ὀνομάζεται, οὐκ ὂν ἀπ' ἀρχῆς, ἀλλ' ἐπιγινόμενον. Οὗ αὐτεξουσίου ὄντος, νόμος ὑπὸ Θεοῦ ὠρίζετο, οὐ μάτην· οὐ γὰρ μὴ εἶχεν ὁ ἄνθρωπος τὸ θέλειν καὶ τὸ μὴ θέλειν τι, καὶ νόμος ὡρίζετο. Ὁ νόμος γὰρ ἀλόγῳ ζῴῳ οὐχ ὁρισθήσεται, ἀλλὰ χαλινὸς καὶ μάστιξ,
134 r. ἀνθρώπῳ δὲ ἐντολὴ καὶ πρόστιμον τοῦ ποιεῖν τὸ προστεταγμένον καὶ μὴ ποιεῖν· τούτῳ νόμος ὡρίσθη διὰ δικαίων ἀνδρῶν ἐπάνωθεν. Ἔγγιον ἡμῶν διὰ τοῦ προειρημένου Μωϋσέως, ἀνδρὸς εὐλαβοῦς καὶ θεοφιλοῦς, νόμος ὡρίζετο πλήρης σεμνότητος καὶ δικαιοσύνης. Τὰ δὲ πάντα διοικεῖ ὁ Λόγος ὁ Θεοῦ, ὁ πρωτόγονος πατρὸς παῖς, ἡ πρὸ ἑωσφόρου φωσφόρος φωνή· ἔπειτα

22. Matth. XXV, 21.

27. Post ποιεῖ insere εἰ μὴ, vel certe ἤ.

30. Cod. κρατῶν.

31. Cod. ἔχοντα ἐν.

32. Legendum puto ἀποτελούμενον, ὃν οὐδέν, pro μέν.

35. Vox οὗ prorsus evanida.

36. Fort. εἰ γὰρ μή.

38. Cod. μάστιγξ.

42. Cod. Μωϋσέος.

δίκαιοι ἄνδρες γεγένηνται φίλοι Θεοῦ· οὗτοι προφῆται κέκληνται διὰ τὸ προφαίνειν τὰ μέλλοντα. Οἷς οὐχ ἑνὸς καιροῦ λόγος ἐγένετο, ἀλλὰ διὰ πασῶν γενεῶν αἱ τῶν προλεγομένων φωναὶ εὐαπόδεικτοι παρίσταντο· οὐκ ἐκεῖ μόνον ἡνίκα τοῖς παροῦσιν ἀπεκρίναντο, ἀλλὰ καὶ διὰ πασῶν γενεῶν τὰ ἐσόμενα προεφήναντο, ὅτι μὲν τὰ παρῳχημένα λέγοντες, ὑπεμίμνησκον τὴν ἀνθρωπότητα· τὰ δὲ ἐνεστῶτα δεικνύντες, μὴ ῥᾳθυμεῖν ἔπειθον· τὰ δὲ μέλλοντα προλέγοντες, τὸν κατὰ ἕνα ἡμῶν ὁρῶντας πρὸ πολλοῦ προειρημένα ἐμφόβους καθίστων, προσδοκῶντας καὶ τὰ μέλλοντα. Τοιαύτη ἡ καθ' ἡμᾶς πίστις, ὦ πάντες ἄνθρωποι, οὐ κενοῖς ῥήμασι πειθομένων, οὐδὲ σχεδιάσμασι καρδίας συναρπαζομένων, οὐδὲ πιθανότητι εὐεπείας λόγων θελγομένων, ἀλλὰ δυνάμει θείᾳ λόγοις λελαλημένοις οὐκ ἀπειθούντων. Καὶ ταῦτα Θεὸς ἐκέλευε Λόγῳ. Ὁ δὲ Λόγος ἐφθέγγετο λέγων, δι' αὐτῶν ἐπιστρέφων τὸν ἄνθρωπον ἐκ παρακοῆς, οὐ βίᾳ ἀνάγκης δουλαγωγῶν, ἀλλ' ἐπ' ἐλευθερίᾳ ἑκουσίῳ, προαιρέσει καλῶν. Τοῦτον τὸν Λόγον ἐν ὑστέροις ἀπέστελλεν ὁ πατὴρ οὐκέτι διὰ προφήτου λαλεῖν, οὐ σκοτεινῶς κηρυσσόμενον ὑπονοεῖσθαι θέλων, ἀλλ' αὐτοψεὶ φανερωθῆναι τοῦτον λέγων, ἵνα κόσμος ὁρῶν δυσωπηθῇ οὐκ ἐντελλόμενον διὰ προσώπου προφητῶν, οὐδὲ δι' ἀγγέλου φοβοῦντα ψυχὴν, ἀλλ' αὐτὸν παρόντα τὸν λελαληκότα. Τοῦτον ἔγνωμεν ἐκ παρθένου σῶμα ἀνειληφότα καὶ τὸν παλαιὸν ἄνθρωπον διὰ καινῆς πλάσεως πεφορηκότα, ἐν βίῳ διὰ πάσης ἡλικίας ἐληλυθότα, ἵνα πάσῃ ἡλικίᾳ αὐτὸς νόμος γενηθῇ καὶ σκοπὸν τὸν ἴδιον ἄνθρωπον πᾶσιν ἀνθρώποις ἐπιδείξῃ παρὼν, καὶ δι' αὐτοῦ ἐλέγξῃ ὅτι μηδὲν ἐποίησεν ὁ Θεὸς πονηρόν· καὶ ὡς αὐτεξού-

55. Cod. καθιστῶν.

σιος ὁ ἄνθρωπος ἔχων τὸ θέλειν καὶ τὸ μὴ θέλειν δυνατὸς ὢν ἐν ἀμφοτέροις, οὗ τὸν ἄνθρωπον εἰς μὲν τοῦ καθ' ἡμᾶς φυράματος γεγονέναι. Εἰ γὰρ μὴ ἐκ τοῦ αὐτοῦ ὑπῆρξε, μάτην νομοθετεῖ μιμεῖσθαι τὸν δι-
134 v. δάσκαλον. Εἰ γὰρ ἐκεῖνος ὁ ἄνθρωπος ἑτέρας ἐτύγχανεν οὐσίας, τί τὰ ὅμοια κελεύει ἐμοὶ τῷ ἀσθενεῖ πεφυκότι, καὶ πῶς οὗτος ἀγαθὸς καὶ δίκαιος; ἵνα δὲ μὴ ἕτερος παρ' ἡμᾶς νομισθῇ, καὶ κάματον ὑπέμεινε, καὶ πεινῆν ἠθέλησε, καὶ διψῆν οὐκ ἠρνήσατο, καὶ ὕπνῳ ἠρέμησε, καὶ πάθει οὐκ ἀντεῖπε, καὶ θανάτῳ ὑπήκουσε, καὶ ἀνάστασιν ἐφανέρωσεν, ἀπαρξάμενος ἐν πᾶσι τούτοις τὸν ἴδιον ἄνθρωπον, ἵνα σὺ πάσχων μὴ ἀθυμῇς, ἀλλ' ἄνθρωπον σεαυτὸν ὁμολογῶν, προσδοκῶν καὶ σὺ ὃ τούτῳ παρέσχες.

34 Τοιοῦτος ὁ περὶ τὸ Θεῖον ἀληθὴς λόγος, ὦ ἄνθρωποι Ἕλληνές τε καὶ βάρβαροι, Χαλδαῖοί τε καὶ Ἀσσύριοι, Αἰγύπτιοί τε καὶ Λίβυες, Ἰνδοί τε καὶ Αἰθίοπες, Κελτοί τε καὶ οἱ στρατηγοῦντες Λατῖνοι, πάντες τε οἱ τὴν Εὐρώπην Ἀσίαν τε καὶ Λιβύην κατοικοῦντες, οἷς σύμβουλος ἐγὼ γίνομαι, φιλανθρώπου Λόγου ὑπάρχων μαθητὴς καὶ φιλάνθρωπος, ὅπως προσδραμόντες διδαχθῆτε παρ' ἡμῶν τίς ὁ ὄντως Θεὸς καὶ ἡ τούτου εὔτακτος δημιουργία, μὴ προσέχοντες σοφίσμασιν ἐντέχνων λόγων, μηδὲ ματαίοις ἐπαγγελίαις κλεψιλόγων αἱρετικῶν, ἀλλ' ἀληθείας ἀκόμπου ἁπλότητι σεμνῇ, δι' ἧς ἐπιγνώσεως ἐκφεύξεσθε ἐπερχομένην πυρὸς κρίσεως ἀπειλὴν, καὶ ταρτάρου ζοφερὸν ὄμμα ἀφώτιστον, ὑπὸ Λόγου φωνῆς μὴ καταλαμφθὲν, καὶ βρασμὸν ἀεννάου λίμνης

76. Fort. ἔχῃ.
77. Corrigendum videtur τοῦτον (Christum) ἄνθρωπον ἐκ μὲν τοῦ.
79. Fort. ἐνομοθέτει.
84. Cod. διψεῖν.
88. Legendum videtur προσδοκᾷς.
2. Cod. ἐκφεύξεσθαι.
3. Cod. ζωφερόν.
4. Cod. καταλαμφέν.

γεννήτορος φλογὸς, καὶ ταρταρούχων ἀγγέλων κολαστῶν ὄμμα ἀεὶ μένον ἐν ἀπειλῇ, καὶ σκώληκα σώματος ἀπουσίαν ἐπιστρεφόμενον, ἐπὶ τὸ ἐκβράσαν σῶμα ὡς ἐπιστρέφων. Καὶ ταῦτα μὲν ἐκφεύξῃ, Θεὸν τὸν ὄντα διδαχθεὶς, ἕξεις δὲ ἀθάνατον τὸ σῶμα καὶ ἄφθαρτον ἅμα ψυχῇ βασιλείαν οὐρανῶν ἀπολήψῃ, ὁ ἐν γῇ βιοὺς καὶ ἐπουράνιον βασιλέα ἐπιγνοὺς, ἔσῃ δὲ ὁμιλητὴς Θεοῦ καὶ συγκληρονόμος Χριστοῦ, οὐκ ἐπιθυμίαις ἢ πάθεσι καὶ νόσοις δουλούμενος. Γέγονας γὰρ θεός· ὅσα γὰρ ὑπέμεινας πάθη ἄνθρωπος ὢν, ταῦτα δίδου ὅτι ἄνθρωπος εἶς· ὅσα δὲ παρακολουθεῖ θεῷ, ταῦτα παρέχειν ἐπήγγελται Θεὸς, ὅτε θεοποιηθῇς, ἀθάνατος γεννηθείς. Τουτέστι τὸ Γνῶθι σεαυτὸν, ἐπιγνοὺς τὸν πεποιηκότα Θεόν. Τῷ γὰρ ἐπιγνῶναι ἑαυτὸν, ἐπιγνωσθῆναι συμβέβηκε τῷ καλουμένῳ ὑπ' αὐτοῦ. Μὴ φιλεχθήσητε τοίνυν ἑαυτοῖς, ἄνθρωποι, μηδὲ τὸ παλινδρομεῖν διστάσητε· Χριστὸς γάρ ἐστιν ὁ κατὰ πάντων Θεὸς, ὃς τὴν ἁμαρτίαν ἐξ ἀνθρώπων ἀποπλύνειν προσέταξε, νέον τὸν παλαιὸν ἄνθρωπον ἀποτελῶν, εἰκόνα τοῦτον καλέσας ἀπ' ἀρχῆς διὰ τύπου τὴν εἰς σὲ ἐπιδεικνύμενος στοργὴν, οὗ προστάγμασιν ὑπακούσας σεμνοῖς, καὶ ἀγαθοῦ ἀγαθὸς γενόμενος μιμητὴς, ἔσῃ ὅμοιος ὑπ' αὐτοῦ
135 r. τιμηθείς. Σοῦ γὰρ πτωχεύει Θεὸς καὶ σὲ θεὸν ποιήσας εἰς δόξαν αὐτοῦ.

5. Cod. γεννητρος sine accentu.
6. Cod. μένων.
10. Ante βασιλείαν inserendum videtur καί.
18. Cod. τὸ γάρ.
25. Cod. οὐ προστάγμασιν.

# ADDENDA ET CORRIGENDA.

P. 9, 45 ζῶα leg. ζῷα et sic cum ι subscripto p. 11, 97, 98; p. 15, 3; p. 16, 34; p. 18, 17 et p. 75, 43.
P. 30, 41 Θρακίου leg. Θρᾳκίου.
P. 32, 86 *not.* ὑκρότ' leg. Cod. ὑκρότ.
P. 34, 31 ἐ[ν]έχομεν leg. [προσ]έχομεν.
P. 38, 20 Codex ante ὅλον duas literas habebat nunc evanidas, ut scripsisse videatur ἐκτὸς το ὅλον γίνεται, mutato Sexti vocabulo ὀλίγον propter ea quæ sequuntur ἢ εἰς τὴν γῆν καταφέρεται.
P. 43, 30 Literæ οὐ κα evanidæ; legendum puto τηνάλλως.
P. 46, 92 *not.* Cod. μονάδ. ͵ζρξε.
P. 49, 81 *not.* Cod. ͵αριη.
—— 82 *not.* Cod. ͵βτγ.
—— 88 *not.* Cod. ͵δτπθ—βρο.
—— 91 *not.* Cod. ͵δτξθ.
—— 92 *not.* Cod. ͵δρξδ.
—— 93 *not.* Cod. ͵θτλη.
P. 51, 23 In margine loci hujus corrupti scriptum ζήτει.
P. 62, 21 Pro [αὐτὸν] spatium vacuum 11 literarum.
—— 30 Leg. ἔκαυσεν.
P. 63, 33 Fort. φρῦν ἤ τιν' ἕτερον ἀποκαλοῦντες.
—— 38 Fort. Τῇ δὲ ἔνδον φιάλῃ ὕδατος πλήρει.
P. 88, 87 Dele τῶν quod non est in codice.
P. 90, 38 Fort. αὐξήσεως.
P. 91, 71 Leg. ἀναδιδόν.
P. 94, 26 [τούτου] ponendum erat et l. 28 [συγκ]αττύσαντες, illis quippe litteris prorsus ablatis in parte lacera codicis.
P. 144, 99 βακχικοῖς leg. Βακχικοῖς.
P. 253, 43 νῆστις τίς leg. νῆστίς τις.
P. 259, 20 φανέντα leg. Φανέντα.
P. 261, 7 Οὐαλεντιανοῦ sic Cod.; sed leg. Οὐαλεντίνου.
P. 304 — sic corrig. pro 262.
P. 322, 45 'Iὴλ leg. 'Ισραήλ.
P. 334, 79 περὶ τῆς τοῦ leg. Περὶ τῆς τοῦ.

# INDEX

## NOMINUM PROPRIORUM.


AARON 235.
Abel 133, 143.
Abraham 143, 193, 196, 238, 331.
Academia 28.
Academici 28.
Acembes (*al.* Ademes, Celbes) Carystius 34, 127, 315.
Achamos 151.
Achilles 55, 56, 130.
Adam 83, 84, 87, 108, 118, 143, 151, 155, 157, 194, 238, 273.
Adamas 95, 96, 97, 104, 105, 107, 110, 314.
Ademes *vid.* Acembes.
Adiabeni 332.
Admetus 129.
Adoneus 151.
Adonis 98, 99, 118.
Adrastia 23.
Ægyptii 9, 77, 98, 101, 102, 103, 132, 177, 178, 223, 256, 272, 296, 304, 310, 332, 333, 338.
Ægyptus 17, 88, 96 *not.*, 97, 106, 107, 118, 132, 133, 244, 271, 326, 327, 331.
Æmonii 118.
Æolus 129.
Æthiopes 333, 338.
Æthiopia 120.
Æthiops 42.
Æthusa 129.
Agamemnon 52.
Agathyrsus 150.
Agaue 130.
Agrigentum 252.
Ajax 54, 55, 56.
Alalcomeneus 96 *not.*, 97.
Alcibiades 292, 296.
Alcyoneus 96 *not.*, 97.
Alexander (Paris) 54, 130.
Alexander rex Maced. 29, 41.
Ame urbs Persarum 147.
Amen 151.
Amor 130.
Amycus 55.
Amymone 130.
Anacreon 108.
Anaxagoras 1, 13, 313.
Anaximander 1, 7, 11, 312.
Anaximenes 1, 12, 13.
Andromeda 86, 87, 88.
Andronicus Peripat. 145.
Antiochia Syriæ 244.
Antium 288.
Aoæ 129.
Apamia Syriæ 292.
Apelles hæret. 224, 259, 327.
Apollo 68.
Apollodorus 15.
Apollonius 46, 47.
Apostolorum (Acta) 161, 176.
Apraxia 129.
Apsethus (*al.* Psaphon) 161, 162, 172.
Aquarius signum zodiaci 42, 61.
Ararat 332.
Aratus 43, 81, 83, 85, 86, 135.
Arcadia 96 *not.*, 97.
Archelaus 1, 15, 16, 20.
Archimedes 46, 47, 48, 49.
Archippus 9.
Ardesianes (?) 195.
Ariel 129.
Aries signum zodiaci 56, 126.
Aristarchus Samius 46.
Aristoteles 1, 10, 24, 25, 163, 223, 225, 226, 227, 228, 229, 230, 231, 233, 236, 237.

Aristoxenus 7.
Arphaxad 332.
Arsinoe 129.
Asclepiades 313.
Asclepius 68, 69.
Asia 338.
Assyrii 97, 98, 100, 118, 120, 338.
Asteropæus 55.
Astrampsychus 130.
Athamas 130.
Athenæ 25.
Athenienses 115.
Attica 144.
Attis 99, 115, 118, 119, 129.
Augias 159.
Autonoe 130.
Axionicus 195.
Babel 151, 154, 156, 323.
Babylon 17, 121.
Babylonii 77, 310.
Baccheus 118 *not.*, 119.
Bacchus 144.
Bardesianes 253.
Baruch angelus 151, 154, 155, 156, 157, 158, 323.
Baruch (Justini liber sic inscriptus) 149, 158, 159.
Basilides 222, 223, 225, 229, 230, 232, 234, 235, 237, 244, 320, 322.
Baubo 72 *not.*
Beelzebul 192.
Bel 151.
Belias 151.
Benea 129.
Benjamin 108.
Berosus 130.
Bœoti 96 *not.*, 97.
Bombo 72.
Bramanes 2, 28, 29, 30.
Briares 129.
Brimo 115.
Bumegas 130.
Buzyges 130.
Caath 331.
Cabirus 96 *not.*, 97.
Cæsar *vid.* Commodus et Tiberius.
Caïn 133, 143.
Caïnan 332.
Caïni 277.
Calanus 30.
Calliopia 254.
Callistiani 292.
Callistus (*al.* Callixtus) 278, 279, 284, 285, 286, 287, 288, 290, 291, 292, 293, 330.
Cana 108.
Cancer signum zodiaci 58, 126.
Canis signum cœleste 85, 86.
Capaneus 130.
Capricornus signum zodiaci 61, 126.
Carcamenos 151.
Carpocrates 223, 255, 257.
Carpophorus 286, 287, 288.
Cassiepeia 86, 87.
Cauïthan 151.
Caulacau 107.
Celadus 130.
Celbes *vid.* Acembes.
Celeus 129, 144.
Celtæ 2, 9, 30, 338.
Cephesis lacus 96.
Cepheus 86, 87, 88, 128.
Cerdon 259, 326.
Ceres 96 *not.*, 97, 129, 144.
Cerinthus 223, 256, 257, 327, 328.
Chaldæi 34, 35, 36, 38, 39, 40, 41, 43, 125, 310, 332, 333, 338.
Chaldaïca ars 44, 127, 128.
Cham 143, 332, 333.
Chanaanitis 331.
Chananæi 333.
Charran 331.
Charybdis 224.
Chorzar 129.
Christiani 80, 121, 276.
Christus 95, 96, passim.
Chrysippus 1, 26.
Chus 333.
Circe 170.
Cleomenes 278, 279, 284, 285, 329.
Cleopatra 129.
Cœus 31.
Colarbasus 50, 160, 222.
Commodus imp. Rom. 287, 288.

Corona signum cœleste 83, 135.
Corybantes 96 *not.*, 97.
Corybas 109, 118.
Creius 31.
Crœsus 5.
Croton Italiæ 8.
Curetes 96 *not.*, 97, 118 *not.*, 119, 129.
Curites 130.
Cyclopes 32.
Cyclops 224.
Cyllene 109.
Cyllenii 103.
Cynosura 86.
Cynosuris 85.
Cyrus rex Pers. 18.
Damasippus 17.
Danae 157.
Danaïdes 130.
Dandamis 29.
David 122, 212, 274, 308.
Democritus 1, 17, 313.
Deucalion 332.
Deuteronomium 170.
Dialectici 1, 5.
Diana 69.
Diaulus 96 *not.*, 97.
Didyme 129.
Diodorus Eretriensis 7.
Diogenes 226.
Dionysius tyr. 196.
Dionysius ejus pater 197.
Docetæ 260, 261, 262, 267, 268, 269, 324.
Doris 197.
Draco signum cœleste 82, 83, 86.
Druidæ 2, 9, 30.
Eber 332.
Ebion 257.
Ebionæi 223, 224, 328.
Ecphantus 1, 19.
Edem 120, 133, 150, 151, 152, 153, 154, 155, 156, 157, 158, 159, 168, 322, 323, 324.
Elchasaï 278, 292, 294, 296, 330.
Eleusinia 115, 144.
Eleusinii 104.
Eleusis 96 *not.*, 97, 115, 144.
Elias 266.
Eloeim 150, 151, 152, 153, 154, 155, 156, 157, 158, 159, 322, 323.
Empedocles 1, 6, 9, 10, 144, 165, 223, 224, 246, 247, 248, 249, 250, 251, 252, 253, 254, 312, 313.
Encratitæ 261, 276.
Endymion 98, 99, 130.
Epicurus 1, 27, 28, 313.
Epidaurus 68.
Epigonus 279, 329.
Erichthonius 130.
Erinyes 182.
Esaddæus 151.
Esaü 133.
Esseni 297, 305.
Ethici 1.
Eubœa 42.
Euno 129.
Euphorbus 7, 10, 55.
Euphrates fl. 120, 121, 152.
Euphrates Peraticus 34, 127, 315.
Euripides 312.
Europa 338.
Eurystratus 12.
Eva 87, 133, 134, 143, 152, 155.
Evangelia 184, 232, 243, 259, 267, 275, 325.
Evangelium secundum Marcum 252.—Secundum Thomam 101.—Secundum Ægyptios 98.
Evilat 120.
Exodus 169.
Fortunatæ ins. 304.
Fuscianus 285, 287.
Gabriel 151, 215.
Galilæa 108.
Ganymedes 130, 157.
Gelonus 150.
Gemini signum zodiaci 58, 126.
Genesis 169.
Geon 120, 152.
Geryones 95, 107, 149.
Gigantes 32, 96 *not.*, 97.
Gittenum Samariæ 161.
Glaucus 129.
Gnostici 93, 94, 106, 113, 123, 148, 258.
Gymnosophistæ 17, 261.

Habrasax 240.
Hæmus 109.
Hebræi 331.
Hebraica lingua 94.
Hebraicæ litteræ 64.
Hecate 72.
Hector 52, 54, 55.
Hegesibulus 13.
Helena 174, 175, 176.
Helice sidus 85.
Hellen 129.
Heracleon 160, 184, 195.
Heraclides Ponticus 313.
Heraclitus 1, 10, 132, 163, 278, 279, 280, 281, 282, 284, 312.
Heraclius lapis 121, 147.
Hercules 149, 150, 156, 159, 323.
Hermias 105.
Hermes 83, 103, 104, 109, 130.
Hermogenes 261, 273, 274, 330.
Hermotimus 7.
Hero 130.
Herodes 124, 133, 156, 315, 323.
Herodotus 85, 93, 147, 149, 150.
Hesiodus 2, 30.
Hesperides 130.
Hierusalem 106, 115, 117, 188, 191, 193.
Hipparchus 47.
Hippasus 312.
Hippocrates 101.
Hippon 1, 19.
Homerus 104, 105, 106, 107, 132, 145, 269, 312.
Hyacinthus 288.
Hyperion 31.
Ia 129.
Iannes 97.
Iaonia 68.
Iapetus 31, 128.
Iarbas 96 *not.*, 97.
Icarius 130.
Idæi 96 *not.*, 97, 118 *not.*, 119.
Ilium *vid.* Troja.
Indi 2, 17, 28, 261, 338.
Inferi 22, 28, 88.
Ino 129 *not.*, 130.
Iones 333.
Ionan 333.
Irenæus 202, 222.
Isaac 143, 196, 238, 331.
Isidorus hæret. 230.
Isis 101, 129.
Israel 106, 110, 133, 134, 150, 155, 158, 164, 188, 322.
Italia 6, 8, 195.
Jacob 111, 133, 143, 196, 238, 331.
Jacobus 95, 314.
Japhet 143, 332, 333.
Jason 130.
Jeremias 115.
Jesus *vid.* Christus.
Joannes (S.) 258.
Job 82, 266.
Jordanes 106, 107, 258, 267, 297.
Joseph 133, 156, 255, 257, 323, 328.
Josephus (Flav.) 297, sqq.
Jothor 107.
Judæa 175, 331.
Judæi 175, 223, 245, 246, 255, 257, 275, 278, 287, 297, 302, 305, 307, 308.
Judaïca 304.
Judas 164, 331.
Juno 246, 313.
Jupiter 21, 22, 30, 32, 68, 87, 96 *not.*, 97, 118, 176, 246, 313.
Jupiter sidus 46, 47, 49.
Justinus 93, 148, 149, 150, 159, 273, 322, 324. Ejus liber inscriptus Baruch. *Vid.* Baruch.
Justitia 182.
Laius 130.
Lathen 151.
Latini 338.
Leander 130.
Leda 130, 157.
Lemnos 96 *not.*, 97.
Leo signum zodiaci 42, 59.
Leucas petra 106.
Leucippus 1, 17.
Levi 331.
Leviticum 170.
Libra signum cœleste 60, 126.
Libya 161, 162, 338.
Libyes 96 *not.*, 97, 161, 162, 333, 338.

Linus 93, 144.
Lucianus hæret. 224, 259.
Luna 47, 49, 99.
Lyceum 26.
Lyra signum cœleste 83, 84, 135.
Lysis 9.
Madiam 107.
Mæonii 118.
Magi 17.
Marathon 42.
Marcia 287, 288.
Marcion 223, 224, 246, 252, 253, 254, 259, 261, 273, 326, 327.
Marcus (S.) 252.
Marcus hæret. 160, 200, 203, 206, 207, 208, 222.
Maria 95, 156, 194, 195, 196, 215, 241, 257, 264, 322, 323, 324, 328.
Mariam 107, 267.
Mariamma sive Mariamna 95, 314.
Mars sidus 49.
Matthæus 230, 231.
Maximilla 261, 275, 329.
Medea 129.
Megara 25.
Melchisedec 258, 328.
Meleager 130.
Melicertes 129.
Melitum 19.
Menander 223, 244.
Menas 130.
Menelaus 54, 55.
Mercurius signum cœleste 46, 49.
Mesopotamia 111, 331.
Metrodorus 18.
Mezraim 333.
Michael 151.
Minerva 176.
Mion 252.
Misyr 129.
Mnemosyne 30, 32.
Monoïmus 261, 269, 272, 273, 325, 326.
Montanus 261, 275, 329.
Moyses 83, 107, 113, 132, 133, 134, 136, 143, 151, 155, 163, 166, 168, 169, 174, 188, 191, 196, 210, 221, 232, 238, 259, 263, 265, 270, 271, 272, 297, 307, 323, 325, 326, 328, 336.
Musæus 93, 144.
Musæ 30, 31.
Musas 254.
Mygdone 129.
Naas 119, 151, 154, 155, 157, 159.
Naasseni 93, 94, 119, 123, 314.
Nabuchodonosor 164.
Nachor 331.
Narcissus 130.
Nazaret 156.
Nebrod 134.
Nebroe 129.
Nephele 129 *not.*
Neptunus 129.
Nicolaus 258.
Nilus 96 *not.*, 97.
Nochaïtæ 277.
Noe 332, 333.
Noetiani 276, 277, 329.
Noetus 278, 279, 283, 329, 330.
Noïmus *vid.* Monoïmus.
Numeri (Bibl.) 170.
Oceanus 269, 312.
Ocellus Lucanus 313.
Œnone 129.
Ogyges 332.
Olympias 129.
Olympus 31.
Omphale 130, 156, 323.
Ophias 118 *not.*
Ophitæ 277.
Ophiuchus sidus 84, 86.
Origenes Περὶ τῆς τοῦ παντὸς οὐσίας 334.
Orpheus 144. Ejus Bacchica 93.
Orthomenes 18.
Osiris 101, 118, 129.
Ostanes 130.
Ou 129.
Ouo 129.
Ouoab 129.
Palæstina 331.
Pallas 96 *not.*, 97.
Pan 118 *not.*, 119.

Pappas 118.
Paraoth 151.
Parcæ 130.
Paris *vid.* Alexander.
Parmenides 1, 7.
Paros 19.
Parthia 292.
Parthus 296.
Pascha 261, 272, 274, 275.
Patroclus 52, 53, 54.
Paulus (S.) 100, 112, 252, 254, 255, 276, 277.
Pelasgus 96 *not.*, 97.
Peliades 130.
Peloponnesus 14.
Penelope 103.
Peratæ 93, 128, 130, 131, 315, 316.
Peratica doctrina 34, 123, 127, 128, 135. 138.
Pergamus 68.
Peripatetici 26.
Persæ 77, 147.
Persephone *vid.* Proserpina.
Perseus 86, 87.
Petosiris 130.
Petrus (S.) 176, 255.
Phædon Platonis 233.
Phaneis 259, 327.
Pharisæi 297, 305, 306.
Phellene 97.
Philumena 259, 327.
Phison 120, 152.
Phlegon 130.
Phlegræus 96 *not.*, 97.
Phlius Atticæ 144.
Phloia 145.
Phœbe 32.
Phœbia 118 *not.*, 119.
Phœnices 85.
Phœnicia 115, 174.
Phryges 100, 101, 109, 111, 112, 113, 114, 115, 116, 117, 118, 261, 275, 329.
Phrygii 96 *not.*, 97.
Phud 333.
Physici 1, 5.
Pieria 31.
Pilatus 256.
Pisces signum zodiaci 62, 126.
Plato 15, 20, 24, 25, 44 *not.*, 45 *not.*, 47, 48, 163, 178, 182, 184, 196, 197, 198, 233, 274, 296, 314.
Platonica doctrina 160, 177.
Platonici 21.
Plutarchus 45 *not.*, 144.
Pluto 246, 247, 313.
Pollux 55.
Polycrates 6.
Porticus 304.
Portus (Italiæ) 286.
Praxiades 11.
Prepon 253.
Priamus 130.
Priapus 157.
Priscilla 261, 275, 329.
Procne 130.
Prometheus 128.
Proserpina 68, 98, 116, 129, 144.
Proteus 114.
Psaphon *vid.* Apsethus.
Ptolemæus (ὁ 'Αρσινόης) 129.
Ptolemæus astron. 46 *not.*, 50.
Ptolemæus hæret. 160, 184, 195, 198, 199.
Pyrois signum cœleste 47.
Pyrrhon 2, 28.
Pyrrhonii 28.
Pyrrhus 7.
Pythagoræi 9.
Pythagoras 1, 6, 7, 8, 9, 10, 30, 88, 90, 177, 178, 179, 181, 182, 184, 216, 273, 296, 304.
Pythagorica dogmata 160, 177, 179, 182, 183, 185, 196, 216, 222, 293.
Pythagorici 126, 181, 183, 192.
Pythagorici numeri 50, 160.
Pythagoristæ 9.
Rachel 114.
Raphael 130.
Rharias *vid.* Ceres.
Rhea 32, 99, 118, 119, 129.
Rheia 32.
Roma 176, 279, 285, 286.
Romani 287, 292.
Rubrum mare 85, 106, 132, 133, 149, 169.
Sabaoth 164.

Sabellius 285, 289, 290.
Sacerdon 224.
Sadducæi 297, 306, 307.
Sael 151.
Sagittarius signum zodiaci 61, 126.
Sala 331.
Salamis 42.
Samaria 161, 175, 176, 306.
Samothraces 108, 118.
Sardinia 287, 288.
Sarpedon 54.
Satan 151.
Satanas 245, 246, 256.
Satornilus 223, 244, 246.
Saturnus 32, 118, 128, 131, 132.
Saturnus signum cœleste 46, 49.
Saul 122.
Saulasau 107.
Scorpion 60.
Scylla 224.
Scytha 150.
Scythia 149.
Secundus 160, 198.
Selene *vid.* Luna.
Sem 143, 332, 333.
Sepphora 107.
Seri Parthiæ 292.
Serur 331.
Seth 143, 148.
Sextus Empiricus 33 *not.*
Sibylla 131.
Sicarii 303.
Sicilia 252.
Sidonii 85.
Simon 89, 90, 91, 159, 160, 161, 162, 163, 165, 167, 171, 172, 173, 174, 175, 176, 177, 259, 318, 319. Ejus Ἀπόφασις μεγάλη 165, 168, 173.
Sina 297.
Sion 105.
Sirenes 224, 225.
Sithiani 93, 138, 143, 144, 145, 147, 148, 316, 318.
Sobiaï 292.
Soclan 129.
Socrates 1, 10, 16, 20, 197, 226, 261.
Socratica fabula 274.
Sol 49, 96 *not.*, 97.
Solon 178, 296.
Stesichorus 174.
Stilbon signum cœleste 47.
Stoici 1, 9, 26, 27, 311.
Styx 145.
Suriel 130.
Syracusæ 19.
Syria 244, 292.
Tagabena fl. 29.
Talos 130 *not.*
Tartarus 68.
Tatianus 273.
Taurus signum zodiaci 57, 126.
Terra 49.
Tethys 312.
Thales 1, 5, 6, 10, 11, 16, 119, 296, 312.
Thallides 7.
Tharra 331.
Thebæ 68.
Themis 32.
Theodotus 224, 257, 258, 278, 290, 328, 330.
Theophrastus 272.
Thetis 130.
Thias 32.
Thomas 101.
Thraces 109.
Thracia 68.
Thrasymedes 161.
Thratta 5.
Tiberius Cæsar 254.
Tigris 120, 147, 152.
Timæus Platonis 177, 178.
Tithonus 130.
Trajanus 292, 296.
Triptolemus 129, 144.
Troja 10, 42.
Trojanum bellum 7, 174.
Tyrus Phœniciæ 174.
Ulysses 55, 224.
Ursa signum cœleste 84, 85.
Valentinus 90, 91, 160, 176, 177, 178, 184, 185, 186, 192, 196, 197, 198, 203, 221, 222, 261, 273, 319, 320, 326.
Venus 98, 99, 116, 154, 156, 323.

Venus signum cœleste 46, 47, 49.
Victor 288.
Virgo signum zodiaci 42, 59, 126.
Vulcanus 130.
Xenophanes 1, 18, 19, 212.
Zamolxis 9, 30.
Zaratas 8, 178.
Zeesar 107.
Zelotæ 303.
Zenon 1, 17, 26.
Zephyrinus 279, 284, 285, 288.
Zodarium 130.
Zodiacus 42, 46.
Zoroastres 130.